EFGQ 41 a. *πυρὸς ἁγνόταται*: ἁγνότατον τὸ πῦρ φησιν, ὅτι ἁγνιστικόν ἐστιν, ἢ καὶ παρὰ τὸ θεῖον τὸ αὐτόθι γινόμενον, ᾧ καθαίρομεν, ὡς καὶ Ὅμηρος (χ 482)· ὄφρα θεειώσω μέγαρον. 10 τῇ δὲ τροπῇ ἐπιμένει διόλου πυρὸς ποταμοὺς καὶ πηγὰς λέγων

DEFGQ διὰ τὴν ἄγαν τοῦ πυρὸς ἀνάδοσιν. 40 EFQ 47 G b. ὁ δὲ νοῦς· ἥστινος Αἴτνης ἀναφυσῶνται καὶ ἀναδίδονται ἐκ τῶν μυχῶν ἀπροσπελάστου πυρὸς πηγαί· οἱ δὲ ποταμοὶ τοῦ πυρὸς ἐν ἡμέρᾳ ῥοῦν καὶ φορὰν προχέουσι καπνοῦ ἤτοι μέλανα ἢ καυστικόν· 15 ἐν δὲ τῇ νυκτὶ ἡ ξανθὴ τοῦ πυρὸς φλὸξ ἐκρήγνυσι τοῦ ὄρους τὰς πέτρας, καὶ εἰσκυλίει τῇ παρακειμένῃ θαλάσσῃ. 41[a] G 47 D

DG[mg] 46. *πόντος* τὸ πέλαγος. καὶ Ὅμηρος· ἐπ' εὐρέα νῶτα θαλάσσης. 52 D

DEFGQ 47 a. *Ἁφαίστοιο ἑρπετόν*: ὁ Τυφών, παρόσον ἐξ αὐ- 20 τοῦ ἢ δι' αὐτὸν οἱ τοῦ πυρὸς ἀναδίδονται πρηστῆρες. b. *κρουνοὺς* δὲ τροπικῶς μέν φησιν ὡς ἐπὶ ποταμοῦ, ἐμφαίνει δὲ τὰς τοῦ πυρὸς ἀναφυσήσεις. c. ὁ δὲ νοῦς· ἐκεῖνο δὲ τὸ τοῦ Ἡφαίστου ἑρπετὸν κρουνοὺς πυρὸς δεινοτάτους

---

7 EM 123, 11. — Hes. ἄπλητον. EM 156, 15. sch. Soph. Trach. 1093. — EG 65, 46. sch. Soph. Ai. 256. sch. Hes. theog. 315 9 sch. Aesch. Prom. 384 16 Tzetzes ad Lyc. 177 (p. 87, 11)

---

2 ἄρῃ τὸν DQ: ἄρρητον CG αἴρῃ τὸν EF 3 λέγων Cr: λέγει EFQ λέγῃ? DG[cp] 4 χιόνος ὀξείας EFQ: ἄλλως G ‖ παρὰ EF: κατὰ GQ ‖ τὴν om. G 5 cfr. Thom. p. 435, 23 Ab. 6 τοῖς om. Q 7 ἀπλάτου G: πυρὸς (δ') ἀπλ. DQ (ἄλλως) ἀπλ. πυρὸς EF 8 l. EFQ: ἁγνόταται G 9 ἁγνιστικόν] αἰγιστ. E ἁγιστ. F ‖ ἐστὶν ἁγν. GQ 10 καθαίρομαι EF ‖ ὡς om. GQ 14 ἀπροσπελάστου — πηγαί om. D 15 φθορὰν Q ‖ μέλαινα FQ 20 ὁ τυφὼν] om. F ὁ τυφὼς Q 21 ἢ] ἤτοι CEF 24 τὸ τοῦ] τοῦτο EF

ἀναδίδωσι, θαυμαστὸν μὲν ἰδεῖν, θαυμαστὸν δὲ καὶ τῶν παρόντων καὶ ἑωρακότων ἀκοῦσαι. 46 D

49. γράφεται καὶ προσιδέσθαι. E g[1]

52 a. ἐν μελαμφύλλοις: τοῖς πολυδένδροις. ἡ γὰρ τῶν DEFGQ
5 δένδρων πυκνότης βαθεῖαν ἀπεργάζεται τὴν ὕλην. b. ζητητέον δέ, πῶς φησι τὸν Πυθῶνα ἐνδεδῆσθαι ταῖς τῆς Αἴτνης κορυφαῖς, ὅν φησιν ὑπ' αὐτῇ κεῖσθαι; ῥητέον δέ, ὅτι ὑπόκειται μὲν αὐτῷ τὸ ἔδαφος ὑπὸ τὸν νῶτον, ἐπίκειται δὲ τῷ στήθει ἡ Αἴτνη ὥσπερ δεσμὸς καὶ σχοινίον ἐν μέσῳ αὐ-
10 τὸν συνέχουσα.

54 a. χαράσσοισα: ἐπιξύουσα, ἐπινύσσουσα. b. ὁ DEFGQ νοῦς· τὸ ὑπεστρωμένον ἔδαφος, φησί, κεντρῶδες καὶ ἐπιξύει τὸν τοῦ Τυφῶνος νῶτον· τὸ δὲ κεντρώσεως αἴτιόν ἐστι τὸ τῆς Αἴτνης ἐπικείμενον βάρος. c. τὸ μὲν ἐπικεκλιμένον νῶ-
15 τον κεντεῖ ἐπιξύουσα ἡ ὑποκειμένη τοῦ ἐδάφους κεντρώδης στρωμνή.

56 a. εἴη Ζεῦ, τὶν εἴη ἁνδάνειν: ἐπειδὴ περὶ τοῦ Τυ- DEFGQ φῶνος λόγον ἐκίνησε καὶ τὰς τιμωρίας αὐτοῦ διεξῆλθεν, ὥσπερ φόβῳ διατεθεὶς πρὸς τὰ διηγήματα κατεύχεται τὸν Δία
20 ἔχειν εὐμενῆ. b. ὁ δὲ νοῦς· εἴη σοι, φησίν, ὦ Ζεῦ, ἀρέσκειν, ὅστις τοῦτο τὸ ὄρος περιέπεις τὴν Αἴτνην, ἥ ἐστι τῆς εὐκάρπου Σικελίας πρόσωπον, ἤτοι διὰ τὸ ἐπιφανὲς ἢ διὰ τὸ ὕψος. τιμᾶται δὲ κατὰ τὸ ὄρος τῆς Αἴτνης ὁ Ζεύς.

57. γαίας μέτωπον τὴν Αἴτνην μεταφορικῶς ἀπὸ τῶν DEFGQ
25 ζῴων, | ἤτοι διὰ τὸ ἐπίσημον αὐτὴν εἶναι ἢ διὰ τὸ ὕψος καὶ EFGQ τὴν ἀνάβασιν.

---

4 cfr. sch. Hom. ξ 12 (Eust. 1748, 55), al.

---

2 παριόντων Cr ‖ καὶ] om. Q καὶ τῶν EF   5 δένδρων] ἔργων Q ‖ βαθεῖαν] σκοτεινὴν Doederlein Act. philol. Monac. I p. 46   6 φασι DGQ   7 αὐτοῦ EF ‖ μὲν r: ἐν codd.   9 αἴτνα EF ‖ μέσῳ] + δὲ Q   11. 12 ὁ δὲ νοῦς DGQ   12 κεντρῶδες codd. prave; κεντρῶδες κεντεῖ r   13 τὸν] τὸ G[pc]   14 τῆς αἴτνης CEF: τῇ αἴτνῃ DGPQ ‖ ὑποκείμενον CPQ ‖ τὸ] τὸν EF ‖ μὲν ft. delend. ‖ κεκλιμένον PQ   17 l. EF: εἴη Ζεῦ DGQ   19 φόβῳ] ἐν φόβῳ E .....βῳ (lac.) F   20 ὦ ζεῦ] ὁ ζεὺς EF ‖ ἀρκέσειν EF   21 αἴτναν EF   23 αἴτνας EF   24 γαίας EF: γαίης DGQ

Cr 58. *τοῦ μὲν ἐπωνυμίαν*: τούτου οὖν τοῦ ὄρους τὴν ὁμώνυμον πόλιν Αἴτνην ὁ ἔνδοξος οἰκιστὴς Ἱέρων ἐδόξασεν ἀνακηρύξας κατὰ τὰ Πύθια· ἀνεκήρυξε γὰρ ὑπὲρ τὸ καλλίνικον ἅρμα τοῦ Ἱέρωνος ὁ κῆρυξ οὖσαν αὐτοῦ πατρίδα.

D$E^{bis}F^{bis}$GQ 64. *ναυσιφορήτοις*: τοῖς διὰ νηὸς φερομένοις ἀνδράσι χάρις καὶ ἡδονή, πρώτοις φερομένοις διὰ θαλάσσης | $E^{bis}F^{bis}$GQ πόμπιμον καὶ οὔριον ἐπιπνεῦσαι ἄνεμον· οὕτω καὶ τῇ Αἴτνῃ ἀνακτισθείσῃ, πρῶτον ἐν ἀγῶσιν ἐπιφανεστάτην γενέσθαι. 5

DEFGQ 67. *ἐοικότα γάρ*: ἐοικὸς γὰρ καὶ πρέπον ἐστὶ τὸν ἐξ ἀρχῆς ἀγαθῆς ἀρξάμενον, τοῦτον καὶ τέλους εὐδόξου τεύξεσθαι. οὕτως οὖν καὶ τὴν Αἴτνην ἐκ πρώτης ἀρξαμένην ἐν τοῖς ἀγῶσιν ἐπίδοξον εἶναι ὑπολαμβάνω καὶ διηνεκῶς εὐπραγήσειν. 10

DEFGQ 69. *ὁ δὲ λόγος ταύταις*: ὁ δὲ ἐγκωμιαστικὸς λόγος δοξάζει αὐτὴν ταῖς συντυχίαις ταύταις τῆς νίκης εἰς τὸ λοιπὸν καὶ τὴν Αἴτνην ἵπποις καὶ στεφάνοις εὔδοξον καὶ σὺν θαλίαις καὶ κώμοις ἡδέσιν ὀνομαστὴν ἀποδεικνύειν. 15

DEFGQ 74. *Λύκιε καὶ Δάλοιο ἀνάσσων*: ὦ Λύκιε Ἄπολλον καὶ τῆς Δήλου βασιλεύων καὶ τοῦ Παρνασοῦ τοῦ ἐν Φωκίδι ὄρους τὴν Κασταλίαν κρήνην φιλῶν, ἐθελήσαις ταῦτα τῷ σῷ νῷ πράττειν καὶ συμπεραίνειν καὶ εὔανδρον ἀποτελεῖν τὴν χώραν. ἐκ θεῶν γὰρ ταῖς ἀνθρωπίναις ἀρεταῖς πᾶσαι 20

---

1 *οὖν* om. C 2 *αἴτνην πόλιν* C ‖ *ἔνδοξος οἰκ.* om. C 4 *αὐτοῦ τὴν πατρ.* C 5 l.] *ἅρμασι ναυσιφορ.* $E^{a}F^{a}$ *ἄλλως* $E^{b}F^{b}$ ‖ *νηὸς*] *ναυσὶ* EF 6 *διὰ*] *καὶ* $E^{b}F^{b}$ 8 *ἀνατιθείσῃ* G 9 *γὰρ* (pr.) om. Q 10 *τοῦτον* om. E 11 *αἴτναν* EF ‖ *ἐκ πρώτης* Q: *ἐκ πρώτοις* EF *ἐν πρώτοις* DG *ἐκ νίκης* h *ἐκ πρ.* ⟨*συντυχίας*⟩ Hartung. Cf. Her. I 108 VI 85 12 *καὶ* om. CEF ‖ *εὐπραγοῦσαν* Q 14 l. EF: *ὁ δὲ λόγος* DGQ ‖ *ὁ — λόγος* EF: *ὁ δὲ ἐμὸς ἐγκ. λ.* CDG *ὁ δὲ ἐμὸς λ. ἐγκ.* (P)Q 15 *δοξάζει* EF: *κοσμήσει αὐτὴν καὶ δοξάσει* DG et (praem. *φησὶ*) Q ‖ *αὐτὴν*] + *διὰ* Q ‖ *ταύτης* DG ‖ *εἰς*] *ἐς* EF 16 *ἵπποις*] + *τε* CDG ‖ *καὶ* (alt.) om. E ‖ *σὺν* — 17 *ἡδέσιν* om. D 17 *ἡδέσω* EF ‖ *ἀποδεικνύειν* EFGQ: *ἀποδεικνύει* D *ἀποδείκνυσιν ὥστε τὴν μνήμην αὐτῆς* (*αὐτοῖς* C) *διαμένειν ἄσβεστον* Cr. Locus corruptus; ft. *καὶ τὴν αἴτνην* delend. et *ἀποδεικνύων* scribend. 18 l. EF: *λύκιε* DGQ 19 *τοῦ* (pr.)] *τῆς* DG ‖ *τοῦ* — 20 *φιλῶν* EF: *κατέχων καὶ φιλῶν τοῦ — κρήνην* DGQ 20 *ἐθελήσεις* EF 21 *νόῳ* DG 22 ante *ἐκ θεῶν* l. praem. *ἐκ θεῶν γάρ* D ‖ *θεῶν*] *θεοῦ* CEF

μηχαναὶ δωροῦνται. κατὰ δαίμονα γάρ τινα σοφοὶ καὶ ταῖς χερσὶν ἀνδρεῖοι, καὶ ἄγαν εὔγλωσσοι καὶ δυνατοὶ κατὰ τὸ λέγειν ἐγένοντο.

82. ἄνδρα δ' ἐγὼ κεῖνον: τὸν δὲ Ἱέρωνα ἐγκωμιάσαι DEFGQ
5 προθυμούμενος ἐλπίζω παρὰ σκοπὸν μὴ τὸν ὕμνον ῥίψειν, ἀντὶ τοῦ κατὰ σκοποῦ προσδοκῶ βαλεῖν τοὺς ὕμνους ὡς ἄξιον ὄντα τὸν Ἱέρωνα ἀνυμνῶν.

84. μὴ χαλκοπάραον: τὸ ὑπερβατόν· μὴ ὥσπερ χαλ- DEFGQ κοπάραον ἄκοντα παλάμᾳ δονέων ἀγῶνος ἔξω βαλεῖν.

10 86. μακρὰ δὲ ῥίψαις: ἐλπίζω μακρῶς καὶ δυνατῶς DEFGQ ἀκοντίσας παρελθεῖν καὶ νικῆσαι τοὺς ὑπεναντίους.

87. εἰ γὰρ ὁ πᾶς χρόνος: τὸ εἴ τοῦτο νῦν εὐκτικόν DEFGQ ἐστιν, ἀντὶ τοῦ αἴθε. αἴθε γὰρ ὁ πᾶς χρόνος αὐτῷ τήν τε εὐδαιμονίαν καὶ τὸν πλοῦτον ἐπ' εὐθείας ἀγάγοι | καὶ τῶν καμά- EFGQ
15 των τῶν τῆς λιθουρίας ἐπίλησιν ἀγάγοι, ὡς ἐγὼ τοὺς ἐναντίους νικῆσαι προσδοκῶ. καὶ τάχα ἂν εἰς ὑπόμνησιν ἀγάγοι, | ὁποίας ὁ Ἱέρων ἐν τοῖς πολέμοις τῇ πολεμικῇ ἑαυτοῦ καὶ DEFGQ ὑπομονητικῇ ψυχῇ ὑπέμεινε μάχας, ἡνίκα ἐκτῶντο τὴν Σικελικὴν τυραννίδα, ἣν αὐτοῖς οἱ θεοὶ ταῖς ἑαυτῶν μηχαναῖς
20 ἐδωρήσαντο, ὁποίαν οὐδεὶς τῶν ἄλλων Ἑλλήνων δρέπεται, τοῦ πλούτου στεφάνωμα οὖσαν τίμιον. φασὶ δὲ τὸν Ἱέρωνα [καὶ] πρὸς Γέλωνα τὸν ἀδελφὸν ἐστασιακέναι τῆς ἀρχῆς ἕνεκα.

89 a. καμάτων ἐπίλασιν: καμάτων φησὶ τῶν συν- DEFG
25 εχόντων τὸν Ἱέρωνα ἐκ τοῦ νοσήματος τῆς λιθουρίας. φησὶ γάρ που καὶ ὁ Ἀριστοτέλης ἐν τῇ τῶν Γελῴων πολιτείᾳ (fr. 486) [τὸν Γέλωνα] ὑδέρῳ νοσήματι τὸν βίον τελευτῆσαι

---

5 ῥίψειν τὸν ὕμνον CDGQ 6 σκοπὸν CDGQ ‖ τοὺς ὕμνους et τὸν ὕμνον G ‖ ὡς DGQ: om. CEF 8 χαλκοπάρειον E utrobique, D alt. l. 9 παλάμῃ CEF 10 ῥίψαις b ‖ ἐλπίζω] + δὲ CDGPQ 11 ἀκοντίσαι DG ‖ ἐναντίους DGQ ἐν σοφίᾳ C 12 cf. Thom. p. 440,3 Ab. ‖ τὸ om. EF ‖ τοῦτο νῦν om. D 13 prius αἴθε om. EF ‖ εἴθε utrob. (C)r (item Thom.) 15 λιθουρίνας EF ‖ ἐπίλυσιν EF 18 ἐκτῶντο DG: ἐκ τῶν EF ἐκ τῶν τότε Q 19 αὐτοῖς EF: αὐτοὶ DQ αὐτῷ G 21 οὖσαν στεφάνωμα DGQ ‖ τίμιον om. DG ‖ φασὶ r: φησὶ 22 καὶ om. EF; seclusi 23 ἕνεκα CEF: χάριν DGPQ 24 l. EF: καμάτων D om. G 26 τὸν γέλωνα CEF: om. DG. Seclusi

τὸν τοῦ Ἱέρωνος ἀδελφόν, αὐτὸν δὲ τὸν Ἱέρωνα, ἐν τῇ τῶν Συρακουσίων πολιτείᾳ (fr. 587), δυσουρίαν δυστυχῆσαι.

EFG b. τῆς νόσου. τοῦ Ἱέρωνος νοσήσαντος. ὅτι διὰ λιθουρίαν φορείῳ φερόμενος ἐνίκα τὰς μάχας ὁ Ἱέρων. παραβάλλων δὲ αὐτὸν τῷ Ποίαντος Φιλοκτήτῃ παρείκασεν. 5

DEFGQ 91. ἤ κεν ἂν μνάσειεν: ἀναμνήσειεν ἂν ὁ χρόνος, εἰ ἐπίλησις γένοιτο τῶν καμάτων, ὥστε φανερὰν αὐτοῦ γενέσθαι τὴν ἀρετήν, ἣν εἶχεν ἐν πολέμοις.

DEFGQ 94. ἀνίχ' εὑρίσκοντο: ὁ μὲν λόγος ἐστὶ περὶ Ἱέρωνος καὶ Γέλωνος, τῶν τυραννευσάντων ἐν Συρακούσαις. τὸ δὲ 10 σημαινόμενον· ὅτε σὺν τῇ τῶν θεῶν μηχανῇ ἀνεκτῶντο τὴν βασιλείαν. τιμὴν γὰρ εἴωθε τὴν βασιλείαν ὀνομάζειν.

DEFGQ 97. τὰν Φιλοκτήταο δίκαν: ἐπὶ δὲ τοῦ παρόντος τὸν Φιλοκτήτου τρόπον μετερχόμενος ἐστρατεύθη καὶ τὴν μάχην ἐνίκησε. φορείῳ δὲ φερόμενος ὁ Ἱέρων κατηγωνίζετο τοὺς 15 ἐναντίους.

DEFGQ 98. σὺν δ' ἀνάγκᾳ μιν: σὺν δὲ τῇ ἀνάγκῃ τῆς νόσου καί τις ὑπερήφανος ἔσανε καὶ ἐκολάκευσε τὸν Ἱέρωνα. ὃ δὲ βούλεται λέγειν, ὅτι καὶ νοσοῦντα αὐτὸν πολλοὶ τῶν ὑπερηφάνων ἐκολάκευσαν. 20

DEFGQ 99 a. μεγαλάνωρ: αἰνίττεται τοῦτο εἰς Ἀναξίλαον τὸν τῶν Ῥηγίνων βασιλέα βουληθέντα Λοκροὺς καταπολεμῆσαι τοὺς ἐν Ἰταλίᾳ καὶ ἐμποδισθέντα τῇ τοῦ Ἱέρωνος ἀπειλῇ. ὅτι δὲ Ἀναξίλαος Λοκροὺς ἠθέλησεν ἄρδην ἀπολέσαι καὶ ἐκωλύθη πρὸς Ἱέρωνος, ἱστορεῖ καὶ Ἐπίχαρμος ἐν Νάσοις (fr. 98). 25
b. ἢ οὕτως· ὡς τοῦ Θήρωνος μεγάλα μὲν δυναμένου, κολακεύσαντος δὲ Ἱέρωνα.

DEFGQ 100. φαντὶ Λαμνόθεν: τῇ ἱστορίᾳ καὶ Βακχυλίδης

---

1 τῶν om. DFG 3 τῆς — λιθουρίαν EF (prave?): ἄλλως· φασὶν ὅτι διὰ δυσουρίαν G ‖ cfr. Thom. p. 440, 6 Ab. 4 ὁ ἱέρων ἐνίκα τὰς μάχας G 5 τῷ EF: τῷ τοῦ CG. Cfr. sch. O. X 18a. 19a 6 ὁ χρ. ἂν DGQ 7 ἐπίλυσις E (non F) ‖ αὐτῷ DG αὐτοῖς Q 9 περὶ] παρ' EF 17 μιν] νιν Q ‖ τῇ τῆς ν. ἀνάγκῃ DG 18 οἱ (corr. ex τις m. 2) ὑπερήφανοι ἔσαναν Q ‖ καὶ — ἱέρωνα EF: αὐτόν, τὸν ἱέρωνα δηλονότι, καὶ ἐκολ. DGQ 21 cfr. Thom. p. 441, 18 Ab. 22 ῥηγίνων] ῥινῶν E ῥιηνῶν F ῥιγίνων Q 26 μεγάλα om. DG ‖ μὲν] μὴ PQ

συμφωνεῖ ἐν τοῖς διθυράμβοις (fr. 7 Bl.), *ὅτι δὴ οἱ Ἕλληνες ἐκ Λήμνου μετεστείλαντο τὸν Φιλοκτήτην Ἑλένου μαντευσαμένου. εἵμαρτο γὰρ ἄνευ τῶν Ἡρακλείων τόξων μὴ πορθηθῆναι τὴν Ἴλιον.*

5 101a. *μεταλλάσοντας ἐλθεῖν: ἐπιζητήσοντας· ἡ δὲ μεταφορὰ ἀπὸ τῶν τὰ μέταλλα ἐπιζητούντων. ἐπειδὴ δὲ διὰ τὸ πάθος τῷ Φιλοκτήτῃ τὸν Ἱέρωνα εἴκασε, τῇ ἐπεξεργασίᾳ χρώμενος ἐπιπλέον συνείρει τὰ ἐγκώμια.* b. *ὁ δὲ νοῦς· φασὶ δὲ ἐκ Λήμνου τῷ ἕλκει καταπονούμενον τὸν τοῦ Ποίαντος υἱὸν* 10 *ἐπιζητήσοντας ἐλθεῖν τοὺς ἰσοθέους ἥρωας.* DEFGQ

105. *ὃς Πριάμοιο πόλιν: ὅστις Φιλοκτήτης τὴν Ἴλιον ἐπόρθησε καὶ ἐπὶ τέλος ἤγαγε τοῖς Ἕλλησι τοὺς πόνους· ἀνεῖλε γὰρ τὸν Πάριν· ἀσθενεῖ μὲν καὶ ἀδυνάτῳ σώματι βαδίζων, ἀλλὰ μεμοιραμένον ἦν τὸ τὴν Ἴλιον ἁλῶναι τοῖς Ἡρα-* 15 *κλείοις τόξοις.* DEFGQ

109a. *οὕτω δ' Ἱέρωνι θεὸς ὀρθωτὴρ πέλοι: οὕτω δέ, φησί, τῷ Ἱέρωνι ὀρθωτὴρ καὶ ἰατρὸς γένοιτο ὁ θεός, ὡς καὶ τῷ Φιλοκτήτῃ.* DEFGQ | *φησὶ γὰρ Διονύσιος* (FHG II p. 10) *χρησμοῖς Ἀπόλλωνος ἀπολουσάμενον τὸν Φιλοκτήτην ἀφυπνῶσαι,* 20 *τὸν δὲ Μαχάονα ἀφελόντα τοῦ ἕλκους τὰς διασαπείσας σάρκας καὶ ἐπικλύσαντα οἴνῳ τὸ τραῦμα ἐπιπάσαι βοτάνην, ἣν Ἀσκληπιὸς εἴληφε παρὰ Χείρωνος, καὶ οὕτως ὑγιασθῆναι τὸν ἥρωα.* b. *οὕτως οὖν καὶ τῷ Ἱέρωνι ὡς τῷ Φιλοκτήτῃ ὁ θεὸς ὀρθωτὴρ καὶ ὑγείας αἴτιος γένοιτο εἰς τὸν ἐσόμενον χρόνον,* 25 *ὧν ἐπιθυμεῖ εὐκαιρίαν παρεχόμενος.* c. *ἄλλως. οὕτω δὲ τῷ Ἱέρωνι ὀρθωτὴρ καὶ θεραπευτὴς ὁ θεὸς γένοιτο ὡς καὶ τῷ Φιλοκτήτῃ.* EFGQ

---

5 cfr. sch. O. VI 106. Ap. soph. 112, 13. Hes. s. v. *μεταλλᾷς* 18 Tzetzes ad Lycophr. 911 (p. 293, 11)

---

1 *ὅτε* **Q** ‖ *δὴ* **CDG**: *δὲ* **EFQ**(ex corr.?) 5 l. **EF**: *μεταλλάσσοντας* (**D**)**GQ** 8 *ἐπιπλέον συνείρει* **DEFG**: *ἐπισυνείρει* **PQ** *ἐπὶ πλέον αἴρει* (**C**)**r** ‖ *φασὶ* **Pr**: *φησὶ* 12 *τέλος* **Q**(**G**[cp]): *τέλους* **EF** *τέλει* **D** 13 *μὲν* om. **E** 14. 15 *ἡρακλέος* **E** *-κλέοις* **F** 16 l. **EF**: *οὕτω δ' ἱέρ. θεός* **DGQ** 17 *ἰατὴρ* **DG** ‖ *ὁ*] *ἡ* **DG** 18 cfr. Thom. p. 441, 8 Ab. 19 *ἀπολυσάμενοι* **EF** 21 *οἴνῳ*] *οἴνοπα* **PQ** 25 *ὧν* **Q**: *ὡς* **EFG** ‖ *εὐκαιρίαν* **CEFG**: *εὐχέρ(ε)ιαν* **PQ** ‖ *δὲ*] + *καὶ* **Q** 26 *καὶ* om. **Q**

DEFGQ 112. *Μοῖσα, καὶ πὰρ Δεινομένει*: ὦ Μοῦσα, πείθου μοι χορεῦσαι καὶ παρὰ τῷ Ἱέρωνος υἱῷ Δεινομένει, κοινὴν καὶ ἀντέκτισιν τῷ νικηφόρῳ ἅρματι τὸ ἐγκώμιον παρεχομένη. οὐ γὰρ ἀλλοτρία ἡδονὴ τῷ παιδὶ ἡ τοῦ πατρὸς νίκη. Δεινομένης δὲ υἱὸς Ἱέρωνος ἐκ τῆς Νικοκλέους τοῦ Συρακουσίου 5
EFGQ θυγατρὸς κατὰ Φίλιστον (FHG I p. 189) καὶ Τίμαιον· | ἐκ γὰρ τῆς Ἀναξιλάου θυγατρὸς καὶ τῆς Θήρωνος ἀνεψιᾶς οὐκ ἐπαιδοποίησεν ὁ Ἱέρων προγαμήσας ταύτην· ὅθεν ἐστὶ καὶ ὁ παῖς ὁμώνυμος τῷ πάππῳ· Δεινομένης γὰρ ὁ πατὴρ Ἱέρωνος.
DEFGQ 116. *ἄγ' ἔπειτα*: ἄγε τοίνυν, ὦ Μοῦσα, ἐπὶ τῷ τῆς 10 Αἴτνης βασιλεῖ Δεινομένει προσφιλέστατον ἀνεύρωμεν ὕμνον.
DEFGQ 118a. *τῷ πόλιν κείναν*: ὁ νοῦς· ᾧ, τῷ Δεινομένει δηλονότι, ὁ Ἱέρων τὴν Αἴτνην ἀνέκτισε καὶ διοικεῖν ἔδωκε σὺν θείᾳ ἐλευθερίᾳ, καὶ τοῖς νόμοις τῆς Δωρίου δικαιοσύνης,
EFGQ ἀπὸ κοινοῦ τὸ διοικεῖν ἔδωκεν. b. ἄλλως· ἀνακτίσας τὴν 15 Κατάνην ὁ Ἱέρων καὶ Αἴτνην μετονομάσας διοικεῖν Δεινομένει τῷ υἱῷ ταύτην δέδωκεν. c. ἄλλως· τῷ Δεινομένει ὁ Ἱέρων Αἴτναν παραδέδωκεν ἐν νόμοις τῆς Δωρίδος στάθμης. τοῦτο δὲ λέγει, ἐπεὶ στρατηγὸν αὐτῆς κατέστησεν αὐτόν, ἐλευθέρους ἀφεὶς τοὺς Αἰτναίους καὶ τοῖς Λακωνικοῖς τρόποις ἢ 20 νόμοις χρωμένους.
DEFGQ 120a. *Ὑλλίδος στάθμας Ἱέρων ἐν νόμοις ἔκτισε*: νόμοις τῆς Δωρίδος δικαιοσύνης· ἀπὸ Ὕλλου τοῦ ἐπιφανεστάτου τῶν Δωριέων, ὃς ἐβασίλευσε τῶν περὶ Ἰταλίαν οἰκησάντων. b. ἔνιοι δὲ Ὑλλίδος στάθμας οὕτω· τῆς Λυκούργου 25
EFGQ νομοθεσίας. | οὗτος γὰρ ἑνδέκατός ἐστιν ἀπὸ Ἡρακλέους, ὡς

---

1 l. EF: μοῖσα DGQ ‖ παρὰ δινομ. EF ‖ μοῖσα EF 2 δινομ. EF[s] 3 καὶ EF: δὲ DGQ 4 δινομ. EF (non iam adnoto) 5 νικολάου Q 7 τῆς (alt.)] τοῦ G 8 ὅθεν ἐστὶ καὶ GQ: ἔστι δὲ EF 9 ὁ πατὴρ E: πατὴρ FGQ 10 ἔπειτ' E 12 κλεινὰν E ‖ ὁ δὲ νοῦς DG 13 τὴν αἴτνην om. EF 20 τῷ λ—κῷ τρόπῳ ἢ νόμῳ G τοῦ λ—κοῦ τρόπου ἢ νόμοις Q 22 cfr. Thom. p. 444, 11 Ab. ‖ l. EF: ὑλλίδος στάθμας DGQ 23 νόμοις EQ: νόμῳ DG om. F 24 τῶν περὶ] παρὰ EF ‖ ἰταλίαν suspectum; ἰλλυρίαν Raoul Rochette hist. des col. II p. 280; οἰχαλίαν Hemsterhuis (teste Muellero Dor. I 13) 25 cfr. Germ. p. 443, 20 Ab. 26 ἑνδέκατος EF ἐν δεκάτῳ Q

Ἔφορος (FHG I 253) ἱστορεῖ. ὁ οὖν Ἱέρων Γελῴους καὶ Με-
γαρεῖς καὶ Συρακουσίους ὄντας τῶν Δωριέων ἀποίκους ἐνῴ-
κισε τῇ Αἴτνῃ. καὶ οὕτως ἂν ὁ λόγος ἀκολούθως ἔχοι, ὡς
Δωριεῦσιν οὖσιν Αἰτναίοις καὶ Λακωνικοὺς νόμους θέσθαι
5 τὸν Ἱέρωνα.

121 a. ἐθέλοντι δὲ Παμφύλου: Πάμφυλος, ἄλλος DEFGQ
τῶν Ἡρακλειδῶν, καὶ Δύμας καὶ Δῶρος υἱοὶ Αἰγιμιοῦ, ἀφ'
ὧν Παμφυλὶς καὶ Δυμανὶς φυλαὶ ἐν Λακεδαίμονι. b. ὁ δὲ
νοῦς· θέλουσι δὲ οἱ Ὑλλίδαι, τουτέστιν οἱ Λακεδαιμόνιοι,
10 ἀπὸ Ἡρακλέους καὶ Παμφύλου κατάγεσθαι. 123 EF c. ἄλλως· EFGQ
θέλοντι δὲ Παμφύλου: οἱ Δωριεῖς οἰκοῦντες πρότερον
τὴν Πίνδον οὖσαν μίαν τῆς τετραπόλεως τῆς ἐν Περραιβίᾳ
ἀφικνοῦνται εἰς τὴν μεταξὺ Οἴτης καὶ Παρνασσοῦ Δωρίδα
ἑξάπολιν οὖσαν· ἐστὶ δὲ Ἐρινεόν, Κύτινον, Βοιόν, Λίλαιον,
15 Κάρφαια, Δρυόπη· ἐκ δὲ τούτων σὺν τοῖς Ἡρακλείδαις εἰς
Λακεδαίμονα κατέρχονται. ὁ δὲ νοῦς ἐπαμφοτερίζει. θέλουσι
δὲ οἱ ἀπὸ Παμφύλου Ἡρακλέους ἀπόγονοι Δωριεῖς οἱ παρὰ
ταῖς ὄχθαις τοῦ Τηϋγέτου ὄρους μένοντες ἐμμένειν τοῖς Αἰγι-
μιοῦ νόμοις. 127b EF

6 sq., 11 sq. cfr. sch. Aristoph. Plut. 385 (p. 561 Dübn.)
14 sq. Tzetzes ad Lyc. 980 (p. 309, 24)

1 cfr. Thom. p. 444, 13 Ab. || ὁ οὖν — 2 καὶ om. G
2 καὶ Q: τοὺς E τῶν F 2. 3 ἐνῴκησε CP 3 ἔχῃ E^{corr?}
ἔχειν F ἔχει C¹P || ὡς] καὶ Q ὡς καὶ P 6 θέλοντι DGP(Q) ||
πάμφυλος om. Q 7 καὶ δῶρος] δωριεῖς Hemsterhuis Ar. Plut.
p. 114 8 παμφυλὲς E παμφυλεῖς sch. Ar. || δυμανὶς r: δυμω-
νὶς C δυμενὶς cett. δυμενεῖς καὶ δωριεῖς sch. Ar. || φυλαὶ ἐν Λακ.
om. D || φυλαὶ Cr, sch. Ar.: φυλὴ || λακεδαίμοσιν G 11 cfr. Thom.
p 445, 10 Ab. || l. om. GQ 12 μίαν οὖσαν r, sch. Ar. || τῆς (alt.)
om. G || περραιβίᾳ C, Thom., Hemsterhuis l. l.: περιβοίᾳ EGPQ
(ἐπ' εὐβοίᾳ pro ἐν περρ. sch. Ar.) 13 ἀφικνεῖται GQ || τὴν] τὸ Q ||
δωρίδος G 14 ἐρεινεὸν E ἐρεεινὸν F ἐρινεὸς h || κυτίνιον h
(et Potter ad Tz. in Lyc.) 15 καρφαία scribi solet; σκάρφεια
Berkel ad St. Byz. s. v. Λίλαια; σπερχείαν Hemsterhuis l. l.;
τάρφη O. Mueller Dor. I 41, 3 || τούτων] τῶν EF || τοῖς ἡρα-
κλείδαις] + ἀναχωροῦσιν οἶμαι ἐκ τῆς ἀττικῆς sch. Ar. 17 παμ-
φυλίας G || δωριεῖς om. Q (in init. pag.) 18 τηυγέτου EFQ^{pc}:
τευγέτου Q^{ac} ταυγέτου CGr || ὄρους om. Q 18. 19 αἰγιμίου r
αἰγιμιοῦ C: αἰγιμίοις GQ αἰγιμίος F αἰγιναίοις E 19 νόμοις]
ὄγκοις s. ἤνκοις Q οἴκοις P

DEFGQ 123. *Τηΰγετον ὄρος Λακωνικόν, οὗ καὶ Ὅμηρος (ζ 103) μέμνηται· ἢ κατὰ Τηΰγετον περιμήκετον.*

DEFGQ 125. *ἔσχον δ' Ἀμύκλας: κατέσχον τὴν Σπάρτην· ἀπὸ γὰρ μιᾶς πόλεως τὴν πᾶσαν ἐμφαίνει Λακωνικήν.*

DEFGQ 126. *Πινδόθεν ὀρνύμενοι: διὰ Πίνδου τὴν κάθοδον* 5 *ποιησάμενοι εὐχερῶς τῆς Πελοποννήσου ἐκράτησαν. Πίνδος δὲ Περραιβίας ὄρος.*

DEFGQ 127 a. *Τυνδαριδᾶν: ὅτι θέλει λέγειν τοὺς Ἡρακλείδας, καθ' ὃν χρόνον ἀνεκτήσαντο τὴν Λακωνικὴν καὶ τὴν Πελοπόννησον.* 121ᶜ EF 10

DEFGQ 127 b. *βαθύδοξοι γείτονες: ἔδει σύνοικοι εἰπεῖν. ἀλλὰ ῥητέον, ὅτι ἱστοροῦσί τινες τοὺς Διοσκούρους μετῳκηκέναι εἰς Ἄργος· γειτνιᾷ δὲ τὸ Ἄργος τῇ Λακεδαίμονι. καὶ οὕτως ὁ Πίνδαρος κατὰ λόγον γείτονάς φησι τοὺς Λακεδαιμονίους τῶν Διοσκούρων.* 15

DEFGQ 130 a. *Ζεῦ τέλειε: ὁ νοῦς· ὦ Ζεῦ τέλειε, διαπαντὸς τοῖς Αἰτναίοις τοῖς περιοικοῦσι τὸν Ἀμένη ποταμὸν τοιαύτην μερίδα βασιλεῦσί τε καὶ δημόταις παράσχου, ὥστε τὸν τῶν ἀνθρώπων λόγον διακρίνειν τοῦτο καὶ ἀληθὲς ἀποφαίνειν, ὅτι ἐν ἐλευθερίᾳ εἰσίν.* EFGQ b. *οἱ δὲ τὸ τοιαύτην μοῖραν τοῖς* 20 *Αἰτναίοις ἀνδρείας, οἵαν καὶ Λακεδαιμόνιοι κατὰ πόλεμον ἔχουσιν.*

---

1 Steph. Byz. *Ταΰγετον*, al. 6 sch. P. 9, 27. sch. Theocr. 1, 67. sch. Callim. h. 4, 139. Plin. h. n. 4, 2.

---

1 l. nullum **GQ**: *ταϋγέτου* (om. *τηΰγετον*) **D** *ταυγέτου ναίοντες* **EF** ‖ *ταΰγετον* **G** 2 *μέμνηται*] *μνημονεύει* **EF** ‖ *ἢ κατὰ τηΰγ.*] *καὶ κατηΰγ.* **E** *κατηΰγ.* **F** ‖ *περιμήκετον* **C(E)F**: *παραμήκετον* **DG** om. **PQ** 3 *τὴν* (pr.) om. **EF** 4 *λακωνικήν* om. **Q** 5 *πινδ. ὀρν.* **EF**: *πινδόθεν* **DGQ** 6 *ἐκράτησαν*] *ἐ.....* (lac.) **PQ** ‖ cfr. Thom. p. 445, 10 Ab. 7 *περραιβίας* **C**, Thom., Beck: *περρεβίας* **EF** *περρεβοίας* **PQ** *περιβοίας* **DG** 9 *ἀνεκτίσαντο* **CEFQ** ‖ Ft. h. sch. in fine mutilum 12 *διοσκόρους* **EF** 16 *τέλειε* (pr.)] *τέλει'* **DG** ‖ *ὁ νοῦς* om. **CD** 17 *ἀμένην* **PQ** *ἀμέναν* cj. **h** 18 *παράσχου* **EF**: *παρέχειν* **DG**ᶜᵖ**Q**ᶜᵖ ‖ *ὥστε*] *ὡς* **DG** 19 *λόγον*] *βίον* **Q** ‖ *ἀληθῶς ὑποφαίνειν* **Q** 20 *ὅτι* — *οἱ δὲ* om. **G** ‖ *τὸ* codd.; om. **r**. Ft. *τὸ* ⟨*τοιαύταν*·⟩ 21 *οἵαν* **b**: *θείαν* ‖ *λακεδαιμόνιοι* **b**: *λακεδαιμονίοις*

132. *ἀστοῖς*: τουτέστι δίδου τοῖς βασιλεῦσι καὶ τοῖς ἀστοῖς τοῖς περὶ τὸν Ἱέρωνα μερίδα εὐτυχίας. DGQ

134. *σύν τοι*: σὺν σοί, ὦ Ζεῦ, ὁ βασιλεὺς Σικελίας Ἱέρων τῷ ἑαυτοῦ υἱῷ Δεινομένει ἐντελλόμενος τὸν τῶν Αἰτ-
5 ναίων δῆμον ἐπιτρέποι διαπαντὸς εἰς σύμφωνον καὶ εἰρηναίαν ἡσυχίαν. DEFGQ

137 a. *λίσσομαι, νεῦσον, Κρονίων*: ὁ νοῦς· καθικετεύω σε, ὦ Κρόνου παῖ Ζεῦ, ἐπίνευσον, ὅπως ὅ τε τῶν Φοινίκων καὶ ὁ τῶν Καρχηδονίων καὶ Τυρσηνῶν θόρυβος ἥσυ-
10 χον καὶ εἰρηναῖον ἔχοι τὸν οἶκον· ἐπίνευσον ⟨δὲ⟩ θεασάμενος τὴν πρὸ τῆς Κύμης ναυμαχίαν. DEFGQ b. ἄλλως· χαριέστατα ἐκ τοῦ θορύβου τὴν τῶν βαρβάρων ἀκοσμίαν ὑπεστήσατο, ὡς καὶ Ὅμηρος (Δ 436)· EFGQ

ὣς Τρώων ἀλαλητὸς ἀνὰ στρατὸν εὐρὺν ὀρώρει.

15 c. ἄλλως· Τυρσηνοὶ καὶ Καρχηδόνιοι, οἵ εἰσι Φοινίκων ἄποικοι, διεμάχοντο πρὸς Κυμαίους· μελλόντων οὖν ἄρδην ἀπόλλυσθαι τῶν Κυμαίων, Ἱέρων συμμαχήσας τοὺς μὲν Κυμαίους διέσωσε, τῶν δὲ Τυρσηνῶν τοὺς πλείστους ἀπώλεσε. κατεύχεται οὖν ὁ Πίνδαρος εἰρηνικὰ καὶ ἀστασίαστα μένειν λοιπὸν
20 τὰ πράγματα Καρχηδονίοις καὶ Σικελιώταις. (D)EFGQ

142. *οἷα Συρακοσίων*: ὁποῖα γὰρ ὑπὸ τῷ ἄρχοντι καὶ βασιλεῖ τῶν Συρακουσίων Ἱέρωνι ἀναιρεθέντες πεπόνθασιν DEFGQ

---

11 sch. Il. Δ 437

---

1 *ἀστοῖς* **DG**: [τ]ὸ *δίδου* **PQ** *λείπει τὸ δίδου* **H** ‖ *δίδου* om. **b** 3 l. **EF**: om. **DGQ** ‖ *ὁ βασ. τῆς σικ.* **Db** 4 *ἱέρων* **DEF**: *ὁ ἱέρων* **GQ** ‖ *δινομ.* **E** 5 *ἐπιτρέπει* **CDPQ** 7 *ὁ νοῦς* **GQ**: *ὁ νοῦς· καὶ* **E** om. **D** ‖ *καθικετεύω σε*] *καθικετεύσε* (s. -σο) **E**[ac] *καθικέτευσε* **F** 9 *καὶ* (pr.)] *φησὶν* **EF**. Ft. *φησὶ δὲ*, om. *ὁ* ‖ *καρχηδόνων* **CDGQ** 10 *ἔχῃ* **C**[s]**r** ‖ *τὸν* om. **CEF** ‖ *ἐπίνευσον δὲ* ego: *ἐπίνευσον* codd., **b** *ἢ ἐπίνευσον* **r** 11 *πρὸ*] *πρὸς* **DQ** ‖ *ἄλλως* om. **F** ‖ *χαριέστατον* **EF** 12 *τὴν* om. **EFG** ‖ *βαρβάρων* **Cr**: *βαρβαρικῶν* ‖ *ἐπεστήσατο* **EF** 15—20 sic **D**: *συμμαχήσας γὰρ τοῖς κυμαίοις ἱέρων καὶ καταβαλὼν καὶ ἄρδην ἀφανίσας τούτους, εὔχεται σικελιώτ(αις) καὶ καρχηδονίοις ἀστα*(corr. ex *ἀκατα*)*σίαστα μένειν τὰ πράγματα* 15 *ἄλλως* om. **F** ‖ *οἵ* om. **E** 15. 16 *ἀπόγονοι* Beck 21 *συρ(ρ)ακουσίων* **EFQ** 21. 22 *καὶ βασιλεῖ* **r**: *βασιλεῖ* **EF** om. (h. l.) **DGQ** 22 *ἱέρωνι*] + *καὶ βασιλεῖ* **DGQ**

οἱ Καρχηδόνιοι καὶ Τυρσηνοί· ὅστις ὁ Ἱέρων ἀπὸ τῶν ταχειῶν νεῶν ἐνέβαλε τῇ θαλάσσῃ πᾶσαν τὴν ἡλικίαν.

DEFGQ 146 a. *Ἑλλάδ' ἐξέλκων βαρείας: ἔνιοι μὲν Ἑλλάδα τὴν ἐν Σικελίᾳ ἤκουσαν, ἔνιοι δὲ Ἑλλάδα τὴν Ἀττικήν. ἱστορεῖται γάρ τι τοιοῦτον, ὅτι Ξέρξου μέλλοντος στρατεύειν ἐπὶ τὴν* 5 *Ἑλλάδα πρέσβεις ἦλθον πρὸς Καρχηδονίους κελεύοντες πλεῖν ἐπὶ Σικελίαν καὶ τοὺς τὰ τῶν Ἑλλήνων φρονοῦντας καταστρέφεσθαι, καὶ οὕτως ὁρμᾶν ἐπὶ τὴν Πελοπόννησον. οἱ μὲν οὖν Καρχηδόνιοι ὑπήκουσαν. κατὰ δὲ τὸν αὐτὸν χρόνον πρὸς Ἱέρωνα πρέσβεις ἦλθον παρ' Ἀθηναίων ἀξιοῦντες συμμαχεῖν τοῖς Ἕλλησιν·* 10 *οἷς ὑπήκουσαν οἱ περὶ τὸν Γέλωνα, καὶ κατασκευασάμενοι διακοσίας ναῦς καὶ δισχιλίους ἱππέας καὶ μυρίους πεζοὺς τὸν τῶν Καρχηδονίων στόλον κατεναυμάχησαν κατὰ τῆς Σικελίας ὁρμῶντα, ὥστε καὶ τοὺς Σικελιώτας καὶ τοὺς ἄλλους Ἕλληνας* EFGQ *ἐλευθερῶσαι.* b. *ἄλλως· ἔνιοι μὲν Ἑλλάδα τὴν Σικελίαν* 15 *ἤκουσαν, τινὲς δὲ Ἑλλάδα τὴν Ἀττικήν. εἰκὸς δὲ ταῖς Ἐφόρου ἱστορίαις ἐντυχόντα τὸν Πίνδαρον, ἐξηκολουθηκέναι αὐτὸν αὐτῷ. ἱστορεῖ γὰρ Ἔφορος* (FHG I p. 264) *τοιοῦτον, ὅτι παρασκευαζομένου Ξέρξου τὸν ἐπὶ τῇ Ἑλλάδι στόλον, πρέσβεις παραγενέσθαι πρὸς Γέλωνα τὸν τύραννον ἱκετεύοντας* 20 *εἰς τὸν τῶν Ἑλλήνων σύλλογον ἐλθεῖν· ἐκ δὲ Περσῶν καὶ Φοινίκων πρέσβεις πρὸς Καρχηδονίους, προστάσσοντας ὡς πλεῖστον δέοι στόλον εἰς Σικελίαν βαδίζειν καταστρεψομένους τοὺς τὰ τῶν Ἑλλήνων φρονοῦντας πλεῖν ἐπὶ Πελοπόννησον. ἀμφοτέρων δὲ τὸν λόγον δεξαμένων, καὶ τοῦ μὲν Ἱέρωνος* 25 *συμμαχῆσαι τοῖς Ἕλλησι προθυμουμένου, τῶν δὲ Καρχηδονίων ἑτοίμων ὄντων συμπρᾶξαι τῷ Ξέρξῃ, Γέλωνα διακοσίας*

---

1. 2 *ταχειῶν*] *ταχινῶν* CEF 2 *ἀνέβαλε* EFQ *ἐνέβαλλε* G 3—25, 5 cfr. Thom. p. 448, 3 Ab. 3 l. EF: *ἑλλάδ' ἐξέλκων* DGQ 3. 4 *τὴν σικελ(ίαν)* D; cf. 15 4 *ἑλλάδα* om. DQ 8 *καὶ — πελοπ.* om. D ‖ *τὴν* om. EQ 9 *ἱέρωνα*] *γέλωνα*? 11 *καὶ* om. EF 13 *κατεναυμάχησε* EF 15 *ἔνιοι* — 16 *ἀττικήν* om. Cr 17. 18 *αὐτὸν* om. C; locus vix sanus 19 *τὴν ἑλλάδα* E 22—24 corrupta 23 post *στόλον* dist., post *σικελίαν* add. *τε* h; item b, add. *καὶ* post *βαδίζειν* ‖ *καταστρεψομένους* EFG[s]: *-ψαμένους* G[1]Qhb *-ψομένων* C 24 *πλεῖν ἐπὶ πελ.* om. C ‖ <*εἶτα*> *πλεῖν* Beck 25 *ὑποδεξαμένων* CGQ ‖ *ἱέρωνος*] *γέλωνος*? 27 *ὄντων ἑτοίμων* GQ

εὐτρεπίσαντα ναῦς καὶ δισχιλίους ἱππεῖς καὶ πεζοὺς μυρίους κατακοῦσαι στόλον Καρχηδονίων καταπλεῖν ἐπὶ Σικελίαν καὶ διαμαχησάμενον μὴ μόνον τοὺς Σικελιώτας ἐλευθερῶσαι, ἀλλὰ καὶ σύμπασαν τὴν Ἑλλάδα. | εἰκὸς οὖν ταύτῃ τῇ ἱστορίᾳ ἐν- DEFGQ
5 τετυχηκέναι τὸν Πίνδαρον. 147e F

147 a. αἱρέομαι: αἱροῦμαι καὶ ἀποδέχομαι, φησί, τὴν DEFGQ παρὰ Σαλαμῖνος καὶ Ἀθηναίων χάριν καὶ μισθόν, ὅτι ἐκινδύνευσαν ὑπὲρ πάσης τῆς Ἑλλάδος. b. ἄλλως· λαμβάνω EFGQ καὶ λογίζομαι σωτηρίαν τῆς Ἑλλάδος τὴν τῶν Ἀθηναίων νί-
10 κην. 149 F c. ἄλλως· αἱρέομαι: αἱροῦμαι, φησί, τὴν τῆς Ἑλλάδος σωτηρίαν τὸν παρ' Ἀθηναίων μισθόν· τοῦτό ἐστιν ἡ παρὰ Σαλαμῖνος χάρις. d. λαμβάνω τὴν χάριν, τουτέστι τῆς Σαλαμῖνος τὴν μάχην, εἰς μισθὸν καὶ εἰς σωτηρίαν τῆς Ἑλλάδος παρὰ τῶν Ἀθηναίων. οἱ γὰρ Ἀθηναῖοι εἰς Σαλαμῖνα
15 ναυμαχήσαντες πρὸς τοὺς Πέρσας ἔσωσαν τὴν Ἑλλάδα. 147a F

149. αἱροῦμαι δὲ καὶ ἀποδέχομαι, φησί, τὴν πρὸ Κιθαιρῶνος μάχην τῶν Σπαρτιατῶν, καθ' ἣν οἱ τοξόται τῶν πεζικῶν ἡγούμενοι περὶ Πλαταιὰς τὴν πεζικὴν ἀνετρέψαντο δύναμιν. DEFGQ

20 152 a. πὰρ δὲ τὰν εὔυδρον ἀκτάν: ὁ νοῦς· καὶ παρὰ DEFGQ τὴν εὔυδρον ἀκτὴν τοῦ Ἱμέρα ποταμοῦ τὸν ὕμνον τοῖς τοῦ Δεινομένεος παισὶ τελέσας, ἀπὸ κοινοῦ τὸ αἱρέομαι· ὅντινα

---

1 ναῦς εὐτρεπ. GQ 2 καταπλεῖν EFG: κατὰ πλοῦν PQ ‖ σικελ(ίαν) EG σικελίᾳ Q 3 διαμαχησαμένου EF[cp] 4 τὴν ἑλλ. σύμπ. PQ 6 καὶ DGP: om. EFQ 8 ἄλλως GQ: ἄλλως· αἱρέω E αἱρέω F 10 αἱρέομαι om. GQ ‖ τὴν om. EF 11 τὸν] τῶν EF[s] ‖ τοῦτό ἐστιν scripsi: τουτέστιν 12 παρὰ σαλαμῖνος E: παρὰ s. περὶ σαλαμῖνα FGQ ‖ τὴν χάριν — 13 τὴν μάχην h: τὴν μάχην τουτέστι τῆς σαλαμῖνος (C)EF τουτέστι τὴν μ. τῆς σ. Q τουτέστι τῆς σ. τὴν μ. G τὴν χάριν τουτέστι τὴν ⟨νίκην⟩ σ. Beck ‖ καὶ] τουτέστιν EF 14 παρὰ]:~ (signum novi scholii), tum lac. (P)Q 16 l. nullum F: ἄλλως DEG(Q) ‖ δὲ om. Q 17 ἣν CDE[2]?FG: ὃν E[1] ὧν PQ. Quae seq. sic fere restituenda: οἱ τοξόται ⟨τῶν περσῶν ἀπέθανον. οἱ γὰρ λακεδαιμόνιοι⟩ τ. π. ἡγ. π. π. τὴν περσικὴν ἀν. δ. 20 τὰν FGQ: τὴν CE om. D ‖ ἀκτάν om. Q ‖ παρὰ DFQ: περὶ δὲ E 21 τὴν ἀκτὴν τὴν εὔυδρον E ‖ ἱμέρου EQ ‖ τοῖς om. E 22 αἱρέομαι E ‖ ὅντινα — 27, 1 ἀναιρεθέντων cfr. sch. 155a

ὕμνον ἐδέξαντο παρὰ τῇ ἑαυτῶν ἀρετῇ τῶν πολεμίων ἀναιρε-
EFGQ θέντων. b. φασὶ δὲ τὸν Γέλωνα τοὺς ἀδελφοὺς φιλοφρονού-
μενον ἀναθεῖναι τῷ θεῷ χρυσοῦς τρίποδας ἐπιγράψαντα ταῦτα
(Simon. fr. 141 Bgk.)·

Φημὶ Γέλων', Ἱέρωνα, Πολύζηλον, Θρασύβουλον, 5
παῖδας Δεινομένευς τοὺς τρίποδας θέμεναι,
βάρβαρα νικήσαντας ἔθνη, πολλὴν δὲ παρασχεῖν
σύμμαχον Ἕλλησιν χεῖρ' ἐς ἐλευθερίην.

DEFGQ 153. Ἱμέρα παίδεσσιν: Ἱμέρας ποταμὸς ἐν Σικελίᾳ,
περὶ οὗ καὶ Αἰσχύλος φησὶν ἐν Γλαύκῳ (fr. 32)· 10

καλοῖσι λουτροῖς ἐκλέλουμαι δέμας
εἰς ὑψίκρημνον Ἱμέραν δ' ἀφικόμην.

EFGQ 155 a. τὸν ἐδ⸌έ⸍ξαντο: ὅντινα ὕμνον ἐδέξαντο ἐπὶ τῇ
DEFGQ ἑαυτῶν ἀρετῇ τῶν πολεμίων ἀνδρῶν ἀναιρεθέντων. b. ἄλ-
λως· ὅντινα ὕμνον ἐδέξαντο νικήσαντες τοὺς Καρχηδονίους. 15

DEFGQ 157 a. καιρὸν εἰ φθέγξαιο: οἱ μέν φασι λείπειν τὴν
κατά πρόθεσιν, ἵν' ᾖ· κατὰ καιρὸν εἰ φθέγξαιο. b. εἰ και-
ρίως λέγων, τῆς πολυλογίας τὰ πέρατα εἰς ἓν συντείνας καὶ
συμπλέξας, ἐκφύγοις ἂν τὸν φθόνον. ἡ δὲ μεταφορὰ ἀπὸ
τῶν δικτύων. c. τὸ δὲ ἑξῆς· εἰ ἐν βραχεῖ φθέγξαιο κατὰ 20
καιρόν, πολλῶν πείρατα συντανύσας, μείων ἕπεται μῶμος ἀν-
EFGQ θρώπων. d. ἄλλως· αἰσθάνεται ἑαυτοῦ ἐκπεπτωκότος. ὁ δὲ
νοῦς οὕτως· εἰ τὰ καίρια λέγεις τῶν πολλῶν τὰ πέρατα εἰς
ἓν συντεμὼν καὶ συμπλέξας, οὐκ ἀκολουθήσει σοι μέμψις οὐδὲ
φθόνος. 25

---

1 παρὰ DGQ? (cfr. ad sch. P. I 21c): περὶ EFQ? (ἐπὶ EFGQ sch. 155a) 2 cfr. Thom. p. 450, 16 Ab. 5—6 cfr. Anth. Pal. VI 214 5 γέλων codd. (A. P. a. c.), corr. r 6 δινομε-νέος E δεινομένεος F ‖ τὸν τρίποδ' ἀνθέμεν αιA. P. 7 νικήσαν-τας] νικήσας τὰ PQ 8 ἕλληνα PQ ‖ ἐλευθερίαν PQ 13 ἐδέ-ξαντο (pr.)] ἐδέξανθ' E ἐδέξαθ' F 14. 15 ἄλλως EGQ: τὸν ἐδέ-ξαντο D om. F 16 λείπειν E λείπει F: λέγειν DGQ 17 εἰ] ᾖ Beck (vix recte; εὐκαίρως Schroeder) 18 λέγοις scrib. vid. 19 ἐκφύγοις EF: ἐκφύγῃ DGQ 20 φθέγξομαι Q ‖ κατὰ — 21 συντανύσας om. D 21 πέρατα Q 22 ἐκπεπτωκώς EF 23 λέγεις r λέγ(εις) E: λέγων F λέγει Q λέγοις G 24 σοι om. Q 25 post φθόνος add. ἡ (δὲ) μεταφορὰ ἀπὸ τῶν δικτύων FGQ

160 a. *ἀπὸ γὰρ κόρος αἰανής*: ὁ γὰρ διηνεκὴς κόρος καὶ ἡ μακρολογία τὰς ταχείας καὶ μικροψύχους διανοίας ἀμβλύνει τῶν ἀνθρώπων. DEFGQ b. ἄλλως· ὁ γὰρ κόρος καὶ ἡ μακρολογία ἀμβλύνει τὰς τῶν ἀκουόντων διανοίας. EFGQ

5 162 a. *ἀστῶν δ' ἀκοά*: ἡ δὲ τῶν πολιτῶν ἀκοὴ κρυφίως λυπεῖ τὴν ψυχὴν ἐπὶ τοῖς ἀλλοτρίοις τῶν πολιτῶν κατορθώμασιν. ἀλλήλοις γὰρ ὡς ἐπὶ τὸ πλεῖστον διαφθονοῦσιν. DEFGQ
b. ἄλλως· ἀντὶ τοῦ λυποῦνται οἱ πολῖται ἐπὶ τοῖς τῶν ἀλλοτρίων καλοῖς· καὶ ἐπὶ τοῖς σοῖς, Ἱέρων, φθονοῦσι καλοῖς. EFGQ
10 τί τοῦτο;

164 a. *ἀλλ' ὅμως κρέσσον*: ἀλλ' ὅμως βέλτιον φθονεῖσθαι ἤπερ οἰκτείρεσθαι. μὴ οὖν παρέλκου μηδὲ παρόρα τὰ καλά, ὦ Ἱέρων. EFGQ b. ἄλλως· μὴ διὰ τὸν φθόνον, φησί, παρόρα τὰ καλά, ἀλλὰ τὸν νῦν τεταγμένον σοι δῆμον δικαίῳ καὶ 15 ἀγαθῷ κυβέρνα πηδαλίῳ. νώμα γὰρ ἀντὶ τοῦ κυβέρνα. DEFGQ

167 a. *ἀψευδεῖ δὲ πρὸς ἄκμονι*: σκληρῶς ἄκμονα τὸ στόμα ἀπὸ μεταφορᾶς τῶν χαλκευόντων. πρὸς ἄκμονι δὲ ἀψευδεῖ χάλκευε, ὅ ἐστι, φιλαλήθης ἔσο. DGQ b. ἄλλως· ἀντὶ τοῦ ἀλήθευε. | ἴσως δέ τι ἐπηγγείλατο τῷ Πινδάρῳ ὁ Ἱέρων. EFGQ

20 169. *εἴ τι καὶ φλαῦρον παραιθύσσει*: λείπει ὁ γάρ· ἐὰν γάρ τι καὶ εὐτελὲς παρὰ σοῦ λεχθῇ καὶ ὁρμήσῃ, καὶ τοῦτο μέγα καὶ διὰ πάντων φέρεται. φησὶ δὲ μεγάλα εἶναι τὰ τῶν ἀρχόντων ἁμαρτήματα, κἂν εὐτελῆ τυγχάνῃ. εἰ καί τι οὖν εὐτελὲς ἁμάρτῃς, τοῦτο μέγιστον ἔσται. DEFGQ

---

1 cfr. sch. J. I 69. sch. Aesch. Eum. 575.

---

1 l. EF: om. DGQ ‖ τὰς — 3 μακρολογία om. E 3 τῶν ἀνθρώπων post 2 τὰς trp. b 7 διαφθονοῦσιν] φθονοῦσιν Q 9 καὶ EF: ὡς καὶ GQ 10 τί τοῦτο EF: om. GQ τινές r 11 l. EF (sed κρεῖττον E, κρεῖσσον F): om. GQ 13 ἄλλως — 14 καλὰ EF (sed ἄλλως om. F, μὴ om. E): ἄλλως. φησὶ μὴ διὰ τὸν φθ. παρόρα τὰ καλὰ DGQ. Ft. pro ἄλλως scrib. ἀλλ' ὅμως 14 τεταγμένον] τε γεγενημένον EF ‖ καὶ om. E 15 νώμα EF: τὸ νώμα DGQ 16 l. (+χάλκευε) et EF ‖ δὲ om. DG ‖ κληρῶς DQ 17 δὲ om. Q 19 cfr. Thom. p. 452, 18 Ab. ‖ τῷ πινδάρῳ om. G 20 φαῦλον EF ‖ παραιθύσσει om. DQ 21 ὁρμήσει DG ὁρμηθῇ Q ‖ καὶ (ante τοῦτο) om. DGQ 24 ἁμάρτῃς] ἁμάρτῃ EF

DGQ 171. *πολλῶν ταμίας*: πολλῶν γὰρ δεσπότης καὶ βασιλεὺς τυγχάνεις καὶ διοικητής. βασιλεὺς γὰρ ἦν.

DEGQ 172. *πολλοὶ μάρτυρες ἀμφοτέροισι*: τῷ τε ἀληθεῖ καὶ τῷ ψευδεῖ· ἢ σοὶ καὶ τῷ υἱῷ. ὁ δὲ Σιδώνιος, σοὶ καὶ τοῖς ὑποτεταγμένοις. 5

DEFGQ 173. *εὐανθεῖ δ' ἐν ὀργᾷ*: εὐγενεῖ. ἡ δὲ μεταφορὰ ἀπὸ τῶν εὐγενῶν φυτῶν. εὐγενεῖ δέ, φησί, τρόπῳ παραμένων, εἰ δή τι φιλεῖς τὴν ἡδεῖαν τῶν ἐγκωμίων ἀκοήν, μὴ ἀπόκαμνε πρὸς τὰς δαπάνας. ἐκ δὲ τούτου προτρέπεται τὸν Ἱέρωνα μισθὸν αὐτῷ παρασχεῖν τοῦ ἐπινίκου. 10

DEFGQ 176. *ἐξίει δ' ὥστε κυβερνάτας*: ὥσπερ δὲ κυβερνήτης ἄριστος, ἔα πρὸς πνεῦμα τὸ ἱστίον· ἵνα ἱστίον μὲν τὸν μισθόν, πνεῦμα δὲ τὸ ἐγκώμιον ἀκούσωμεν.

DEFGQ 178. *μὴ δολωθῇς κέρδεσιν εὐτραπέλοις*: ὁ νοῦς· μὴ δολωθῇς, ὦ προσφιλέστατε Ἱέρων, τῇ ἐχθροτάτῃ φιλοκερδείᾳ. 15

DEFGQ 179a. *ὀπισθόμβροτον*: τὸ φροντίδος ἀξιούμενον ὑπὸ τῶν ἀνθρώπων τῶν μετὰ ταῦτα καὶ μετὰ θάνατον λεγόμενον EFGQ ἐγκώμιον. b. ἄλλως· τὸ μετὰ ταῦτα ἐσόμενον τῆς δόξης καύχημα, ὅπερ μόνον τῶν τεθνηκότων ἀνθρώπων τὸν βίον 20 καταμηνύει τοῖς τε λογίοις καὶ ποιηταῖς. c. οἱ δὲ οὕτω· τὸ ἐκ τῆς δόξης καύχημα τὸ μετὰ ταῦτα ἐσόμενον, ὅπερ μόνον τῶν τεθνηκότων ἀνδρῶν τὸν βίον καταμηνύει.

DEGQ 181a. *οἷον ἀποιχομένων*: τὸ μετὰ ταῦτα ἐσόμενον τῆς δόξης καύχημα, ὅπερ μόνον τῶν τεθνηκότων ἀνθρώπων τὸν 25 DEFGQ βίον καταμηνύει | τοῖς τε λογίοις καὶ ποιηταῖς. b. ἀοιδοῖς μὲν τοῖς ποιηταῖς, λογίοις δὲ τοῖς πεζογράφοις.

DEFGQ 184. *οὐ φθίνει Κροίσου φιλόφρων ἀρετά*: οὐδαμῶς φθείρεται καὶ λήθην λαμβάνει ἡ τοῦ Κροίσου φιλοφρο-

---

1 πολλῶν (pr.) om. Q 3—5 in mg. adscr. E 6 δ' ἐν ὀργᾷ om. D 7 φησὶ om. EF ‖ περιμένων PQ 11 l.] EF: ἐξίει δ' ὥστε DGQ 13 τὰ ἐγκώμια DG 14 l. EF: μὴ δολωθῇς (D)GQ 15 προσφιλέστατε EF: φίλτατε DGQ ‖ ἐχθότητι G[cp]Q 15. 16 φιλοκερδ(είᾳ) DG 18 τῶν ἀ. τῶν μετὰ ταῦτα EFQ: τῶν μ. τ. ἀ. DG 20 sqq. ὅπερ ubique delend. vid. 23 ἀνδρῶν] ἀνθρώπων FQ 24 οἷον D: οἶον EGQ 28 l. EF: οὐ φθίνει κροίσου DGQ

νητικὴ ἀρετή. ὅτι δὲ πλούσιος καὶ φιλόφρων ὁ Κροῖσος ἦν, δῆλος ὁ λόγος.

185. τὸν δὲ ταύρῳ χαλκέῳ: κατὰ δὲ τοὐναντίον, φησί, Φάλαριν τὸν ἐν τῷ χαλκῷ βοΐ κατακαύσαντα τοὺς ἀνθρώ-5 πους αἰσχρὰ φάτις ἔχει. τὸν δὲ τοῦ Φαλάριδος ταῦρον οἱ Ἀκραγαντῖνοι κατεπόντωσαν, ὥς φησι Τίμαιος (FHG I p. 222)· τὸν γὰρ ἐν τῇ πόλει δεικνύμενον μὴ εἶναι τοῦ Φαλάριδος, καθάπερ ἡ πολλὴ κατέχει δόξα, ἀλλ' εἰκόνα Γέλα τοῦ ποταμοῦ. κατασκευάσαι δὲ αὐτόν φασι Περίλαον καὶ πρῶτον ἐν 10 αὐτῷ κατακαῆναι. Καλλίμαχος (fr. 119)· DEFGQ

πρῶτος ἐπεὶ τὸν ταῦρον ἐκαίνισεν, ὃς τὸν ὄλεθρον
εὗρε τὸν ἐν χαλκῷ καὶ πυρὶ γιγνόμενον.

186. νηλέα ⟨νόον⟩: τινὲς ἄνοον, τὴν λε̄ ἀποστρέφοντες. EF

187. ἐχθρὰ Φάλαριν: ὁ νοῦς· τοῦ μὲν Κροίσου οὐδα-15 μῶς φθείρεται ἡ φιλοφρονητικὴ ἀρετή, τὸν δὲ χαλκῷ ταύρῳ τῶν ξένων καυτῆρα καὶ ἀνηλεῆ τὸν νοῦν Φάλαριν αἰσχρὰ πανταχοῦ κατέχει φήμη. DEFGQ

188. οὐδέ μιν φόρμιγγες: ὁ νοῦς· οὐδὲ αὐτὸν αἱ ὑποικίδιοι κιθάραι παρὰ συμποσίοις καὶ δείπνοις εἰς κοινω-20 νίαν ἡδεῖαν δέχονται ταῖς τῶν παίδων ὁμιλίαις καὶ τοῖς ὕμνοις. τουτέστιν οὐδέποτε τὸν Φάλαριν ἐν συμποσίοις παῖδες ὑμνοῦσιν. λείπει δὲ τῷ λόγῳ ἡ εἰς πρόθεσις. DEFGQ

191. τὸ δὲ παθεῖν εὖ: τὸ δὲ ἐπιτυχεῖν ἄθλων καὶ ἀγῶνος καὶ εὖ πρᾶξαι πρωτεύει· ἀνυμνεῖσθαι δὲ νικήσαντα 25 δευτέρα μοῖρα. ἀμφοτέροις δὲ τούτοις ὃς ἂν ἐπιτύχῃ καὶ κρατήσῃ, στέφανον ὑψηλότατον δέχεται. DEFGQ

τέλος. Q

---

9 cfr. Diod. 9, 18 (Tzetzes hist. I 646). Plin. h. n. 34, 89

---

1 ὅτι δὲ καὶ κροῖσος πλ. καὶ φ. ἦν F ‖ ἦν ὁ κροῖσος DGQ 2 λόγος] + ἐστί DGQ 3 φησί] φασί PQ 8 ἡ πολλὴ EQ: ἡ πολλῶν DG οἱ πολλοὶ (et δόξαν) F ‖ εἰκόνα γέλ(λ)α codd.: εἰκών ἐστι γέλωνος (P)r 10 κατακαυθῆναι EF 11 ἐκαίνισεν EF: ἐκαίνισας DGQ ‖ ὃς] οἱ Anna Fabri 12 γιγνόμενον Beck?: γινόμενον DFG γενόμενον EPQ 13 νόον addidi 16 καυστῆρα PQ 19 ὑποικίδιοι G: ὑποκίνδυνοι EF ἐποικίδιοι Q ἀποικίδιοι D 22 λείπει] λέγει DG 23 εὖ om. DG

Scholia in Pythionicarum carmen II.

DEQ Τῷ αὐτῷ. 1ᵃDQ 1ᵇE
Q Τῷ αὐτῷ Ἱέρωνι. 1ᵃQ
F Ἱέρωνι Συρακουσίῳ νικήσαντι ἅρματι. 1ᵇF

r Περὶ τῶν κώλων τῆς στροφῆς καὶ ἀντιστροφῆς τοῦ δευτέρου τῶν Πυθίων εἴδους. 5

Τῆς δευτέρας ᾠδῆς ἡ μὲν στροφὴ καὶ ἀντίστροφος κώλων ιε΄ τὸ α΄ δίμετρον τροχαϊκὸν καταληκτικὸν λελυμένους ἔχον τοὺς δύο πόδας. τὸ β΄ ἰαμβικὸν δίμετρον βραχυκατάληκτον. τὸ γ΄ τροχαϊκὸν δίμετρον βραχυκατάληκτον. τὸ δ΄ ἰαμβικὸν δίμετρον καταληκτικόν. τὸ ε΄ χοριαμβικὸν δίμετρον 10 βραχυκατάληκτον. τὸ ϛ΄ ἀναπαιστικὸν δίμετρον ὑπερκατάληκτον. τὸ ζ΄ Ἰωνικὸν ἀπὸ μείζονος δίμετρον καταληκτικόν, τῆς πρώτης συλλαβῆς ἀδιαφόρου οὔσης. τὸ η΄ χοριαμβικὸν τρίμετρον ἀκατάληκτον. τὸ θ΄ τρίμετρον ἰαμβικὸν βραχυκατάληκτον. τὸ ι΄ ἐπιωνικὸν δίμετρον ἀκατάληκτον. τὸ ια΄ 15 μονόμετρον ἀναπαιστικόν. τὸ ιβ΄ δίμετρον ἐπιχοριαμβικὸν ἀκατάληκτον. τὸ ιγ΄ τρίμετρον ἰαμβικὸν βραχυκατάληκτον. τὸ ιδ΄ δίμετρον τροχαϊκὸν καταληκτικὸν Εὐριπίδειον. τὸ ιε΄ πενθημιμερὲς ἰαμβικόν.

Περὶ τῆς ἐπῳδοῦ αὐτοῦ. 20

Ἡ δὲ ἐπῳδὸς κώλων ιδ΄. τὸ α΄ δίμετρον τροχαϊκὸν ἀκατάληκτον. τὸ β΄ δίμετρον ἰαμβικὸν βραχυκατάληκτον. τὸ γ΄ δίμετρον χοριαμβικὸν καταληκτικόν. τὸ δ΄ τρίμετρον ἀντισπαστικὸν ἀκατάληκτον, ἀπὸ ἰαμβικῆς ἀρχόμενον καὶ καταλειόμενον ἰαμβικῇ. τὸ ε΄ παιωνικὸν δίμετρον καταληκτικόν. 25 τὸ ϛ΄ Γλυκώνειον, τοῦ πρώτου ποδὸς ἀδιαφόρου, εἶτα τροχαίου, εἶτα διϊάμβου. τὸ ζ΄ ἀντισπαστικὸν τρίμετρον καταληκτικὸν Πινδαρικὸν, ἀπὸ τροχαίου εἰς τροχαῖον. τὸ η΄ σύνθετον ἀπὸ παίωνος καὶ διμέτρου Ἰωνικοῦ ἀκαταλήκτου, τοῦ

4—31, 7 cfr. Tricl. p. 456 sq. Ab. 13 ἀδιαφόρου ego: διαφόρου 15 ἐπιωνικὸν] ἰαμβικὸν mg. Brub. (Tricl.) 17 βραχυκατάληκτον mg. Brub., Pauw: ἀκατάληκτον 27. 28. καταληκτικὸν Tricl., mg. Brub., Pauw: ἀκατάληκτον

τε ἀνακλωμένου καὶ τοῦ ἀπὸ μείζονος. τὸ θ´ πενθημιμερὲς ἰαμβικόν. τὸ ι´ Ἰωνικὸν δίμετρον κατακλειόμενον ἐκ τροχαϊκῆς διποδίας. τὸ ια´ χοριαμβικὸν τρίμετρον καταληκτικόν. τὸ ιβ´ ἰαμβικὸν δίμετρον βραχυκατάληκτον. τὸ ιγ´ Πινδαρι-
5 κόν, διὰ τὸ πολλάκις τὸν Πίνδαρον αὐτῷ κεχρῆσθαι. σύγκειται δὲ ἐξ ἀντισπάστου καὶ χοριάμβου καὶ ἰάμβου καὶ συλλαβῆς. τὸ ιδ´ Ἰωνικὸν ἀπὸ μείζονος ἀκατάληκτον.

Inscr. Γέγραπται μὲν Ἱέρωνι ἅρματι νικήσαντι, ἄδηλον DEFGQ δὲ εἰς ποῖον ἀγῶνα· διεστασίασται γὰρ οὐ μετρίως τοῖς πρὸ
10 ἡμῶν. οἱ μὲν γὰρ οὐδὲ ὅλως ἐπίνικον αὐτὸν εἶναί φασι, Τίμαιος δὲ (FHG I p. 232) θυσιαστικήν, Καλλίμαχος (fr. 100d 16) Νεμεακήν, Ἀμμώνιος καὶ Καλλίστρατος Ὀλυμπιακήν, ἔνιοι Πυθικήν, ὡς Ἀπολλώνιος ὁ εἰδογράφος, ἔνιοι δὲ Παναθηναϊκήν. | αὐτίκα γοῦν Διονύσιος ὁ Φασηλίτης οὐκ οἴεται δεῖν EFGQ
15 γράφειν τᾶν λιπαρᾶν ἀπὸ Θηβᾶν, ἀλλὰ τᾶν λιπαρᾶν ἀπ' Ἀθηνᾶν διὰ τὸ Παναθηναϊκὸν εἶναι τὸν ἐπίνικον· καταφέρεσθαι γάρ πως τὸν Πίνδαρον εἰς τὸ τὰς Ἀθήνας λιπαρὰς προσαγορεύειν, τὰς δὲ Θήβας χρυσαρμάτους καὶ εὐαρμάτους καὶ λευκίππους καὶ κυανάμπυκας· τέλεον εὐχερής τις ὤν. καὶ
20 γὰρ καὶ ἄλλας πλείους λιπαρὰς καλεῖ, ὥσπερ τὴν Σμύρναν (fr. 204)· καὶ λιπαρῷ Σμυρναίῳ ἄστει· καὶ τὴν Αἴγυπτον ἐν Διθυράμβοις (fr. 82)· τὰν λιπαρὰν μὲν Αἴγυπτον ἀγχίκρημνον. καὶ τὰς Θήβας δέ που εἶπε λιπαράς (fr. 196)· λιπαρᾶν τε Θηβᾶν μέγαν σκόπελον. ἄλλως τε εὔηθες ἀπὸ τῶν Ἀθη-

4 Hephaest. p. 45 W.

1 τε] δὲ hb 2 scrib. vid. κατακλ. τροχαϊκῇ διποδίᾳ 6 ἀντισπάστου καὶ Beck (ἀντισπάστου Tricl., Pauw): ἀντισπαστικοῦ 8 inscr.] μεγαλοπόλιες ὦ συράκουσαι EF ἄλλως G μεγαλοπόλιες Q 9 διεστασιάσθαι D διστασιάζεται (P)r ‖ γὰρ om. EF 10 ἡμᾶς Q ‖ εἶναι] γί(νεσθαι) E om. D ‖ φασὶν εἶναι (C)Q 11 θυσιαστικὴν DEFGQ: θυσιαστήριον CP θυσιατήριον (ex G male lecto) b χαριστήριον Beck 12 καλλίμαχος D 12. 13 ἔνιοι πυθικὴν om. CP 13 εἰδηγράφος D εἰδὼς γράφει E[cp]?F εἰρηνικὸς Q 14 φασιλίτης EF 18 καὶ εὐαρμάτους om. Q 20 καὶ om. EFP 21 σμυρναίων Boeckh ad fr. 115 ed. suae 22 ἀγχίκρημνον EFGQ: ἄγει κρίμνων CP 23 λιπαράν et 24 θήβαν codd.

νῶν φάναι τῷ Ἱέρωνι τὸ μέλος φέρεσθαι. οὐ γὰρ τὸ μέλος, ἀλλ' ἡ νίκη αὐτῷ Ἀθήνηθεν ἀφικνεῖται· ὁ δὲ Πίνδαρος οὐκ Ἀθηναῖος, ἀλλὰ Θηβαῖος, ὥστε ἀπὸ Θηβᾶν δεῖ γράφειν, ὅθεν ἦν ὁ τὸ ποίημα συνθείς. 1ᵇ DGQ 2 EF

DEFGQ 1 a. μεγαλοπόλεις εἶπε τὰς Συρακούσας, ἐπειδὴ Ἀρχίας 5 τέσσαρας πόλεις καταστρεψάμενος εἰς μίαν συνήγαγεν. εἰσὶ δὲ αὗται· Ἀχραδίνη, Νεάπολις, Ἐπιπολαί, Τύχη. οὐκ ἐκ τοῦ παρατυχόντος οὖν μεγαλοπόλεις εἴρηκε τὰς Συρακούσας. sch. inscr. DGQ 4 EF b. ἄλλως· ὦ μεγαλοπόλιες Συράκουσαι τοῦ μεγαλοπολέμου Ἄρεος τέμενος οὖσαι, ἀντὶ τοῦ ἀνδρεῖοι ὄντες, 10 ἀνδρῶν σιδήρῳ καὶ ἵπποις χαιρόντων καὶ πολεμικῶν τροφοὶ οὖσαι. 6ᵇ EF

DEFGQ 2. βαθυπολέμου τέμενος Ἄρεος: τοῦτο εἴρηκε διὰ τὸ νεωστὶ Καρχηδονίους καὶ Λίβυας καὶ Τυρρηνοὺς ὑπὸ τῶν περὶ Γέλωνα καὶ Ἱέρωνα μὴ μόνον τῇ νήσῳ ἐπιπλεύσαντας 15 καθῃρῆσθαι, ἀλλὰ καὶ ὑπ' αὐτοῖς τὴν Καρχηδόνα γενέσθαι, ὥστε ὑπακούειν· τὸ γοῦν ἀνθρωποθυτεῖν φησιν ὁ Θεόφραστος ἐν τῷ περὶ Τυρρηνῶν παύσασθαι αὐτοὺς Γέλωνος προστάξαντος. ὅτι δὲ καὶ ἐκέλευσεν αὐτοὺς χρήματα εἰσφέρειν, Τίμαιος (FHG I p. 214) διὰ τῆς ιδ´ ἀνέγραψεν. 1ᵃ EF 6ᵇ Q 20

EFQ 4. τὸ σιδηροχαρμᾶν κατὰ κοινοῦ καὶ τῶν ἀνδρῶν καὶ τῶν ἵππων.

---

5 Cic. Verr. IV 118 sq. Auson. de clar. urb. 92 17 Plut. de ser. num. vind. p. 552 A; apophth. p. 175 A. Porphyr. de abstin. II 56?

---

3 ὥστε] ὡς Q ‖ γράφειν E(Fᶜᵖ): γράφεσθαι GPQ 4 ὁ om. G 5 cfr. Tricl. p. 459, 1 Ab. ‖ 1. nullum EFQ: μεγαλοπόλιες D GP ‖ μεγαλοπόλεις CD(Gᶜᵖ): μεγαλοπόλιας PQ μεγαλόπολιν EF 7 ἀχραδινή CP ἀκραδίνη cett. 8 μεγαλοπόλεις CD(Gᶜᵖ): μεγαλοπόλιας EFQ 9 ἄλλως DG: [ἄλλως·] μεγαλοπόλιες Q μεγαλοπόλιες EF 9. 10 μεγαλοπολέμου EF: μεγάλου DGQ 12 οὖσαι] + δαιμόνιοι CP 13 l. EFQ: βαθυπολέμου τέμενος DG ‖ ἄρεως EF 14 τὸ] τοὺς DG 14. 15 τῶν περὶ] τὸν E τὸν παρὰ F 17 ὥστε ὑπακούειν om. Q ‖ τὸ] τοῦ CP 18 ἐν τῷ — 19 προστάξαντος] παύσασθαι τοὺς τυρρηναίους κελεύσαντος γέλωνος D 19 αὐτοὺς EF: αὐτὸς DG αὐτὸν Q ‖ προσφέρειν Q 20 ἀνέγραψε(ν) DGQ: ἀνέγραφε EF ἀναγέγραφεν CP 21 cfr. Germ. p. 459, 12 Ab. ‖ κατὰ EF: ἀπὸ Q Germ.

6 a. λιπαρᾶν διὰ τὸν Διόνυσον καὶ Ἡρακλέα καὶ αὐτόν. EFQ
10 EFQ

6 b. φέρων μέλος ἔρχομαι: οὐκ αὐτὸς ὁ Πίνδαρος DEFGQ
ἥκων εἰς τὰς Συρακούσας ταῦτά φησιν· οὐ γὰρ ἀφῖκται πρὸς
5 τὸν Ἱέρωνα, ἀλλ' ἡ ᾠδὴ ἀποστολική· ἤτοι οὖν ἐκ τοῦ διακο-
μίσαντος τὴν ᾠδὴν πρὸς τὸν τύραννόν ἐστιν ὁ λόγος ἢ ἐκ
τοῦ χοροῦ· διὰ γὰρ χοροῦ ἔπεμπε τοὺς ἐπινίκους. c. ὁ δὲ
νοῦς· ἀπὸ τῶν εὐδαιμόνων Θηβῶν παραγίνομαι τὸ μέλος φέ-
ρων, ἀγγελίαν καὶ ἀνακήρυξιν τοῦ ἅρματος τοῦ [κατὰ] τὴν
10 χθόνα ἐλελίζοντος καὶ ἀνακινοῦντος· ὁ δὲ εὐάρματος Ἱέρων
νικῶν εὐσυνόπτοις καὶ διαιγεστάτοις ἀνέδησε στεφάνοις τὴν
Ὀρτυγίαν. sch. inscr. EF 4Q

10. Ὀρτυγίαν στεφάνοις: ἐν Ὀρτυγίᾳ ἦν τὰ ἱπποτρο- DEFGQ
φεῖα Ἱέρωνος. Ὀρτυγίαν δὲ τὴν ἐπὶ τῆς Σικελίας χερρόνησόν
15 φησιν· αὐτῆς γὰρ νῆσος οὖσα τοπρότερον συνήφθη ταῖς Συ-
ρακούσαις.

12 a. ποταμίας ἕδος: τῆς Ἀλφειώας. φασὶ γάρ τινες EFGQ
Ἀλφειὸν ἐρασθέντα τῆς θεοῦ καὶ διώξαντα ἄχρι τῆς Ὀρτυγίας
παύσασθαι. | ὅθεν Ἀλφειώας Ἀρτέμιδος ἐκεῖ φασιν εἶναι ἱε- FGQ
20 ρόν, ἣν νῦν ποταμίαν εἶπεν. b. ἄλλως· ἕδος Ἀρτέμιδος: DEFGQ
ἵδρυται γὰρ ἄγαλμα Ἀρτέμιδος ἐπὶ τῇ Ἀρεθούσῃ, ἡ δὲ Ἀρέ-

---

10 cfr. sch. Soph. Ant. 154 14 cfr. sch. O. VI 156 a. — Strab. I p. 59. VI p. 270. sch. Thuc. VI 3 20 sch. Nem. I 3 (p. 19 Ab.)

---

1 cfr. Germ. 1 l. 13 ‖ καὶ ἡρ. καὶ αὐτόν om. Q 3 l. DG: φέρων μέλος Q om. CEFP 4 ἀφῖκται εἰς συρ., om. ἥκων — ἀφῖκται D ‖ εἰς τὰς συρρακ. ἥκων GQ 5 ἀποστολική EF: ἀποσταλτική DGQ ἀποστολιμαία ἐστίν CP ἐπιστολιμ. ἐστίν r. Ft. ἐπιστολική 5. 6 διακοσμήσαντος Q 6 ἐκ] εἰς EF 7 διὰ — ἐπινίκους om. D 9 κατὰ seclusi 10 ἐλελίζοντος] ἀγγελίαν καὶ ἐλελίζοντός ἐστι χώραν χθόνα E[ac] (del. ἀγγ. καὶ et ἐστι — χθόνα rubr.) ἐλελίζοντός ἐστι χώραν χθόνα F 11 νικῶν] + καὶ τῆλε E[ac] (corr. rubr.) FG ‖ ἀνέδησε στεφάνοις P: ἀνέδυσε στ. EF στ. ἀνέδησε GQ στ. ἀνέδυσε D 13 14. ἱπποτρόφια CEFP 14 cfr. Tricl. p. 459, 17 Ab. 15 φησιν CEP: φασιν DFGQ ‖ αὐτῆς EFGQ: αὐτὴ D αὕτη Pr 17 ἀλφειώσεως EF ‖ cfr. Thom. p. 459, 22 Ab. 19 φασιν] φησιν Q om. F 20 ἄλλως] ποταμίας ἕδος D

θουσα ἐξ Ἀλφειοῦ τοῦ ποταμοῦ δέχεται τὰ ῥεύματα· ποταμίαν οὖν [Ἄρτεμιν] αὐτὴν διὰ τοῦτο ὠνόμασεν.

DEFGQ 13. τᾶς οὐκ ἄτερ κείνας: ἥστινος ἐκείνας οὐ χωρὶς τῆς Ἀρτέμιδος τὰς πεποικιλμένας ἐχούσας ἡνίας πώλους ταῖς ἀγαναῖς ἑαυτοῦ χερσὶν ἐδάμασε καὶ ὑπέζευξε. τὸ δὲ κείνας 5 τῷ πώλους συναπτέον· ἐπεὶ καὶ αὕτη ἱππική·

EFGQ τὴν δὲ χολωσαμένη χρυσήνιος Ἄρτεμις ἔκτα (Z 205).

DEFGQ 16 a. ἐπὶ γὰρ ἰοχέαιρα: τὸ ἐπί τῷ τίθησι συναπτέον. Διδύμα δὲ ἡ Ἄρτεμις καλεῖται. b. ὁ δὲ νοῦς· ἡ δὲ παρθένος Ἄρτεμις ἀμφοτέραις αὐτῆς ταῖς χερσὶ καὶ ὁ ἐναγώνιος Ἑρμῆς 10 τὸν λαμπρὸν ἐπιτίθησι κόσμον τῷ ἅρματι.

DGQ 18 a. ὅ τ' ἐναγώνιος: ὡς καὶ Αἰσχύλος (fr. 384) φησίν· ἐναγώνιε Μαίας καὶ Διὸς Ἑρμᾶ. προστάτης γὰρ ὁ Ἑρμῆς τῶν ἀγώνων. b. κόσμον δὲ τὸν στέφανόν φησιν.

DEFGQ 20 a. ξεστὸν ὅταν δίφρον: ὅταν τὸν δίφρον κατα- 15 ζευγνύῃ καὶ τὰ ἅρματα τὰ πεισιχάλινα, τὰς σειρὰς δηλονότι καὶ τὰ ζυγά. πεισιχάλινα δὲ πῶς τὰ ἅρματα; χαλινοῖς γὰρ οὐ χρῶνται πρὸς τὴν κατάζευξιν. ἤτοι οὖν τὰς ἡνίας δεκτέον χαλινοὺς εἰρῆσθαι διὰ τὸ χαλᾶσθαι αὐτὰς καὶ πάλιν ἀνέλκεσθαι, ἢ καὶ ἐπὶ τῶν κελήτων δεκτέον· ἠγώνισται γὰρ καὶ κέ- 20

EFGQ λησιν. b. ὅταν οὖν ὁ Ἱέρων εἰς τὸν ἀγῶνα παρασκευάζῃ τὰ ἅρματα, ἡ Ἄρτεμις προσάπτεται αὐτοῦ τῶν χαλινῶν καὶ τῶν ὀχημάτων, κατὰ τὸ Ὁμηρικόν (E 799)·

ἱππείου δὲ θεὰ ζυγοῦ ἥψατο.

---

18 Suid. χαλινός. Eust. Il. *T* p. 1189, 55. — EM 805, 14. Schol. Opp. hal. I 229

---

2 ἄρτεμιν om. **DGQ** post αὐτὴν trp. **F**; seclusi ‖ τοῦτο **EF**: ταῦτα **DGQ** ‖ ὠνόμασε **EF**: εἴρηκεν **DGQ** 3 κείνας om. **DGQ** ‖ ἐκείνας — 4 ἀρτέμιδος **EF**: ἐκείνης δηλονότι ἀρτ. οὐ χωρὶς **CP** τῆς ἀρτ. οὐ χωρὶς ἐκείνας **DGQ**. Ft. delend. ἐκείνας 4 πεποικιλμένα **GQ** ‖ ἡνία **DGQ** 6 πώλῳ **DG** ‖ ἐπεὶ **CP**: ἐπεῖον **EF** ἐπειοῦ **DG** ἐπεὶ οὐ **Q** 8 cfr. Thom. p. 460, 9 Ab. 10 αὐτῆς **EF**: αὐταῖς **DG** αὐτοῦ **Q** 11 τῷ ἅρματι κόσμον **Q** 12 ὡς — 13 ἑρμᾶ om. **D** 14 τὸν om. **b** 17 τὰ ζυγά **EF**: τοὺς ζυγούς **DG** τὸν ζυγόν **Q** ‖ ἅρματα] ἅρμενα **EF** 19 αὐτὰς **EFG**[cp]: αὐταῖς? **D** αὐτοὺς **Q** 20 ἢ καὶ **CFP**: ὃ καὶ **E** ἢ **DGQ** 22 αὐτοῦ **Pr**: αὐτῶν ‖ τῶν χαλ. καὶ om. **CEFP**

c. ἢ οὕτως· ἐπιτίθησι, φησί, τὰς χεῖρας ἡ Ἄρτεμις καὶ ὁ Ἑρμῆς τῷ Ἱέρωνι, ὅταν τὸν εὔξεστον δίφρον καὶ τὰ πεισιχάλινα ἅρματα, ὅ ἐστι τὰς ἡνίας, τὸ ἵππειον καταζευγνύῃ σθένος, ἀντὶ τοῦ ὅτε τοὺς ἵππους ζεύγνυσι, καλῶν τὸν Ποσει-
5 δῶνα ὡς ἵππειον θεόν, ὁ Ἱέρων.

21. ἔν θ' ἅρματα: ἡ ἐν ἀντὶ τῆς εἰς, ἵν' ᾖ· ὅταν εἰς τοὺς δίφρους καὶ τοὺς χαλινοὺς ζευγνύῃ τὸ ἵππειον σθένος, ὅ ἐστι τοὺς ἵππους. DEFGQ

24. ἄλλοις δέ τις ἐτέλεσεν: ἄλλοις βασιλεῦσιν ἄλλος DEFGQ
10 ποιητὴς ὕμνον εὐηχῆ καὶ εὔρυθμον κατασκευάζει, ὄντα τὸν ὕμνον ἀμοιβὴν καὶ λύτρα τῆς ἀρετῆς. εἶτα ἡ ἀνταπόδοσις τοῦ νοῦ· ἐγὼ δὲ σοί, ὦ Ἱέρων· καὶ ἐπισυνάπτει ἐργασίαν.

25. (εὐαυχέα:) ἐφ' ᾧ ἔστι τινὰ αὐχεῖν. Gg¹Hg¹r

27 a. κελαδέοντι μὲν ἀμφὶ Κινύραν: περὶ μὲν τὸν DEFGQ
15 Κινύραν οἱ ὕμνοι τῶν Κυπρίων γίνονται, ἐγὼ δὲ περὶ σέ. ἦν δὲ οὗτος Ἀπόλλωνος υἱός, ἢ Πάφου κατὰ ἐνίους.
b. διαπορεῖται δέ, τί δή ποτε εἰς τοὺς τοῦ Ἱέρωνος ἐπαίνους τὸν Κινύραν προσῆκται, | εἰ μὴ ὅτι ταῖν θεοῖν ἱεροφάντης EFGQ ἀπεδέδεικτο· Δεινομένους γὰρ υἱεῖς εἰσιν οἱ περὶ τὸν Ἱέρωνα
20 τοῦ τὰ ἱερὰ ἐκ Τριοπίου τῆς Κύπρου εἰς Σικελίαν κομίσαντος. ὁ δὲ Κινύρας οὗτός ἐστιν, ἀφ' οὗ οἱ ἐν Κύπρῳ Κινυρίδαι τῇ θεῷ ἀνιέρωνται. c. ἢ οὕτως· εἰσὶν οἱ λέγοντες (D)EFGQ τὸν Δεινομένην τὸν πατέρα Ἱέρωνος ἀνέκαθεν Κύπριον· | διὸ νῦν εὐλόγως γράφων εἰς τὸν Ἱέρωνα μέμνηται Κινύρου. EFGQ

---

16 Hyg. fab. 242. Ovid. met. 10, 298 18 sch. O. VI 158c. 160d 19 EM s. v. Γέλα (225, 1)? Her. VII 153?

---

3 ἅρμενα EF ‖ ὅ ἐστι] ἤτοι G 6 l.] + πεισιχάλινα DGQ ‖ τ' ἅρματα DG 9 ἐτέλεσεν om. DGQ 11 λύτρον (D^cp)GQ 14 l. F: κελαδέοντι κιννύραν E κελαδέοντι μέν DGQ ‖ τὸν] τὴν EF 15 ἐγὼ] ἐμὸς h ὅδε Fähse syllog. p. 405 16 ἢ scripsi: καί 17 τοῦ om. EF 18 τὸν] om. E τὴν F ‖ κιννύραν DE ‖ ἱερόφαντος E 19 ἀποδέδεικτο FGQ 20 τοῦ] τὸν GQ ‖ ἐκ τριοπίου] ἐκ τριοπίας GQ αὐτροπίου EF ἐκ τριόπου P ἐκ τριόπης C ‖ κύπρου] καρίας b (frustra in his sordibus) 20. 21 κομίσαντα GQ 21. 22 κινυρίδαι EFG κινυρίται Q: κινυράδαι b 22 cfr. Thom. p. 461, 7 Ab. 23 δ(ε)ινομένη E^ac?FQ ‖ ἀνέκ..αθε (lac. 2 litt.) E

DEFGQ |τόν ποτέ οἱ Κινύρης δῶκε ξεινήϊον εἶναι. (Λ 20.)| d. ὁ δὲ νοῦς· χορεύουσι μὲν περὶ τὸν Κινύραν πολλάκις οἱ τῶν Κυπρίων ὕμνοι, ὄντινα ὁ χρυσοκόμης ἠγάπησεν Ἀπόλλων ἱερέα καὶ σύντροφον καὶ συνήθη τῆς Ἀφροδίτης ὄντα.

E(F) e. ἡ δὲ ἀνταπόδοσις τοῦ λόγου αὕτη· περὶ μὲν τὸν Κινύραν οἱ τῶν Κυπρίων ὕμνοι, περὶ δὲ σὲ ὁ ἐμὸς καὶ τῶν Συρακουσίων. 5

DEFGQ 28. *φᾶμαι Κυπρίων· τόν*: τὸν τῶν Κυπρίων βασιλέα, οὗ καὶ Ὅμηρος μέμνηται (Λ 20). υἱὸς δὲ Εὐρυμέδοντος καὶ Παφίας νύμφης. ἐγένετο δὲ ἱερεὺς τῆς Κυπρίας Ἀφροδίτης. 10

DEFGQ 31 a. *κτίλον Ἀφροδίτας*: ὅτι κτίλον τὸν συνήθη καὶ εἰθισμένον τῇ χειρὶ προσηγόρευσε. καὶ αὐτὸς ὁ Πίνδαρος τὸ EFGQ τιθασσεύεσθαι κτιλεύεσθαι λέγει (fr. 238)· | ἔνθα [αἱ] ποῖμναι κτιλεύονται κάπρων λεόντων τε. b. ἢ οὕτως· οὐχ ὅτι ἐρώμενος Ἀπόλλωνος ὁ Κινύρας· ἀλλ' ἀγαπᾶσθαί φησιν αὐ- 15 τὸν ὑπὸ τοῦ θεοῦ διὰ τὸ ἐγκωμιάζεσθαι αὐτὸν ὑπὸ τῶν μουDEFGQ σικῶν. c. ἄλλως· Ὅμηρος μὲν (Γ 196. Ν 492) κτίλον τὸν προηγούμενον τῆς ποίμνης κριόν· ἡ δὲ τοῦ ὀνόματος ἐτυμολογία οὐχ οὕτως ἔχει. ἔστι γὰρ παρὰ τὸ κτίσαι, ὅ ἐστι τὸ θρέψαι· ὡς αὐτὸς ὁ Πίνδαρος (fr. 313) ἐν ἄλλοις· ὀρειχτί- 20 του συός, τοῦ ἐν ὄρει τεθραμμένου. νῦν δὲ τὸν ἱερέα. d. κτίλον Ἀφροδίτης οἱονεὶ σύνθρεμμα καὶ συνήθη τῇ θεῷ.

DEFGQ 32. *Ἄγει δὲ χάρις*: ἄγει δὲ ἑαυτὴν ἡ χάρις πρὸς ἀμοιβήν τινος ὑποστρεφομένη τῶν προϋπαρξάντων προσφιλεστά-

11 Hes. κτίλον: συνήθη. — Schol. Γ 196. Eust. ad Il. Γ p. 403, 35. EM 542, 42. EG 350, 38. Zon. 1260. schol. Nicandr. Ther. 452 19 Eusth. ad Il. Τ p. 1175, 15

1 seclusi 2 τὸν] τὴν F 3 ὄντινα — 6 ὕμνοι om. F 6 ὁ CP: om. EF ‖ καὶ τῶν CP: lac. EF 8 post l. add. ὄντινα DGQ 10 παφίας] παφίνου EF 11 ἀφροδίτας F: -της D[cp] EGQ ‖ ὅτι om. DGQ 13 κτιλακεύεσθαι E ‖ αἱ EGQ prave; om. CP 13. 14 ποιμένες CP 14 κτιλακεύονται E ‖ κάπρων] + τε F ‖ ἢ οὕτως GQ: ἢ ὅτι E lac. F 15. 16 αὐτόν φησιν Q 19 ἔστι Γ: οὐ codd. 20 ὡς om. Q 20. 21 ὀρειχτίτου DP (Schroeder): ὀριχτίτου 23 χάρις (pr.)] χάριν ποίτινος EF ‖ αὐτὴν DG 24 προσφιλεστάτων Kayser lectt. Pind. p. 42, al.: ἀσφαλεστάτων codd. σαφηνεστάτων Faehse syllog. p. 405

των ἔργων. ὁ δὲ λόγος αὐτῷ, ὅτι προευεργετηθεὶς ὑπὸ τοῦ Ἱέρωνος νῦν ἀμείβεται αὐτὸν τοῖς ὕμνοις καὶ ἐγκωμίοις.

33 a. ἀντὶ ἔργων: ἀντὶ τῶν ὕμνων ἡ χάρις ἄγει τὸν EFGQ ποιητὴν εἰς τὸ λέγειν καὶ ὑμνεῖν, ἀντὶ τοῦ ὁ μισθός. ποί-
5 τινος δὲ ἀμειπτική. b. ἄλλως· ἔξωθεν προσληπτέον χάριν, DEFGQ ὥστε εἶναι τὸν λόγον τοιοῦτον· ἡ δὲ χάρις χάριν ἄγει ἀντὶ φίλων ἔργων σεβομένη τὸν εὐεργετήσαντα. c. ὀπιζομένη δὲ ἀμειβομένη, ἀνταποδιδοῦσα, ἐντρεπομένη· μετὰ αἰδοῦς γὰρ χαρίζονται, ἀλλ' οὐ μετὰ θράσους. d. ἢ ὀπιζομένη, ὕστερον
10 ἐπακολουθοῦσα· ἡ γὰρ ἀμειπτικὴ χάρις ὑστέρα τῆς προκαταρκτικῆς. τοῦτο δὲ εἶπε διὰ τὸ τοὺς Λοκροὺς χάριν ὁμολογεῖν τῷ Ἱέρωνι, προευεργετήσαντι αὐτούς.

34. ὀπιζομένη ἤτοι ἐπιστρεφομένη· ἢ ὅτι μετὰ αἰδοῦς DEFGQ καὶ θράσους αἱ χάριτες δίδονται. 36b Q
15 36 a. οὗτοί εἰσιν Ἐπιζεφύριοι Λοκροὶ πρὸς τῇ Ἰταλίᾳ EFG^{mg}Q οἰκοῦντες. 38 Q

36 b. Λοκρὶς παρθένος ἀπύει: ὁ νοῦς· ἀνυμνοῦσι DEFGQ μὲν τὸν Κινύραν οἱ Κύπριοι· σὲ δέ, ὦ Δεινομένους παῖ Ἱέρων, Ἐπιζεφυρία παρθένος προελθοῦσα λοιπὸν τῶν οἴκων
20 ἀναφωνεῖ καὶ ἀνυμνεῖ, τῶν πολεμικῶν καμάτων ἐξ ἀπροσδοκήτου ἀπαλλαγεῖσα καὶ διὰ τὴν σὴν δύναμιν ἐλεύθερον βλέπουσα. c. ἄλλως· Ἀναξίλα τοῦ Μεσσήνης καὶ Ῥηγίου τυ- EFGQ ράννου πολεμοῦντος Λοκροῖς Ἱέρων πέμψας Χρόμιον τὸν

---

8 sch. P. IV 152. — sch. T 216. Hes. ὀπίζεται. EM 627, 46. 628, 7. EG 431, 54. — sch. Od. ν 148. Eust. ibid. (1738, 5) et ad ξ 268 (1760, 10) 9 EM 628, 7. EG 431, 58
13 Eust. ad X 331 (1272, 18) et α 60 (1391, 38). Zon. 1460
22 sch. P. I 99 a

---

1 ὅτι om. EF 3 ἀντὶ ἔργων EGQ: ἀντὶ τῶν ἔργων D (ad sch. 32 relatum) ‖ ἀντὶ τῶν ὕμνων EFG: ἀντὶ τοῦ τῶν ὕμνων Q 4 ἀντὶ τοῦ ὁ EFG: om. Q 5 προσληπτέον DEFG: τὸ Q 6 ἡ δὲ — 7 εὐεργετήσαντα om. D 8 ἐντρεφομένη EF ‖ μετὰ CP: ἢ μετὰ 13 l.] ἄλλως praem. DGQ ‖ ἢ ὅτι — 14 δίδονται om. D 14 καὶ θράσους EFG prave (cf. sch. 33c); om. Q 15 οὗτοί εἰσιν om. EF, ft. recte ‖ τὴν ἰταλίαν b 17 l. EF: λοκρὶς παρθένος GQ λοκρίς D 19 λοιπὸν om. CP; et quid sibi velit h. l., nescio 22 μεσσήνης b: μεσήνης ‖ ὀργίου EF^{pc} ὀρτυγίου ? F^{ac}

κηδεστὴν διηπείλησεν αὐτῷ, εἰ μὴ καταλύσαιτο τὸν πρὸς αὐτοὺς πόλεμον, αὐτὸν πρὸς τὸ Ῥήγιον στρατεύειν· οὕπερ δὴ πρὸς τὴν ἀπειλὴν ἐνδόντος ἐν εἰρήνῃ διήγαγον οἱ Λοκροί. ἐφ' οἷς οὖν ἔπαθον, αἱ Λοκρίδες ᾖδον καὶ καθύμνουν τὸν Ἱέρωνα. 36ᵃ Q 5

DEFGQ 38. δρακεῖσ' ἀσφαλές: ἐλεύθερον βλέπουσα. Ἀναξίλας γὰρ καὶ Κλεόφρων ὁ τούτου παῖς Ἰταλίας ὄντες τύραννοι, ὁ μὲν ἐν Μεσσήνῃ τῇ Σικελιωτικῇ, ὁ δὲ ἐν Ῥηγίῳ τῷ ἐπὶ Ἰταλίας, πόλεμον ἠπείλουν Λοκροῖς· διαπρεσβευσάμενος δὲ πρὸς αὐτοὺς ὁ Ἱέρων ἔπαυσε τοῦ πολέμου τοὺς Λοκρούς. 10

DEFGQ 39. θεῶν δ' ἐφετμαῖς: ταῖς δὲ τῶν θεῶν ἐντολαῖς καὶ βουλήσεσι τὸν Ἰξίονά φασι ταῦτα τοῖς ἀνθρώποις βοᾶν, EFGQ | τῷ ταχεῖ τροχῷ πανταχοῦ δινούμενον, ὥστε τὸν εὐεργέτην προσηνέσιν ἀμοιβαῖς μετερχομένους ἀμείβεσθαι.

DEFGQ 40a. Ἰξίονα φαντὶ ταῦτα: τίνος ἕνεκεν εἰς τοὺς 15 περὶ Ἰξίονα παρεκβέβηκε λόγους ὁ Πίνδαρος; εἰ γὰρ οἱ Λοκροί, ἀνθ' ὧν εὐηργετήθησαν ὑφ' Ἱέρωνος, ᾄδουσιν αὐτόν, εἰς οὐδὲν ὁ Ἰξίων αὐτῷ προσῆκται· τότε γὰρ ἐχρῆν εἰς παράδειγμα αὐτὸν ἄγεσθαι, εἰ μὴ τῆς χάριτος οἱ Λοκροὶ ἐμέμνηντο, ὥσπερ ὁ Ἰξίων. εἰ μὴ ἄρα καθόλου παρελήλυθεν ὁ Ἰξίων, 20 ὅτι τὸν εὐεργέτην προσήκει τοῖς αὐτοῖς ἀεὶ ἀμείβεσθαι. 41 D

EFGQ b. τὸν δὲ Ἰξίονα οἱ μὲν Ἀντίονος γενεαλογοῦσιν, ὡς Αἰσχύλος

22—40, 3 sch. Ap. Rh. 3, 62. Diod. 4, 69. sch. AD *A* 268. sch. Eur. Phoen. 1185. sch. Luc. dial. deor. 6 p. 216 R. Tzetzes Chil. IX 385—404

---

1. 2 αὐτοὺς] αὐτὸν **GQ** 2 ft. στρατεύσειν ‖ οὕπερ **GQ**: οὗ **EP** οὗ ὅτι **F** 3 διήγαγον] διῆγον **G** 6—10 (et 37, 22) cfr. Thom. p. 462, 14 Ab. 6 ἀσφαλῶς **Q**ˢ ‖ ἀναξίλαος **EF** 7 θεόφρων **Q** 8 μεσσήνῃ **b**: μεσήνῃ ‖ σικελικῇ **DGQ** 10 ὁ om. **EFQ** 12 φασι **b**: φησι **DEFGQ** ‖ βοᾶν om. **Q** 13 ὥστε corruptum; ὡς δεῖ Bergk (melius ὡς δέον) 14 πρὸς σύνεσιν **EF** 15 εἰς om. **CPr** 16 παρεκβέβηκε scripsi: παρεμβέβληκε (παρεμβέβηκε **Q**) 17 ἀνθ'] ἀφ' **Q** 19 μὴ τῆς **CP**: μήτε (μή γε **r**) ‖ χάριτας **DEF** 20 εἰ μὴ — 21 ὅτι] φαμὲν οὖν ὅτι καθόλου παρακελεύονται αἱ λοκρίδες τῷ ἰξίονι λέγειν τοῖς ἀνθρώποις ὡς **CP**; cfr. Lehrs Pindarsch. p 14 20 προσελήλυθεν **DG** ‖ post ἰξίων lac. statuit, v. c. παρακελευόμενος ἀεὶ suppl. Lehrs ibid. 21 ὅτι] ὅτε **Q** ‖ ἐπαμείβεσθαι **Q** 22 ἱστορία ἰξίονος **G**ᵐᵍ

(fr. 89)· *Φερεκύδης δὲ* (FHG I p. 96) *Πεισίωνος, ἔνιοι δὲ Ἄρεος, οἱ δὲ Φλεγύα. Ἀσκληπιάδης δὲ ἐν τρίτῳ Τραγῳδουμένων οὕτω γράφει. προσιστοροῦσι δὲ ἔνιοι, ὅτι καὶ μανείη ὁ Ἰξίων, ὡς Φερεκύδης· καὶ τὴν ἐπὶ τοῦ τροχοῦ δὲ κόλασιν αὐτῷ*
5 *παρεγκεχειρήκασιν· ὑπὸ γὰρ δίνης καὶ θυελλῶν αὐτὸν ἐξαρπασθέντα φθαρῆναί φασιν. οὗτος ἔγημε Δίαν τὴν Δηϊονέως θυγατέρα. ἔθος δὲ ἐπὶ τοῖς παλαιοῖς τοῖς τῶν νυμφῶν πατράσι δῶρά τινα προσάγειν, ὡς καὶ Ὅμηρος* (*Λ* 244)·

πρῶθ' ἑκατὸν βοῦς δῶκεν, ἔπειτα δὲ χίλι' ὑπέστη
10 *αἶγας ὁμοῦ καὶ ὄϊς.*

ὁ δὲ Δηϊονεὺς κατὰ τὸ σύνηθες γήμαντα τὸν Ἰξίονα τὴν τῶν δώρων εἰσεπράττετο δόσιν· | *καὶ οὕτως ὁ Ἰξίων διορύξας βόθρον καὶ πληρώσας πυρὸς ἐκάλεσε τὸν πενθερὸν ὡς ἐπὶ εὐωχίαν. ὁ δὲ ἀπρονόητος ὢν τοῦ μηχανήματος εἰσελθὼν ἐπέστη* **DEFGQ**
15 *τῇ πυρᾷ καὶ κατεκαύθη.* | *τοῦ δὲ μύσους μηδενὸς καθαρίζοντος τὸν Ἰξίονα, ἀποστραφέντων δὲ αὐτὸν καὶ τῶν ἄλλων θεῶν, οἰκτείρας ὁ Ζεὺς ἐκάθηρε μὲν αὐτὸν τοῦ φόνου, ἀνήγαγε δὲ καὶ εἰς οὐρανὸν καὶ συνέστιον εἶχεν αὐτόν. τὸν δὲ δευτέρῳ ἁμαρτήματι ἐπιχειροῦντα εἰς ἔρωτα τῆς Ἥρας κινη-* **EFGQ**
20 *θῆναί φασι· μαθόντα δὲ τὸν Δία νεφέλην τῇ Ἥρᾳ ἀναπλάσαι καὶ ἐκτυπῶσαι ὁμοίαν, τὸν δὲ Ἰξίονα θεασάμενον ἐφορμῆσαι*

18—40, 3 cfr. sch. Hom. *φ* 303

---

1 *δὲ πεισίωνος* om. **Q** ‖ *πεισίωνος*] *αἴτωνος* sch. Ap. Rh. ‖ *ἄρεως* **EF** 2 *φλεγυία* **EFG** ‖ *τραγῳδουμένων — γράφει*] *τραγῳδου* .... (lac.) **Q** 3 *προσιστοροῦσι* — 6 *φασιν* ab h. l. aliena vid.; ft. post 40, 6 transponenda ‖ *μανείη* **CP**: *μανίη* **EF** *μανοίη* **GQ** 4 *ὡς*] *καὶ* **Q** 5 *θυελλῶν* **Q**: *θυέλλων* **EFG** *θυέλλης* **h** 6—20 cfr. Thom. p. 464, 26 Ab. 6 *ἠιονεὺς* sch. Ap. Rh., *ἠσιονεὺς* codd. Diodori; cfr. Cobet misc. crit. p. 245 7 *ἐπὶ* **EF**: om. **DGQ** ‖ *τοῖς τῶν* **G**: *τῶν* **EFQ** 9 *ἔδωκεν* **EFQ** ‖ *δὲ* om. **E** ‖ *ὑπέστησ'* **GQ** 12 *ἱστορία περὶ ἰξίονος* E[mg] ‖ *καὶ — βόθρον* **EFGQ**: *βόθρον γὰρ ὁ ἰξ. διορύξας* **D** 13 *πυρὸς* om. **EF** 13. 14 *εὐωχίᾳ* **DG** 14 *ἐπέστη* **DGQ**: *ὑπέστη* **EF**. Scrib. vid. *ἐπέπεσε* 15 post *κατεκαύθη* add. *δεύτερον δὲ ἀμπλάκημα τὸν ἔρωτα τῆς ἥρας* **D** (cfr. p. 40, 1 sq.) 17 *τοῦ φόνου αὐτὸν* **Q** 20 *φασι* om. **EF**
20. 21 *ἀναπλάσαι καὶ ἐκτυπῶσαι ὁμοίαν* **EF** (cfr. *ἐξετύπωσε καὶ ἀνέπλασεν* **CP**): *ὁμοίαν ἀναπλάσας καὶ ἐκτυπώσας ἴσην* **GQ** (-*πλά*(*σας*) et -*τυπώ*(*σας*) G[cp])

καὶ παρακλιθῆναι. γενέσθαι δὲ ἐξ αὐτῶν ἄγριόν τινα καὶ τερατώδη ἄνδρα, ὃν Κένταυρον ὠνόμασαν. ὕστερον δὲ τροχῷ τοὺς πόδας καὶ τὰς χεῖρας τοῦ Ἰξίονος προσδεσμευθῆναι, καὶ κελεῦσαι τὸν Δία πρὸς τὴν δίνησιν τοῦ τροχοῦ τὸ τοιοῦτον . . . ., ὡς προσήκει τοὺς εὐεργετήσαντας βελτίοσιν ἀμείβεσθαι καὶ μὴ τοῖς ἐναντίοις καταβλάπτειν. 54ᶜ D 5

DGQ 41. *πτερόεντι τροχῷ*: δεδεμένος, φησί, τῷ τροχῷ ὁ Ἰξίων τοῦτο βοᾷ καὶ λέγει, ὅτι δεῖ τοὺς εὐεργέτας ἀντευεργετεῖν.

DEFGQ 45 a. ἔμαθε δὲ σαφῶς ὁ Ἰξίων, ὅτι δεῖ τὸν εὐεργέτην ἀνταμείβεσθαι. παρὰ γὰρ τοῖς Κρόνου παισὶν εὐμενῶς διατεθεῖσιν αὐτῷ ἡδὺν δεξάμενος βίον τὴν ἐν θεοῖς διαγωγήν, τὸν μακρὸν καὶ ὑπεραίροντα τὴν αὐτοῦ φύσιν ὄλβον ἐνεγκεῖν οὐκ ἴσχυσεν, ὅτε τῆς Ἥρας ταῖς μεμηνυίαις φρεσὶν ἐπεθύμησεν, ἥντινα Ἥραν μόναι αἱ τοῦ Διὸς κοῖται ἔλαχον. DGQ b. ἄλλως· μαθὼν τὸ σαφὲς ἔγνω. εὐμενῶς διατεθεῖσιν. 10 15

DEFGQ 52 a. *ἀλλά νιν ὕβρις ἐς αὐάταν*: εἰς ἄτην καὶ βλάβην. τὸ δὲ αὐάταν Αἰολικῶς προήγαγεν· ἐκεῖνοι γάρ, ἐὰν ᾖ δύο φωνήεντα, ἐντιθέασι τὸ ῡ, ὡς ἐπὶ τοῦ ἀὴρ αὐήρ, καὶ ἄως αὔως. ὅτε δὲ σύμφωνόν ἐστι μεταξύ, οὐκέτι. πῶς οὖν 20

17—20 Gregor. Cor. p. 611. Tzetzes ad Hes. O. D. 664· (Etym. Leid. s. v. *κανάξαις*, cfr. Heinsius ad Tzetzem l. l.)

---

2 *ὠνόμασαν* **FG** *-σεν* s. *-σαν* **E**ᶜᵖ: *ὠνόμασεν* **Q** (cfr. *κατωνομάσας* **CP**) 3 *τὰς χεῖρας καὶ τοὺς πόδας* **FPQ** ‖ *τοῦ* om. **EF** ‖ *προσδεσμευθῆναι*] + *καὶ τὸν τροχὸν ἀειδίνητον παρασκευασθῆναι* **h** ex **r**, ubi *προσεδέσμευσε καὶ* — *παρεσκεύασε* (item **CP**, sed *ἐδεσμ.*) 4 *κίνησιν* **h** ‖ *τὸ* om. **E** 5 lac. indicavi; *βοᾶν* (sch. φ 303) s. *λέγειν* (sch. Eur. et Lucian.) excidit 7 l. om. **Q** 10 l. nullum **DEFQ**: *ἔμαθε δὲ σαφές* **CGP** ‖ *σαφές* **Q** 11 *τοῖς* **DG**: *τοῦ* **EF** *τοῖς τοῦ* **CPQ** ‖ *παισὶν* om. **Q** 12 *δεξάμενον* **EF** 13 *ὄλβον*] lac. **Q** om. **P** 14 *ταῖς*] *ἐν* **DG** ‖ *ἐμμεμηνυίαις* **h** (ob **G**) 15 *αἱ τοῦ*] *αὐτοῦ* **EF** 15. 16 *ἄλλως* **Q**: lac. **G** om. **D** 16 post *ἔγνω* distinxi ‖ *διατεθεῖσιν* scripsi: *διατεθείς* 17—41, 2 cfr. Thom. p. 464, 4 Ab. 17 l. **EF**: *ἀλλά νιν ὕβρις* **DGQ** ‖ *αὐάταν*] *εὐάταν* **F** (ε in ras.) ‖ *ἄτην*] *αὔταν* **E** *ἄταν* **F** 18 *αὐάτην* **DG** *εὐάταν* **F** (ευ in ras.) ‖ *ἐκεῖνα* **EF** 19 *ὡς ἐπὶ τοῦ ἀὴρ καὶ ἀώς* Beck (tacite) ‖ *ἀήρ*] *ἀνὴρ* **Q** ‖ *αὔηρ* exspectes ‖ *ἀώς* Beck

τὸ ἄτη τοῦ τ̄ ὄντος μεταξὺ ἀνεδέξατο τὸ ῡ; καί φαμεν, ὅτι ἀπὸ συναιρέσεως γέγονεν· ἦν γὰρ ἀάτη· καὶ Ὅμηρος (Τ 91)·

πρέσβα Διὸς θυγάτηρ Ἄτη, ἣ πάντας ἀᾶται.

καὶ οὕτως ἀναλόγως, εἰ καὶ κατ' ἔκθλιψιν γέγονε, διὰ τὸ
5 ὑπάρχειν τὸ ἕτερον ᾱ, ἀνεδέξατο τὸ ῡ. b. ἄλλως· ἀλλά GQ
νιν: ὁ νοῦς· ἀλλά νιν καὶ αὐτὸν τὸν Ἰξίονα ἡ ὕβρις εἰς ἄτην μεγάλην ἐνέβαλεν. c. ἄλλως· αὐάταν ὑπεράφα- EFGQ
νον: μεγάλην ἄτην. Αἰολικῶς δὲ προήγαγε τὴν λέξιν. ἐκεῖνοι γάρ, ἐὰν ὦσι δύο φωνήεντα, ἐπεντιθέασι τὸ ῡ ὡς ἐπὶ τοῦ
10 ἄως αὔως. ἐπεὶ οὖν ἐστιν ἀάτη, αὐάτη παρ' αὐτῷ εἴρηται. 54ᵇ E

54 a. ἐξαίρετον ἔσχε μόχθον: τὸν ἐξηλλαγμένον. ἤτοι DEFGQ
δὲ ὅτι μέγας, ἢ ὃν οὐδεὶς ἄλλος ἔσχεν. οὐδεὶς γὰρ ἄλλος παραδέδοται ἐπὶ τροχοῦ κολαζόμενος. (53) Ὁμηρικῶς ἀντὶ τοῦ ταχέως. ταχέως δὲ παθὼν καὶ τιμωρηθεὶς τὸν πρέποντα αὐτῷ
15 καὶ ἁρμόζοντα ἐδέξατο μισθόν. 63 E

54 b. αἱ δύο δ' ἀμπλακίαι: τοῦτό φησιν, ὅτι τὸ μὲν DEFGQ
τοῦ φόνου ἁμάρτημα συνέγνων οἱ θεοί, τὸ δὲ δεύτερον οὐκέτι. καί φησιν, ὅτι αἱ δύο ἁμαρτίαι εἰσὶ φερέπονοι, οἱονεὶ πόνον καὶ τιμωρίαν τοῖς ἁμαρτάνουσιν ἐπιφέρουσαι. 40ᵇ D

---

1 sq. EM 163, 43. EG 89, 54. Eust. ad Θ 237 (p. 710, 41); Ι 116 (739, 32); Τ 91 (1173, 33) 13 sch. Ξ 8. sch. α 251. Eust. ad Α 205 (86, 32); α 252 (1415, 4). Ap. soph. 150, 1. Hes., Phot., Suid. s. v. Bekker anecd. 309, 20. 948, 13. Zon. 1715. sch. Eur. Phoen. 899

---

1 τὸ ἄτη om. D ‖ ῡ] ᾱ E (in ras.) 2 ἀάτη DG: καὶ ἀάτη Q αὐατὴ EF 3 ἀάτη Q (perperam) 5 ὑπάρχειν] + δυνάμει CP 6 ἀλλά νιν post ὁ νοῦς trp. Q 7 ἐνέβαλλεν GHT ‖ ἄλλως om. FG ‖ εὐάταν EF 9 γὰρ om. G ‖ ἐπεντιθέασι QT: ἐπιτιθέασι EFGH 10 ἀάτη GHQT: ἄτη EF ‖ εὐάτη EF HT 11 l. EF: ἐξαίρετον ἔσχε DGQ 12 οὐδεὶς ἄλλος ἔσχεν· οὐδεὶς γὰρ ἄλλος r: οὐδεὶς· οὐ γὰρ ἄλλος τις CP οὐδεὶς ἄλλος DEFGQ 13 παραδέδοται EF παραδέδοται οὕτως (C)P: παραδέδεκται DGHQT ‖ τροχοῦ EF: τροχῷ GPQ (cp. DH) ‖ ὁμηρικῶς scripsi: ὅμηρος EF ὅμηρος τὸ τάχα CP om. DGQ 14 ταχέως bis CP: semel cett. 15 ἐδέξατο EFHQT: ἀνεδέξαντο DG ἀνεδέξατο CP 16 αἱ om. EF 17 φθόνου EF 19 πόνον CP: φόνον ‖ τιμωρίαν] + φέρουσαι G ‖ τὴν ἁμαρτάνουσαν EF ‖ ἐπιφέρουσαι] φέρουσαι DGᵃᶜ (ἐπι s. v. add. G)

DGQ c. ἄλλως· δύο ἀμπλακίας φησὶ τόν τε ἐμφύλιον φόνον καὶ τὴν ἐπιθυμίαν τῆς Ἥρας.

DEFGQ 57. ὅτι τ' ἐμφύλιον αἷμα: τῶν δύο ἁμαρτημάτων διαίρεσιν ποιεῖται καί φησιν· Ἰξίων ἐμφύλιον φόνον ἐνέμιξεν ἀνθρώποις· οἷον πρῶτος κατειργάσατο ἐν ἀνθρώποις τὸν ἐμ- 5 φύλιον φόνον· δεύτερον δέ, ὅτι τοῖς μεγάλοις καὶ εὐκατασκευάστοις θαλάμοις τοῦ Διὸς τὴν γαμετὴν Ἥραν ἐπείρα τε EFGQ καὶ ἐνήδρευε. | τὸ γὰρ ἐπειρᾶτο παθητικὸν ὂν ἀντὶ τοῦ ἐνερ- DEFGQ γητικοῦ ἐστι, σημαίνει δὲ τὸ ἐνήδρευεν. | οὕτω γὰρ καὶ πειρατὰς τοὺς κατὰ πέλαγος [λῃστὰς] λέγομεν, κυρίως δὲ τοὺς 10 EFGQ ἐν ὁδῷ κακουργοῦντας, | παρ' ὃ δὴ καὶ ὁδουροὺς αὐτοὺς λέγουσιν. Εὐριπίδης ἐν Ἀρχελάῳ (fr. 260)· ἔπαυσ' ὁδουροὺς λυμεῶνας. καὶ Σοφοκλῆς ἐν Αἰγεῖ (fr. 21)· πῶς δῆθ' ὁδουρῶν ὅμοιος ἐξέβης λαθών; 54ᵃ E

CP 58. οὐκ ἄτερ τέχνας: οὐ χωρὶς δόλου. τοῦτο δὲ λέγει 15 διὰ τὸν βόθρον. σημειωτέον δέ, ὅτι καὶ τοὺς δόλους καὶ τὰς πανουργίας τέχνας τινὲς ἐκάλουν.

DEFGQ 63. χρὴ δὲ καθ' αὐτὸν αἰεί: προσῆκον δέ ἐστι, φησί, τῶν κατὰ τὴν ἑαυτοῦ δύναμιν τὸ μέτρον σκοπεῖν καὶ τούτων ἐπιθυμεῖν, καὶ μὴ τῶν ὑπὲρ δύναμιν ὀρέγεσθαι. ὅμοιον δὲ 20 τοῦτο τῷ ὑπὸ Χίλωνος ἐν Δελφοῖς ἐγγραφέντι [γνῶθι σαυτόν], ὅ τινές φασι Σωδάμου εἶναι.

---

8 sch. δ 545. Thom. Mag. ecl. p. 276, 12 Ritschl: πειρῶμαι δὲ ἐπιτοπολὺ μὲν τὸ ἀπόπειραν ποιοῦμαι, ἅπαξ δὲ καὶ τὸ συννεύω, ὡς παρὰ Πινδάρῳ. cfr. sch. rec. P. II p. 465, 10 Ab. sch. rec. N. V 54 p. 18 Mo. — Eust. ad δ 545 (1508, 19). — Hes. Suid. Phot. s. v. πειρᾶν, al. 21 sch. Eur. Hipp. 264. Clem. Alex. strom. 1, 14. Diog. Laert. 1, 40

---

1 δύο G: δύο δ' DQ ‖ καὶ —ἥρας hic om. D (cfr. p. 39, 15) 3 l. GQ: ὅτι τ' ἐμφύλ(ιον) D ἐμφ. αἷμα EF 4 φησιν] + ἱέρων EF 9 καὶ om. E, s. v. add. F 10 λῃστὰς r: om. codd.; seclusi 13 δῆθ'] δ' ἦσθ' Q ‖ ὁδουρὸν CP 16. 17 τὰς τέχνας δόλους καὶ πανουργ. ἐκάλουν C 18 φησὶ CP: ὅτι cett. 19 σκοπῶν EF 21 ἐγγραφέντι CEFP: ἐγγεγραμμένῳ Q(T) γεγραμμένῳ DG ‖ γνῶθι σαυτόν om. CP; seclusi, nam. sch. Eur et Clem. Al. μηδὲν ἄγαν tribuunt Chiloni vel Sodamo. Cfr. tamen Diog. Laert. 1, 40 22 ὅ — εἶναι om. D ‖ ὅ GQT: οἵ EF ‖ σωδάμου] στρατοδήμ(ου) codd. Clementis

65. *παράτροποι*: αἱ μοιχίδιοι καὶ τοῦ δέοντος παρα- DEFGQ
τετραμμέναι εἰς κακότητα καὶ βλάβην ἐνέβαλον. ἔνιοι δὲ γρά-
φουσιν, εἰς κακότητα ὀρθὴν, καὶ οὐχὶ ἀθρόαν, ἵν' ᾖ εὐθεῖαν,
ἀπὸ μεταφορᾶς τῶν ὁδῶν.
5 69. *εἶδος γάρ*: τὸ γὰρ εἶδος ἡ νεφέλη ὁμοία ἦν τῇ CP
ὑπερεχούσῃ τοῦ οὐρανίου Κρόνου θυγατρί.
71. *ἄν τε δόλον*: ἥντινα νεφέλην δόλον Ἰξίονι κατε- DEFGQ
σκεύασαν αἱ τοῦ Διὸς τέχναι καλὸν καὶ ἄξιον βλάβος. πῆμα
δὲ τὴν νεφέλην εἶπε ὡς πρὸς τὸ ἀποτέλεσμα, τὸ ἐξ αὐτῆς
10 βλάβος. 73ᵃE 73ᵇF
72. *καλὸν πῆμα*: ὡς καὶ Ἡσίοδος (Theog. 585)· καλὸν DEFGQ
κακόν· καλὸν μὲν διὰ τὸ ὡμοιῶσθαι τῇ Ἥρᾳ, πῆμα δὲ ὡς
πρὸς τὸ ἀποτέλεσμα. 75EF
73 a. *τὸν δὲ τετράκναμον*: τὸν δὲ τετράραβδον δεσ- DEFGQ
15 μὸν ἤνυσε καὶ κατειργάσατο ἑὸν ὄντα δεσμὸν καὶ ὄλεθρον ὁ
Ἰξίων, ἴσον ταῖς χερσὶ καὶ τοῖς ποσὶ πρὸς τὸ τῇ δέσει τῶν
χειρῶν καὶ τῶν ποδῶν ἐξαρκεῖν. 72F
73 b. *τὸν δὲ τετράκναμον*: κνήμη τοῦ τροχοῦ ῥάβδος DEFGQ
ἡ ἀπὸ τῆς χοινικίδος ἐπὶ τὸν κύκλον διήκουσα. οἱ δὲ ἁρμά-
20 τειοι τροχοὶ τῶν ἀνθρώπων ἑξάκνημοί εἰσιν, οἱ δὲ τῶν θεῶν
δι' ὑπερβολὴν τοῦ κόσμου παρὰ τῷ Ὁμήρῳ (*E* 723) ὀκτά-
κνημοι εἶναι λέγονται. οἰκείως δὲ ὁ Πίνδαρος τὸν τοῦ Ἰξίο-
νος τροχὸν τετράκνημον εἶπεν, ἵνα τοῖς μὲν δυσὶ ποσὶ τὰς
δύο, ταῖς δὲ χερσὶ τὰς δύο προσάψῃ κνήμας. 72E 73ᵃF

---

18 sch. *E* 723. Eust. p. 598, 3. EM 522, 8; 621, 16. EG 330, 27. Hes. s. v. κνήμη. Ap. soph. 101, 10. Zon. p. 1223. sch. P. IV 381

---

4 ὠδῶν EFP 5 εἶδος (alt.)] + γὰρ P ‖ ἦν om. C 7 τε CEFP: ποτε DGQ ‖ ἰξίονι EP: ἰξίονα F ἰξίονος DGQ 8 βλά-βης DQ¹ 9 πρὸς om. DQ ‖ ἀποτέλεσμα] + καὶ EF 12 καλὸν μὲν — 13 ἀποτέλεσμα om. D ‖ ὡμοιῶσθαι CGHPT: ὁμοιοῦσθαι EFKQ 14 l. om. D 15 ἤνυσε καὶ] ἤνωσε E ἥνωσε F ‖ ὀλέ-θριον D (hab. καὶ!) 16 τοῖς π. καὶ ταῖς χ. CEP ‖ πρὸς τὸ DGQ: εἰς τὸ EF εἰς K ὡς εἰς CP ‖ τῇ δέσει DGQ: τὴν δέσιν CEFP 16. 17 τῶν π. καὶ τῶν χ. EFQ 18 l. om. D ‖ ἡ ῥάβδος DGQ 22 τοῦ om. EF 23 τὰς EFP: τοὺς D?GQ 24 ταῖς χερσὶ δὲ DG

DEFGQ 75. *ἐν δ' ἀφύκτοισι*: ὁ νοῦς· ἐν δὲ τοῖς ἀφύκτοις δεσμοῖς πεσὼν τὴν πᾶσιν ἐγνωσμένην ἀνεδέξατο ἀγγελίαν καὶ φήμην.

DEFGQ 77 a. *τὰν πολύκοινον ἀγγελίαν*: τὴν πᾶσιν ἐγνωσμένην. φησὶ δὲ ταύτην ὅτι χρὴ τοὺς εὐεργέτας καλοῖς ἀμείβε- 5
EFGQ σθαι. b. ἄλλως· τὴν πᾶσιν ἐγνωσμένην· κοινὰ γὰρ τὰ Ἰξίονος· ἢ τὴν ὠφέλιμον. τίς δέ ἐστιν αὕτη; ἣν δεδεμένος ὁ Ἰξίων ἐν τῷ τροχῷ ἔλεγε, τὸν εὐεργέτην ἀγαναῖς ἀμοιβαῖς ἀμείβεσθαι.

DEFGQ 78 a. *ἄνευ οἱ χαρίτων*: ἀντὶ τοῦ ἔξω συνουσίας. χαρί- 10
ζεσθαι γὰρ κυρίως λέγεται τὸ συνουσιάζειν, ὥσπερ Θεόπομπος ἐν Μήδῳ (fr. 29, I p. 740 K.) εἰσάγει τὸν Λυκαβηττὸν λέγοντα·

παρ' ἐμοὶ τὰ λίαν μειράκια χαρίζεται
τοῖς ἡλικιώταις. 15

καὶ Ἀριστοφάνης ἐν Ἱππεῦσιν (517) ἐκ μεταφορᾶς·

πολλῶν γὰρ δὴ πειρασάντων αὐτὴν ὀλίγοις χαρίσασθαι.

καὶ Σαπφώ (fr. 34)· σμικρά μοι πάϊς ἔμμεναι φαίνεο κἄχαρις, ἡ μήπω δυναμένη χαρίζεσθαι. b. ἄλλως· Ἀρίσταρχος ἀφ' ἑτέρας ἀρχῆς νῦν ἐπὶ τῆς νεφέλης ὑφίσταται τὸν λόγον 20
τῆς τῷ Ἰξίονι συνευνασθείσης. c. *ἄνευ δέ οἱ Χαρίτων*, οἷον τὸν ἄχαριν γόνον. ἄχαρις γὰρ ἦν τις καὶ ἄγριος ὁ Νε-

---

10—19 Plut. erot. 5 ζεσθαι. EM 807, 19 I 473, 25. Hes. κάχαρις 10 Hes. χαρίσασθαι. Suid. χαρί-18 Max. Tyr. 24, 9. — Bekk. anecd.

---

1 ἀφύκτοις EF 3 φήμην] κάκωσιν F 5 φησὶ δὲ ταύτην E(F): φημὶ δὲ τὸ CP ἔστι δὲ αὕτη DGQ ‖ καλῶς CP 6 ἄλλως] + πολύκοινον GQ 8 εὐεργέταν EF 9 ἀμείβεσθαι] + χρή GQ 10 οἱ] δ' οἱ Q ‖ χαρίτων] + τέκεν GQ 11 ὥσπερ CEFP: ὡς DGQ 12 μήδῳ CDGP: δήμῳ EFQ ‖ λυκαΰμμηττὸν E(F) 17 δὴ codd. Aristoph.: ἤδη 18 σμικρά E, Plut., Max. Tyr.: μικρά DFGQ ‖ μοι om. DG ‖ πάϊς om. F ‖ φαίνεο κἄχαρις] φαίνεαι κἄχαρις Plut., φαίνεο καὶ χαρίεσσα Max. Tyr. φησὶ λίεο χάρις DG (φησὶ in G cp. dubio) φ(ησι?) λϊεοχάρις E φη(σὶν) λεοχάρης F φλιεοχάρις Q 19 χαρίσασθαι Q ‖ post ἀρίσταρχος lac. stat. Lehrs p. 7 (ut ὑφίστησι [sic r] de Pindaro poneretur)

φέλης καὶ Ἰξίονος Κένταυρος. d. συνίστησιν ὁ Πίνδαρος ἐξ EFGQ
Ἰξίονος καὶ Νεφέλης τοὺς δισωμάτους Κενταύρους· ἐκείνην
μὲν γάρ φησι τεκεῖν τὸν τοιοῦτον γόνον, ὃς οὔτε ἐν ἀνθρώ-
ποις οὔτε ἐν θεοῖς τιμὴν εἶχεν· ὄνομα δέ φησιν αὐτῷ εἶναι
5 Κένταυρον. τοῦτον δὲ ἐν Μαγνησίᾳ ἵπποις μιγνύμενον γεν-
νῆσαι τοὺς διφυεῖς Κενταύρους, ὥστε ἐκείνους κατὰ τὸ γε-
νικὸν ὄνομα ὀνομασθῆναι Κενταύρους ἀπὸ τῆς τοῦ πατρὸς
ὀνομασίας. εἰσί γε μὴν οἳ τὸν ὅλον μῦθον παρεγκεχειρήκασιν
ὡς οὐ γεγονότων διφυῶν. Λέλεγας γάρ φασιν αὐτοὺς προσ-
10 αγορευομένους διὰ τὸ ἀποκεντῆσαι τοὺς ταύρους προσαγορευ-
θῆναι Ἱπποκενταύρους· οἱ δὲ ὅτι ἵπποις κέλησιν ἐποχηθέντες
πρῶτοι πάντων τοῦτο διεπράξαντο.

80 a. *μόνα καὶ μόνον*: ἀντὶ τοῦ μονόμετρον καὶ ξένον DEFGQ
τὴν φύσιν. b. οἱ δὲ μόνον καὶ οὐκέτι ἕτερον· οὐδεὶς γὰρ
15 ἄλλος Νεφέλης ἐγένετο υἱός· καὶ παρὰ τὰς ἄλλας νεφέλας
μόνη ἔτεκε Κένταυρον.

81 a. *οὔτ' ἐν θεῶν νόμοις*: ἐγέννησε, φησίν, ἡ νεφέλη DEFGQ
τῷ Ἰξίονι παῖδα οὔτε ἐν ἀνθρώποις γέρας ἀποφερόμενον, ἀντὶ
τοῦ τῆς τῶν ἀνθρώπων φύσεως ξένον ὄντα, οὔτε ἐν τοῖς
20 τῶν θεῶν νόμοις τιμώμενον. ἐκ δὲ τούτου πάλιν οὐδὲ θεοῖς

1—8 sch. φ 303—304. Tzetzes Chil. 7, 19—29. 9, 398—402. sch. Α 268. Eust. ibid. (p. 102, 15). Apollod. epit. 1, 20. Diod. 4, 69 sq. EM 503, 50. EG 314, 43 9—13 Palaeph. 1. Eust. Il. p. 102, 9. sch. Verg. Geo. 3, 115. Diod. 4, 70. Plin. h. n. 7, 202.

78e. Eust. ad Il. Β 756, p. 338, 19: ἰστέον δὲ ὅτι καὶ ὁ ἐκ Νεφέλης Κένταυρος Μάγνης ἦν, ὡς ἐν τοῖς τοῦ Πινδάρου δηλοῦται· ὃς καὶ Μαγνησίαις ἵπποις (ἵππων edd.) συναναχρώμενος ἐκ τοιούτου σπέρματος τοὺς Ἱπποκενταύρους ἔφηνε.

---

2 ἐκείνην GPQ: ἐκείνη EF 4 αὐτῷ φησιν GQ 5 μαγνησίᾳ] μ. τῇ θρακικῇ CP μ. τῇ θετταλικῇ h || μιγνύμενον] + ἔστι δὲ καὶ ἐν τῇ ἀσίᾳ ἑτέρα μαγνησία (C)P 9 γεγονὸς τῶν GQ 10 ταύρους] ἵππους CP 11 ἱποκένταυρον E -ρος F || οἱ δὲ CP: οἱ δέ φασι GQ οἱ F ἢ E (corr. ex ο) 13 μονόμερον DG 15 καὶ CEFP: ἢ καὶ DGQ 16 ἔτεκε κένταυρον CP: ἔτεκε ταῦρον DGQ ἐγέννησε κένταυρον EF 19 τῶν om. EF 20 τούτου] τοῦ E om. F

(C)P ὅμοιον. 85ᶜ DGQ b. ἢ τὸν οὔτε τῆς τῶν ἀνθρώπων μετέχοντα φύσεως οὔτε τῆς τῶν θεῶν.

DEFGQ 82 a. ὃς ἵπποισιν: ὅστις ὁ ἐξ Ἰξίονος καὶ νεφέλης Κένταυρος ταῖς ἵπποις ταῖς Θεσσαλικαῖς ἐμίγνυτο κατὰ τὰς ὑπω-

EFGQ ρείας τοῦ Πηλίου ὄρους. b. ἄλλως· Κένταυρόν φησι γεννηθῆναι ἄνδρα ἐκ τοῦ Ἰξίονος καὶ τῆς νεφέλης· ὃν πλησιάζοντα ταῖς ἐν τῷ Πηλίῳ ἵπποις γεννῆσαι τοὺς διφυεῖς Κενταύρους, τὰ μὲν κάτω τῇ μητρὶ παραπλήσια ἔχοντας, τὰ δὲ ἄνω τῷ πατρί. 5

DEFGQ 85 a. ἐκ δ' ἐγένοντο στρατός: ἐξεγένοντο δὲ στρατὸς θαυμαστὸς Κενταύρων ἀμφοτέροις τοῖς γεγεννηκόσιν ὅμοιοι. ἔσχον δὲ εἰς ἓν συμβεβλημένας τὰς δύο φύσεις, καὶ τὰ μὲν κάτω ἐμφερεῖς ἦσαν ταῖς μητράσι, τὰ δὲ ἄνω τῷ πατρί. 10

DEFGQ 85 b. ἐκ δ' ἐγένοντο στρατός: ἡ φράσις κατὰ σχῆμα· ἀπὸ πληθυντικοῦ γὰρ ἑνικὸν ἐπήγαγε. καὶ ἔστι τὸ ἐναντίον παρ' Ὁμήρῳ (O 305)· 15

ἡ πληθὺς ἐπὶ νῆας ἀπὸ στρατοῦ ἀπονέοντο.

καὶ τὸ ἴσον (Σ 496)·

αἱ δὲ γυναῖκες
ἱστάμεναι θαύμαζον ἐπὶ προθύροισιν ἑκάστη. 89 DGQ 20

DEFGQ c. ζητεῖται διατί, εἰ ἐν Μαγνησίᾳ τῆς Θεσσαλίας οἱ Κένταυροι ἐτράφησαν, πῶς ἐν Φολόῃ τῇ Ἀρκαδικῇ Ἡρακλεῖ ἀντιτάσσονται. καὶ ῥητέον, ὅτι Πειρίθους ὁ Ἰξίονος παῖς καὶ Δίας τῆς Δηϊονέως ὡς ἂν οἰκειότατα ἔχων πρὸς τοὺς Κενταύρους τὴν τῶν γάμων ἑστίασιν ἐπιτελῶν κέκληκεν αὐτούς, ἐπιλαθόμενος δὲ τῷ Ἄρει θῦσαι ἔσχε μηνίοντα τὸν θεόν· καὶ οὕτως 25

---

14 sch. A B 278. sch. O 305. Eust. Il. p. 219, 44

---

3 l.] ἄλλως DG ἄλλως ὃς ἵπποισι HQ ‖ ὁ] om. EF ὃς ὁ G ‖ ἐξ om. DH ‖ ἰξ. κέντ. καὶ νεφ. EFH 4 ταῖς θεσσ. ἵπποις DG ‖ θεσσαλαῖς EF 5 φασι GQ 7 ταῖς] τοῖς GQ 10 ἐγένοντο DGQ: ἐγενέτο EF 13 τῷ πατρί EF: τοῖς πατράσιν D GQ 14 l.] ἄλλως DG id. praem. Q ‖ στρατός] + ὁμοῖοι EF 17 ἡ πληθὺς CP: ἡ πλήθους E οἱ πλήθους DFGQ ‖ ἀπὸ στρατοῦ] ἀχαιῶν codd. Hom. 20 προθύρησιν DEF 21 l. null. P: ὃς ἵπποισ(ι) μαγνητίδεσσι ‖ εἰ om. DEF 22 φολόῃ FQ: φιλόῃ DEGP 24 οἰκειότατα Q: οἰκειότητα GP; cp. DEF

οἱ Κένταυροι κερασθέντες τῆς τῶν κρατήρων κατὰ τὴν εὐωχίαν ἀποπνοίας αἰσθόμενοι οὐ κατέσχον ἑαυτοὺς τῆς ἐμφύτου μανίας· ἐμφορησάμενοι γὰρ οἴνου ἀκράτου ἀκολάστως ἐφώρμησαν ταῖς τῶν Λαπιθῶν γυναιξὶ, πολλῶν δὲ ἀναιρεθέντων
5 ἐκ τῶν Κενταύρων οἱ περιλειφθέντες εἰς Φολόην ἀπέφυγον τὴν οὕτω κληθεῖσαν ἀπὸ ἑνὸς τῶν Κενταύρων. 82ᵃ DGQ

89. ἐπὶ ἐλπίδεσσιν: ἐλπίδας νῦν τὰς φρένας φησὶ καὶ διανοίας. | λέγει δὲ, ὅτι θεὸς ὃ ἂν διανοηθῇ, τοῦτο καὶ ἀνύει. τοῦτο δὲ γνωμολογεῖ διὰ τὸν Ἰξίονα, ἐπεὶ ὁ Ζεὺς τὴν νεφέλην
10 τῇ Ἥρᾳ ἴσχυσεν ἀπεικάσαι. DEFGQ EFGQ

91. ὃ καὶ πτερόεντ' αἰετόν: ἐπεὶ τῶν ζῴων τὰ μὲν ἐστι θαλάσσια, τὰ δὲ χερσαῖα, τὰ δὲ μετάρσια, ἀφ' ἑκάστου εἴδους ἓν παρέλαβε τῶν τριῶν τὸ κρατιστεῦον. | τὸν ἀετὸν οὖν τὸν βασιλέα τῶν πτηνῶν ὁ θεὸς καταλαμβάνει καὶ παρ-
15 αλλάσσει, ὁ δὲ δελφὶς δοκεῖ τῶν ἐναλίων προέχειν καὶ ταχύτατος εἶναι· καὶ τοῦτον δὲ παραμείβεται· καὶ ὁ ἄνθρωπος προέχει τῶν ἐπιγείων· καὶ τοῦτον δὲ ὑψιφρονοῦντα καὶ καυχώμενον κατακάμπτει ὁ θεὸς καὶ καταπαλαίει. τοῖς δὲ ἀγαθοῖς τῶν ἀνθρώπων ἀγήραον καὶ ἄφθαρτον εὐδοξίαν ἀπέ-
20 νειμεν. EFGQ DEFGQ

97. δάκος ἀδινόν· ἰδίως τὸ δάκος ἀδινὸν εἶπεν, ἀντὶ τοῦ κακόν. ὃ δὲ βούλεται λέγειν· ἐμὲ δὲ δεῖ φεύγειν τὰς κακ- DEFGQ

---

7 sch. Isthm. II 63 21 cfr. Zon. 469: ἡ εὐθεῖα τὸ δάκος. ἐμὲ δεῖ φεύγειν δάκος ἀδινὸν καὶ κατηγορίαν. Suid. δάκη

---

2 οὐ κατέσχον ἑαυτοὺς scripsi: οὐ κατέσχον αὐτὸν DG οὐ κ. αὐτοὶ Q ἑαυτοὺς οὐ κ. αὐτῶν EF ἑαυτοὺς οὐδαμῶς ἠδυνήθησαν (τῆς ἐμφ. μ.) κατασχεῖν P 5 εἰς φ. οἱ περιλ. DG ‖ φολόην E FGᵃQ: φϊολόην D φιλόην G¹P 6 κενταύρων EFP: τιτάνων D GQ 7—10 cfr. Thom. p. 468, 3 Ab. 17 καὶ] + τὰς CDGP 8 θεὸς] ὁ θεὸς EF ‖ διανοηθείη CPQ 9. 10 εἰς (ἐς G) τὴν ν. τὴν ἥραν GQ 13 ἓν παρέλ. τῶν τριῶν CP: ἐμπαρέλαβε τῶν τρ. E(F) παρέλ. τῶν τρ. GQ ‖ τὸν — 14 παραλλάσσει] ὃ καὶ πτερόεντ' αἰετόν: τὸν γοῦν ἀετὸν ὡς ταχύτατον καὶ βασιλ(έα) τῶν ἀερίων παρείκασε πτηνῶν D 14 παραλαμβάνει EF 15 τῶν ἐναλ. δοκεῖ E ‖ ὑπερέχειν E παρέχειν F 16 καὶ — παραμείβεται om. D ‖ δὲ om. G 17 δὲ om. CEFP ‖ ὑψιφρονοῦντα (D) GQ: ὑψι(ι ft. corr. ex η E)φοροῦντα EF ὑψηλοφρονοῦντα CP 21 l. CEP: ἐμὲ δὲ χρεὼν φεύγειν δάκος D ἐμὲ δὲ χρεών GQ ‖ εἶπεν om. Q 22 δὲ (alt.) om. DG

ηγορίας, τουτέστι τὸ κακηγορεῖν τινας. αἰνίττεται δὲ εἰς Βακχυλίδην· ἀεὶ γὰρ αὐτὸν τῷ Ἱέρωνι διέσυρεν.

DEFGQ 99. *ἐν ἀμαχανίᾳ: ἐν ἀπορίᾳ βίου διὰ τὴν λοιδορίαν φησὶ καθεστῶτα, πάντων αὐτὸν ἀποστρεφομένων.*

DEFGQ 101 a. *ἔχθεσι πιαινόμενον· ὑπὸ τῶν ἀνθρώπων τοι-* 5
ούτοις ἔχθεσι πιαινόμενον, βαρὺν ἐπιφέρουσιν αὐτῷ λόγον.
b. *δύναται καὶ ἑτέρως διαιρεῖσθαι, διὰ μὲν τοῦ πόλλ' ἐν ἀμηχανίᾳ ψογερὸν Ἀρχίλοχον νοουμένου παρὰ τοῖς ἀνθρώποις ψεγόμενον τὸν Ἀρχίλοχον καὶ πόλλ' ἐν ἀμηχανίᾳ ψεγόμενον, ἐπεὶ βαρυλόγοις ἔχθεσιν ἐπιαίνετο καὶ ἔχαιρεν, εἰς λοι-* 10
δορίαν ἀνθρώπων καὶ εἰς κακομηχανίαν χρώμενος τῇ ποιήσει.

EFGQ c. *ἢ οὕτως· εἶδον γάρ, φησί, τὸν Ἀρχίλοχον πιαινόμενον λόγοις ψογεροῖς ἐν ἀπορίᾳ.* d. *οἷον καὶ τὸν Ἀρχίλοχον ἐν ἀπορίᾳ εἶδον, ἐπεὶ ψογερὸς ἦν.*

DEFGQ 101 e. *τὸ πλουτεῖν δὲ σὺν τύχᾳ: τὸ δὲ ἐπιτυγχάνειν,* 15
φησί, πλούτου μετὰ σοφίας, ἄριστόν ἐστιν. f. *ἢ οὕτω· τὸ*
EFGQ *εὐπορεῖν σοφίας σὺν εὐτυχίᾳ ἄριστόν ἐστι.* | *τοῦτο δὲ ἐπὶ τοῦ Ἱέρωνος ἀκουστέον. ἀποστρέφει γὰρ εἰς τοῦτον τὸν λόγον· ὃ σὺ ἔχεις σὺν εὐτυχεῖ πότμῳ, σοφίας ἐστὶν ἄριστον. ζητεῖται*
BEFGQ *δέ,* | *πῶς τὸ πλουτεῖν σοφίας λέγει ἄριστον· σοφία γὰρ πλού-* 20
του κρείττων. μήποτε οὖν οὐχὶ συγκριτικῶς, τοῦ πλούτου πρὸς τὴν σοφίαν συγκρινομένου· ἐχρήσατο γὰρ ἂν οὐχ ὑπερθετικῇ λέξει τῇ ἄριστον, ἀλλὰ συγκριτικῇ τῇ ἄρειον. ἄρειον

---

2 *αὐτὸν τῷ ἱέρωνι* **CEFP**: *αὐτὸς τὸν ἱέρωνα* **DG** *αὐτὸς τὸν πίνδαρον* **Q** 4 *ἀποστρ.*] + *τῶν ἀνθρώπων* **h** 5 *ὑπὸ τῶν ἀνθρ.*] *τὸν* **h** 6 *αὐτῷ β. ἐπιφ. λόγον* **DGQ** 7 *δύναται*] + *δὲ* **CPQ** ‖ *διανοεῖσθαι* **EF** ‖ *διὰ*] *ἵνα διὰ* **CP** et 8 *νοήσωμεν* **P** (om. **C**). Locus corruptus vid. 8 *ἀμαχανίᾳ* **G**? *ἀρχιλόχου* **E**ac?**F** ‖ *νοουμένου* **E**ac**F**: *νοοῦμεν οὐ* **E**pc**DGQ** 9 *ψεγόμενον* (pr.)] *μ.γόμενον* **E**ac *ψογερὸν* **Q** ‖ *καὶ — ψεγ.* om. **CP**; *καὶ ἐν πολλῇ ἀμ. γενόμ.* Schroeder 10 *ἔπεσιν* **DGQ** 13 *ἀπορίᾳ* **EF**: *πενίᾳ* **GQ** 15 l.] + *πότμον σοφίας ἄριστον* **E** et (add. *ἐστιν*) **F** *τὸ δὲ — 16 ἢ οὕτω* om. **F** 17 *εὐπορεῖν* **EF**: *εὐτυχεῖν καὶ εὐπ.* **DGQ** ‖ *ἐστι* om. **DG** 20 *inc. f. 96*r **B** a vocc. *πῶς τὸ πλουτεῖν*, sed a voc. *σοφίας* demum recte legi potest ‖ *σοφίας* om. **Q** 20. 21 *κρείττων πλούτου* **E** *κρεῖττον πλ.* **F** ‖ *οὐχὶ συγκριτικῶς* **B**: *οὐχὶ συγκρ. εἴρηται* **GQ** *οὐκ εἴρηται συγκρ.* **CEFP** 22 *οὐχ* om. **B** 23 *συγκριτικῶς* **EF** ‖ *ἄρειον* (pr.)] *ἀρεῖον* **BCP** *ἀρείων* **EFGQ** ‖ *ἄρειον* (alt.)] *ἀρεῖον* codd.

μὲν γὰρ τόδε τοῦδε, ἄριστον δὲ πολλῶν. δῆλον οὖν, ὅτι τὸ πλουτεῖν τέταχεν οὐ κυρίως ἐπὶ τοῦ νοουμένου κατὰ τὸν βίον πλούτου, οἷον περιουσιάζειν χρήμασιν, ἀλλὰ μεταφορικῶς, τὸ πληθύειν καὶ περιουσιάζειν ἐν πότμῳ σοφίας ἄριστόν ἐστιν,
5 [οἷον, τὸ τῇ σοφίᾳ πλουτεῖν ἄριστόν ἐστιν]. Ἀρίσταρχος δὲ οὕτως· οἷον εἴ τις λέγει, εὐποτμότατός ἐστιν ὁ πλουτῶν καὶ σοφίας ἅμα τυγχάνων.

104 a. τὺ δὲ σάφα νιν ἔχεις: τοῦτο πρὸς τὸν Ἱέρωνα εἶπε· σὺ δὲ ἐλεύθερος ὤν, ὦ Ἱέρων, ἐλευθέρᾳ τῇ φρενὶ τὴν
10 ἀρετὴν ἔχων καὶ τὴν σοφίαν ἣν προεῖπε καὶ πλουτῶν, δύνασαι καὶ ἑτέροις πεπαρεῖν, ἤτοι πορίζειν καὶ παρασκευάζειν. BDEFGQ
b. ἢ παρασχεῖν. καὶ πλουσίους ἀποδεῖξαι.

105. πεπαρεῖν: ὅτι τὸ πεπαρεῖν πορίσαι ἢ περιποιῆσαι ἢ πλουσίους ἀποδεῖξαι. DEFGQ

15 106. κύριε: κυρωτικὲ καὶ τελεστικέ, τουτέστι πάντων ἔχων τὴν κυριότητα. BDGQ

107. εὐστεφάνων: ἤτοι ὑψηλῶν, ἢ εὖ τετειχισμένων. στέφανος γὰρ πόλεως τὸ τεῖχος. DEFGQ

108. εἰ δέ τις ἤδη κτεάτεσσιν: εἰ δέ τις πλούτῳ καὶ
20 τιμῇ φησιν ἕτερόν τινα τῶν κατὰ τὴν Ἑλλάδα τῶν πρὸ τούτου μείζονα καὶ ἀξιολογώτερον γεγενῆσθαι, κούφῃ καὶ μα- BDEFGQ

---

sch. 104 b(?). πεπορεῖν· δοῦναι. Hes. c. πεπαρεῖν· ἐνδεῖξαι. σημῆναι. id.
18 sch. *T* 99. Eust. p. 1175, 5. Hes. s. v. εὐστέφανος. sch. theog. 978

---

1 τόδε τοῦδε] τοῦτο ἐκεῖνον **B** ‖ πολλῶν **B**: ἐπὶ πολλῶν **CP** ἐπὶ τῶν π. **EFGQ** (ἐπὶ om. **Q**[1]) 2 κατὰ — 3 πλούτου om. **G** 3 οἷον] ἢ **E** 4 πληθύνειν **CPQ** ‖ ἐστιν om. **B** 5 οἷον — ἐστιν om. **BGQ**; seclusi 6 οὕτως om. **B** ‖ καὶ om. **EF** 8 ἔχεις om. **EF** 10 καὶ (pr.) om. **EF** ‖ δύνῃ **DGQ** 11 καὶ παρασκ. om. **E** ‖ καὶ (alt.) **BCFPQ**: ἢ **DG** 12 καὶ — ἀποδεῖξαι om. **EFQ** ‖ καὶ **BCP**: ἢ **DG** 13 ὅτι **EF**: ἴσθι ὅτι **DGQ** ‖ πορίσαι **EF**: ἢ π. **GQ** ἢ π. ἢ παρασχεῖν **D** 14 ἀποδεῖξαι] + ἢ παρασχεῖν **GQ** 15 l. **B**: κύριε πολλῶν **DGQ** ‖ κυριωτικὲ **CPQ** ‖ καὶ τελ. om. **Q** 17 l. **CEFP**: εὐστ. ἀγυιᾶν **DGQ** 18 τεῖχος] + ἐστιν **DGQ** 19 l. om. **GQ** ‖ ἤδη om. **D** 21 ἀξιολογώτερον] + λέγει **B** ‖ κούφῃ **b**: κωφῇ

ταίᾳ φρενὶ διαπαλαίει καὶ μάχεται, ἀντὶ τοῦ ἀνόητός ἐστι [καὶ ἀναίσθητος].

DEFGQ 112. παλαιμονεῖ: οἷον ματαιολογεῖ, καὶ οἷον ἐλπίδι ἐλαφρᾷ καὶ κούφῃ παλαίει· ἀσύνετος γάρ ἐστιν.

BDEFGQ 113 a. εὐανθέα δ' ἀναβάσομαι: ἤδη δὲ ὁρμήσω ἀνθηρῶς ἀνυμνήσων τὴν ἀρετὴν τοῦ Ἱέρωνος. b. ἢ οὕτως· ἐπὶ τὸν ἀνθηρὸν στόλον ὁρμήσω τῆς ἀρετῆς τοῦ Ἱέρωνος, ἵν' ᾖ ἀνθηρὸν στόλον λέγων τὴν ἀρετὴν τοῦ Ἱέρωνος διὰ τοὺς στεφάνους· ἢ διὰ τὸ περὶ Ἰξίονος προειπεῖν. μεταβὰς

BEFGQ τοίνυν ἐπ' εὐανθέα στόλον ἀναβήσομαι. c. ἄλλως· ἐπειδὴ περὶ λοιδοριῶν διεξῆλθε καὶ τῆς Ἀρχιλόχου δυσφημίας, φησὶν ὅτι ἐπ' εὐανθεστέραν ὁδὸν λόγων ἀναβήσομαι καὶ ἀνυμνήσω σε, ὦ Ἱέρων, περὶ τῆς ἀρετῆς σου λέγων. d. τὸ δὲ εὐανθῆ στόλον, ἡ μεταφορὰ ἀπὸ τῶν πλεόντων ἡδέως.

BDEFGQ 115. νεότατι μὲν ἀρήγει: τῇ νεότητι μὲν βοηθεῖ ἡ περὶ τὸ πολεμεῖν θρασύτης. τοῦτο δὲ ἐν τῷ καθόλου γνωμικῶς ἀναπεφώνηκεν.

BDEFGQ 116 a. ὅθεν φαμί: ὅθεν φημὶ καὶ σὲ τὴν ἄπειρον δόξαν εὑρηκέναι, ἐκ τῶν πολέμων τῶν κατορθουμένων διὰ τὴν νεότητα. τοῦτο δέ φησι, παρόσον ἔτι νέος ὢν ὁ Ἱέρων σὺν Γέλωνι τῷ ἀδελφῷ τοὺς ἐπὶ τῆς Σικελίας πολέμους διήνεγκε.

BEGQ b. ὅθεν: ἀπὸ τῆς θρασύτητος τῆς περὶ τοὺς πολέμους. 121ᶜ B

BDEFGQ 121 a. βουλαὶ δὲ πρεσβύτεραι: αἱ δὲ σαὶ γνῶμαι καί-

---

2 καὶ ἀναίσθ. om. DEFGQ; seclusi 3 ἐλπίδι] + καὶ D GQ 4 κούφῃ] + καὶ ἀνοήτῳ D ‖ παλαίει EF: π. φρενὶ DG φρενὶ π. Q ‖ ἀσύνετος γάρ ἐστι EF: ἀσ. τουτέστιν ἐστίν Q ἀσύνθετός ἐστιν DG 6 ἀνυμνῆσαι DG ‖ ἢ οὕτως — 7 ἱέρωνος om. D 7 ὁρμήσω — 8 στόλον om. B (ut vid.; λέγων τὴν ἀρετὴν τοῦ in B aegre leguntur) CPr 8 λέγων ἀνθ. στόλον DGQ 10 μεταβήσομαι Q ‖ ἄλλως — 12 ἀναβήσομαι om. B 11 τῆς ἀρχιλόχου δυσφ. φησὶν ὅτι scripsi: τῆς ἀρχῆς δυσφ. φ. ὅτι EF (item, sed τῆς ἐξ ἀρχῆς CP) ἐπὶ τῇ ἀρχῇ περὶ δυσφ. ἔφη G ἐπὶ τῆς ἀρχῆς περὶ δυσφ. εἶπεν Q 12 εὐανθέα λόγων ὁδὸν GQ 14 εὐανθεῖ στόλῳ EFG ‖ τῶν om. Q 15 l. B: νεότ. ἀρήγειν E ν. ἀρήγει F ν. μὲν C(D)GPQ ‖ μὲν (alt.) om. EF 15. 16 ἡ περὶ] ἢ παρὰ EF 16 θρασύτης om. F 17 ἀπεφώνηκεν EF 18 l. DGQ: ὅθεν φαμὶ καὶ σέ EF om. BCP 21 τῆς om. CEP 22 ὅθεν G: ἢ οὕτως ὅθεν B ἄλλως ὅθεν EQ ‖ ἀπὸ E: ἀντὶ τοῦ ἀπὸ B τουτέστιν ἀπὸ GQ 23 l. DEFGQ: ὁ δὲ νοῦς BCP

τοι ἀκμαίου ὄντος πρεσβύτεραί εἰσι καὶ συνεταί· διὸ ἀκίνδυνόν μοι παρέχουσιν αἱ σαὶ γνῶμαι τὸ κατὰ πάντα ἐγκωμιάζειν σε. b. ἢ οὕτως· ἀκίνδυνον ἐμοὶ τῷ τοὺς ἐπαίνους **BEFGQ** παρέχοντι πρὸς πάντα λόγον ἐπαινεῖν, | οἷον οὐκ ἐλεγχθή- **BDEFGQ**
5 σομαι ὑπό τινος ὅτι ψευδῶς σε ἐπαινῶ. ἃ γὰρ ἔχεις, ταῦτα καὶ λέγω. 125 B

121 c. *βουλαὶ δὲ πρεσβύτεραι*: οἷον, ὑπὲρ τὴν νεό- **BEFGQ** τητα βουλεύῃ. καὶ Σοφοκλῆς (fr. 562) ἐπὶ τοῦ Τρωίλου·

τὸν ἀνδρόπαιδα δεσπότην ἀπώλεσα,

10 παῖδα μὲν τὴν ἡλικίαν, ἄνδρα δὲ τῷ φρονήματι. d. τοῦτο δὲ εἶπεν ὅτι ἐν μὲν νεότητι πολεμικὸς ἦν ὁ Ἱέρων, ἐν ἡλικίᾳ δὲ εὔβουλος. 121a B

125 a. *κατὰ Φοίνισσαν ἐμπολάν*: οἷον ἐπὶ κέρδει καὶ **BDEFGQ** πράσει· οἱ γὰρ Φοίνικες παλιγκάπηλοι. Σοφοκλῆς (fr. 823)·

15 ὠνὴν ἔθου καὶ πρᾶσιν, ὡς Φοῖνιξ ἀνήρ,
Σιδώνιος κάπηλος.

καὶ ὁ Κωμικός (fr. IV 334 M.)·

εὐθὺς Φοῖνιξ γίγνομαι·
τῇ μὲν δίδωμι χειρί, τῇ δὲ λαμβάνω.

20 | τοῦτο δὲ εἶπεν ὁ Πίνδαρος, παρόσον μισθοῦ συντέταχε τῷ **BEFGQ** Ἱέρωνι τὸ ἐγκώμιον. b. ἄλλως· τοῦτο μὲν τὸ μέλος καὶ τοῦ- **BDEFGQ** τον τὸν ἐπίνικον κατὰ τὴν τῶν Φοινίκων ἐμπορίαν, ἀντὶ τοῦ λαβὼν παρὰ σοῦ μισθὸν, διὰ τῆς θαλάσσης διαπέμπομαί σοι.

---

1 συνεκτικαί **Q** 2 πάντα **DG**cp**Q**: πάντη **E** πάντ[ων?] **B** παντ(ὸς) **F** (hoc acc.) 4 οἷον] ἢ **D** 5 σε] om. **D** γε **EF** 5. 6 ταῦτα καὶ λέγω om. **Q** 7 l. **EF** et praem. ἄλλως **Q**: + ἀκίνδυνον ἐμοὶ ἔπος **BCP** ἄλλως **G** 8 σοφοκλῆς **BCP**: σοφῶς ‖ τοῦ τρωίλου **BCFP**: τῷ τρωίλῳ **EGQ** 9 ἄνδρα παῖδα **Q** ‖ δεσπότης **BCP** δεσπότ(ην) **G**cp ‖ ἀπώλεσ(α) **B** -σε(ν) **GQ** 10 τῇ ἡλικίᾳ **EPQ**pc 11 εἶπεν] + ὁ πίνδαρος **BCP** ‖ ἐν μὲν τῇ νεότ. **Q** ‖ ἐν δὲ ἡλ. **G** ἐν δὲ τῇ ἡλ. **Q** 13 l. **CEFP**: τόδε μὲν κ. φ. ἐ. **B** φ. ἐμπ. (ἐνπ. **DG**) **DGQ** 13. 14 καὶ πράσει om. **Q** 14 πράγει **EF** ‖ παλινκάπ. **B** ‖ καὶ σοφ. **DG** 18 εὐθὺς ⟨δὲ⟩ φ. Hemsterhuys ad Aristoph. Plut. p. 447 ‖ γίγνομαι **b**: γίνομαι **BDGQ** γινόμενος **EF** γένομαι **CP** 19 λαμβάνει **Q**ac 21 ἄλλως — 22 ἐπίνικον om. **D** τοῦτο — 22 ἐμπορίαν om. **B** ‖ μὲν **CEFP**: τὸ ἐγκώμιον καὶ **GHQ** 22 τὴν om. **EF** 23 παρὰ σοῦ] παρ' αὐτοῦ **EF** ‖ παραπέμπομαι **BCPQ**

BDEFGQ c. τὸ δὲ Καστόρειον μέλος ὑπορχηματικὸν, Αἰολικῷ ῥυθμῷ συντεταγμένον, ὅπερ χάριν καὶ προῖκά σοι διεπεμψάμην, ἀπαντήσας τῷ μέλει, φησὶ δὲ τῷ Καστορείῳ, καὶ ὑποδεξάμενος αὐτὸ διὰ τῆς ἑπταμίτου κιθάρας, φησὶ δὲ τῆς λύρας, ἑκὼν ἐπιθεώρησον τὸ μέλος, ἀντὶ τοῦ κροῦσον καὶ δοκίμασον, 5 εἰ μὴ εὐρύθμως γέγραπται.

BEFGQ 127. τὸ Καστόρειον: τὸν ἐπίνικον ἐπὶ μισθῷ συντάξας ὁ Πίνδαρος ἐκ περιττοῦ συνέπεμψεν αὐτῷ προῖκα ὑπόρχημα, οὗ ἡ ἀρχή (fr. 105)·

Σύνες ὅ τοι λέγω ζαθέων ἱερῶν ἐπώνυμε, 10

ὃ δὴ Καστόρειον εἶπε διὰ τὸ τὴν ἔνοπλον ὄρχησιν κατ' ἐνίους τοὺς Διοσκούρους εὑρεῖν· ὀρχηστικοὶ γάρ τινες οἱ Διόσκουροι. ὁ δὲ Ἐπίχαρμος (fr. 75) τὴν Ἀθηνᾶν φησι τοῖς Διοσκούροις τὸν ἐνόπλιον νόμον ἐπαυλῆσαι, ἐξ ἐκείνου δὲ τοὺς Λάκωνας μετ' BDEFGQ αὐλοῦ τοῖς πολεμίοις προσιέναι. | τινὲς δὲ ῥυθμόν τινά φασι 15 τὸ Καστόρειον, χρῆσθαι δὲ αὐτῷ τοὺς Λάκωνας ἐν ταῖς πρὸς τοὺς πολεμίους συμβολαῖς. διέλκεται δὲ ἡ τῆς πυρρίχης ὄρχησις, πρὸς ἣν τὰ ὑπορχήματα ἐγράφησαν. ἔνιοι μὲν οὖν φασι τὴν ἔνοπλον ὄρχησιν πρῶτον Κούρητας εὑρηκέναι καὶ

---

11 Plat. legg. VI 796 b. Luc. de salt. 10 13 Ath. IV 184 f. 15 Plut. Lyc. 22; de mus. 26. Poll. IV 78. 18—53, 10 sch. Π 617. Hes. πυρριχίζειν. Strab. 10, 467. 480. Plin. 7, 204. EM 699, 1. Luc. de salt. 8. 9. Paus. 3, 25, 2

---

1 sch. 125[c] bis hab. codd. (V[a], V[b]) praeter CP, hic et post 127 ‖ sch. 125[c] praem. τὸ καστόρειον D[a]G[a]Q[a], ὁ δὲ νοῦς V[b] ‖ τὸ ὑπορχ. V[b] ‖ ἐπορχ. E[a]F[a]Q[a]; tum καὶ add. E[a]F[a] 2 ὅπερ — 3 μέλει om. B[b] ‖ προεπεμψάμην V[b] (om. B[b]) 3 φησὶ — καστορείῳ om. V[b] ‖ καὶ om. B[b] 4 αὐτὸ om. B[b] ‖ ἑπταμίκτου E[a]F ἑπταχόρδου CP 5 ἑκὼν om. D[a]G[a] ‖ τὸ μέλος om. V[b] 6 μὴ om. V[b] ‖ γέγραφα V[b] 7—12 cfr. Thom. p. 473, 10 Ab. 7 l. BEF: ἄλλως· τὸ κ. GQ 8 συνέγραψεν CP 10 ὅ τοι CEGH: ὅ τι BFPQ (sch. Nem. VII, 1) ‖ ἱέρων codd.; corr. Beck ‖ ὁμώνυμε sch. Nem., al. 11 ἔνοπλον EFP: ἐνόπλιον BCGQ 12 διοσκόρους etc. B 14 δὲ] γὰρ GQ 15 τοὺς πολεμίους EF ‖ προσεπιέναι EF ‖ δὲ om. D 16 δὲ om. EF ‖ τῇ et 17 συμβολῇ DGQ 17 συμβουλαῖς E[ac](ras.)F[pc] ‖ διέλκεται BCD GP: διέρχεται EFQ ‖ πυρρίδος EF πυρρίνης Q 19 πρῶτον κ[ούρητας τὴν ἐνό]πλιον ὄρχησιν ὀρχήσασθαι B(CP) ‖ ἔνοπλον r: ἐνόπλιον

ὑπορχήσασθαι, | αὖθις δὲ Πύρριχον Κρῆτα συντάξασθαι, Θαλήταν δὲ πρῶτον τὰ εἰς αὐτὴν ὑπορχήματα· Σωσίβιος δὲ, τὰ ὑπορχηματικὰ πάντα μέλη Κρηταϊκὰ λέγεσθαι. ἔνιοι δὲ οὐκ ἀπὸ Πυρρίχου τοῦ Κρητὸς τὴν πυρρίχην ὠνομάσθαι,
5 ἀλλὰ ἀπὸ τοῦ παιδὸς τοῦ Ἀχιλλέως Πύρρου ἐν τοῖς ὅπλοις ὀρχησαμένου ἐπὶ τῇ κατὰ Εὐρυπύλου τοῦ Τηλέφου νίκῃ. | Ἀριστοτέλης δὲ (fr. 519) πρῶτον Ἀχιλλέα ἐπὶ τῇ τοῦ Πατρόκλου πυρᾷ τῇ πυρρίχῃ κεχρῆσθαι, | ἣν παρὰ Κυπρίοις φησὶ πρύλιν λέγεσθαι, ὥστε παρὰ τὴν πυρὰν τῆς πυρρίχης
10 τὸ ὄνομα θέσθαι. 125c repet. BDEFGQ — BDEFGQ — BEFGQ

128 a. ἐν Αἰολίδεσσι: ἐπεὶ οἱ Αἰολεῖς κιθαρῳδοί· τὸ δὲ μέλος Αἰολικῷ ῥυθμῷ συνέταξε. ἢ τὸ ποίημα. b. ἄλλως· Αἰολίδεσσι: Βοιωτίαις· ἐκεῖθεν γὰρ ὁ Πίνδαρος. τοιοῦτόν ἐστι καὶ τὸ ἑτέρωθι (Pind. fr. 191) λεγόμενον· Αἰολεὺς ἔβαινε
15 Δωρίαν κέλευθον ὕμνων. DEFGQ

131 a. γένοιο δ' οἷος ἐσσὶ μαθών: ἐπισκεψάμενος δὲ τὸν ἀποσταλέντα σοι ὕμνον διάμεινον τῷ ἐξ ἀρχῆς τρόπῳ ἴσος, καὶ μὴ μεταβληθῇς τὴν προαίρεσιν ὑπὸ τῶν κολακευόντων σε. b. μαθὼν δὲ, φησὶ, τὸ γεγραμμένον γενήθητι οἷος
20 εἶ, σοφὸς, καὶ σύνες τὸ λεγόμενον, ὃ οἱ παῖδες εἰώθασι λέγειν, πίθων καλὸς, πρὸς τὸν πίθηκον οὐκ ὄντα καλὸν ἀλλ' εἰδεχθῆ. μαθὼν οὖν τοῦτο, φησὶ, γενήθητι οἷος εἶ, μὴ λέ- BDEFGQ

---

8 Hes. πρύλιν. sch. Callim. h. I 52

---

1 αὖτις B 2 θαλήταν b: θάλητα CGPQ θέλητα EF (B l. n.) ‖ ἐπορχήματα EFQ 3 μέλη πάντα GQ ‖ δὲ om. EFQ 4 τοῦ om. EF 5 ὑπὸ EF 7 ἐπὶ] ἐν Q ‖ τοῦ om. DG 8 πυρᾷ] + φησι B ‖ πυρρίχῃ] + φησὶ CDFGPQ ‖ χρήσασθαι DGQ ‖ κυπρίοις] κρησὶ Rose 9 πρύλιν B(C)P: πρύχιν EFGQ 10 τὸ ὄνομα θέσθαι] τῷ ὀνόματι κεχρῆσθαι B 11 ἐν om EF ‖ οἱ om. EF 12 δὲ om. E ‖ συντέτακται DGQ ‖ ἢ τὸ ποίημα om. P, ft. recte ‖ ἄλλως — 13 πίνδαρος om. D 15 κέλευθον] ἔλευσιν P ‖ ὕμνων Db: ὑμνῶν 16 δ' om. D ‖ μαθών B: om. 17 δὲ BEF: φησὶ DG δέ φησι Q 17. 18 ἴσος τῷ ἐξ ἀρχ. τρόπῳ DGQ 20 σύνες] γνῶθι E ‖ εἰώθασιν οἱ παῖδες B 21 καλῶς EFQ 22 μὴ — 54, 1 πίθων] ἀνοίκειον γάρ ἐστι τὸν μὲν πίθηκον παρὰ τοῖς παισὶν ἀεὶ (om. C) εἶναι καλὸν, τοὺς δὲ (κατὰ σὲ add. C) συνετοὺς ἄνδρας ἐξ ἀρετῆς εἰς κακίαν μεταπίπτειν. ἢ οὕτως· μὴ πείθου ταῖς τῶν κολάκων ἀπάταις CP (cfr. r)

γεσθαι μὲν σοφὸς, τῷ δὲ πράγματι ἄσοφος, ὥσπερ ὁ πίθων.
ταῦτα δὲ ἔνιοι τείνειν αὐτὸν εἰς Βακχυλίδην· εὐδοκιμῆσαι γὰρ
BEFGQ αὐτὸν παρὰ τῷ Ἱέρωνι. c. ὃ δὲ βούλεται λέγειν, ὅτι ὥσπερ
παρὰ τοῖς παισὶ καλός ἐστιν ὁ πίθων, οὕτω παρὰ τοῖς ἄφροσι
καὶ κόλαξιν οἱ ὑπερέχοντες λέγονται σοφοὶ καὶ πάντα ἔχειν 5
τὰ ἀγαθά· δεῖ δὲ αὐτοῖς μὴ πιστεύειν, ἀλλὰ τοῖς βελτίοις
EFGQ καὶ σοφοῖς. 132d B d. γένοιο δ' οἷος ἐσσὶ μαθών: οἷος εἶ
ἐξ ὧν ἔγραψα, γένοιο τοιοῦτος. e. ἢ οὕτως· οἷος εἶ, μὴ
ἀπατηθῇς.
BDEFGQ 132 a. πίθων παρὰ παισίν: ὡς ὁ πίθηκος ἀκούων 10
παρὰ τῶν παίδων, ὅτι καλός ἐστιν, ἐπαίρεται, οὕτω καὶ οἱ
BEFGQ μάταιοι τῶν ἀνθρώπων ἐπαίρονται καὶ χαυνοῦνται, | ὅπερ
τοῖς φρονίμοις οὐχ ἁρμόζει εἰδόσιν ὅτι κατὰ κολακείαν καὶ
ἐνέδραν ἐπαινοῦνται, οὐκ ἐξ ἀληθείας. b. μήποτε οὖν χα-
ριέστερόν ἐστιν οὕτως ἀκούειν· Θρασυδαῖος ἑταῖρος ἦν Πιν- 15
δάρου, Ἱέρων δὲ ἐπολέμησε Θήρωνι τῷ Θρασυδαίου πατρί.
εἰκὸς οὖν διαβεβλῆσθαι τὸν Πίνδαρον τῷ Ἱέρωνι, ὅθεν ἀπο-
λογούμενος εἰς τοῦτο πᾶσαν ἀναφέρει παραίνεσιν. 133 B
BEFGQ c. ἢ οὕτως· ὥσπερ ὁ πίθηκος σπουδάζεται παρὰ τοῖς παισὶν
φαῦλος ὤν, οὕτω καὶ Βακχυλίδης παρὰ παισὶ μὲν ἄφροσιν 20
εὐδοκιμείτω, παρὰ σοὶ δὲ σοφῷ ὄντι πίθηκος ἔστω. 132a B
d. ἄλλως· αἰνίττεται εἰς τὸν Βακχυλίδην· οἷον, παρὰ τοῖς
παισὶ δοκεῖ καλὸς εἶναι ὁ πίθηκος, παρὰ δὲ ἀνδράσιν οὐκέτι·
γινώσκεται γὰρ ἀκριβῶς τὸ ζῷον. e. ἔνιοι δὲ οὕτως· ὥσπερ

---

1 σοφὸς] + βούλου B ‖ πράγματι] + εἶναι B ‖ ὥσπερ] ὡς B? 2 ταῦτα — 3 ἱέρωνι hic om. BCP; cfr. ad 22 ‖ γὰρ — 3 ἱέρωνι om. Q 3 ὃ δὲ — ὅτι om. CP ‖ ὃ δὲ βούλεται] βού-[λεται δὲ] B ‖ ὥσπερ] ὡς B ὥσ(περ) γὰρ CP 4 τοῖς (pr.) om. GQ ‖ [πίθ]ων an [κολακεύ]ων? vel sim. B 6 βελτίοις EFGQ: βελ-τίοσι BCP 7 l. E et (praem. ἄλλως) FQ: ἄλλως· μαθὼν οἷος ἐσσί G 10 l.] ἄλλως B π. π. π. ἀεὶ καλός E(F) 21 παίδων] ἀνθρώπων B 12 καυχῶνται r ‖ post χαυνοῦνται add. καὶ ὁ βακχ. παρὰ παισὶν ἤτοι δοκεῖ καλὸς εἶναι ἢ γελοῖος D 13 εἰ-δόσιν BEFP: εἰδότες G εἰ δέ τις Q 17 ὅθεν] + καὶ Q 19 ἢ οὕτως om., οὖν post ὥσπερ add. B 20 μὲν om. CEP 21 σοὶ δὲ BCEP: δὲ σοὶ FG σοὶ Q 22 ἄλλως — βακχυλ.] ταῦτα δὲ αἰνίττεται εἰς βακχ.· εὐδοκιμῆσαι γὰρ αὐτόν φασι παρὰ τῷ ἱέρωνι B(CP): cfr. ad 2 23 παισὶ] + μὲν B?r ‖ ἀνδράσιν] τοῖς ἀ. B 24 ἔνιοι δὲ] ἢ B ‖ ὥσπερ] + ὁ πίθηκος σπουδάζεται G

παρὰ παισὶ δοκεῖ καλὸς εἶναι καὶ γελοῖος, οὕτως καὶ ὁ Βακχυλίδης. f. δύναται δὲ καὶ οὕτω νοεῖσθαι· ὁ Βακχυλίδης BDEFGQ παρὰ παισὶ δοκεῖ εἶναι σοφὸς, παρὰ τελείοις δὲ οὐκέτι. 132ᵉB

133 a. *ὁ δὲ Ῥαδάμανθυς εὖ πέπραγεν*: ὁ Ῥαδά- BDEFGQ
5 μανθυς διὰ τὸ μὴ ἐνεξαπάτητος εἶναι σοφὸς ὑπείληπται· καὶ σὺ οὖν, ὦ Ἱέρων, μὴ πείθου διαβολαῖς μηδὲ πιθηκισμοῖς, ὅ ἐστιν ἀπάταις. b. ἄλλως· ὁ λόγος παραινετικὸς τῷ Ἱέρωνι, EFGQ ὅτι οὐ προσήκει σε κολακεύουσιν ἥδεσθαι. οἱ γὰρ τοιοῦτοι φιληδεῖς εἰσι παισὶ, τελείοις γε μὴν οὐκέτι. c. ἰδοὺ γὰρ ὁ DEFGQ
10 Ῥαδάμανθυς εὖ ἔπραξε καὶ ἐπίδοξος γεγένηται ὅτι ἄψεκτον τῶν φρενῶν εἶχε τὸν καρπὸν, τουτέστι τὸν λογισμὸν, καὶ οὐδαμῶς ταῖς ἀπάταις ἐτέρπετο τὴν ψυχὴν, οἷα μάλιστα ταῖς τῶν κολάκων καὶ ἀπατεώνων ἀνθρώπων μηχαναῖς καὶ ἀπάταις εἴωθε παρακολουθεῖν.

15 138 a. *οἷα ψιθύρων παλάμαις*: τῶν κολάκων καὶ BDEFGQ ἀπατεώνων, παρὰ τὸ ἠρέμα ψιθυρίζειν. b. παλάμαις δὲ B ταῖς τέχναις.

139. *ἄμαχον κακόν*: ὁ λόγος γνωμικός· ἀκαταμάχητον BDEFGQ κακὸν τὸ τῶν κολάκων φῦλον. τὸ δὲ ἄμαχον κακὸν δύναται
20 συνάπτεσθαι τῷ ἀμφοτέροις, ἵν' ᾖ· οἱ ψίθυροι ἄμαχον κακόν εἰσιν ἀμφοτέροις, καὶ τῷ διαβαλλομένῳ καὶ τῷ πρὸς ὃν διαβάλλουσιν.

140 a. *διαβολιᾶν ὑποφάτιες*: ἑρμηνευταὶ καὶ διάβολοι, BDEFGQ παρὰ τὸ φατίζειν καὶ λέγειν. b. τὸ δὲ *ἀμφοτέροις*, ὅτι DEFGQ
25 τόνδε μὲν τῷδε διαβάλλουσι, τόνδε δὲ τῷδε· ὅπερ Ὅμηρος

---

16 Hes. παλάμη, al. 23 Hes. ὑποφῆται

---

1 παισὶ] + ἤτοι G 2 δύναται — βακχυλ. om. E ‖ δύναται — νοεῖσθαι] ἢ οὕτως B 3 παρὰ δὲ τελ. B? 4 l. om. EF ‖ πέπραγεν B: om. DGQ 6 οὖν om. Q 15 παλάμαις B: om. ‖ τῶν DFGQ: ταῖς τῶν E ψιθύρων τῶν B 16 ψιθυρίζειν] ἐπιψ. B ὑποψ. CP 18 l. om., δὲ post ὁ add. BCP ‖ κακόν] καιρόν DG 19 κακὸν (alt.)] καιρὸν DG 20 τῷ] τοῖς B ‖ ἵν' ᾖ — 21 ἀμφοτέροις om. D 21 εἰσιν] ἐστι τοῖς B ‖ τοῖς διαβαλλομένοις καὶ τοῖς πρὸς οὓς B 23 διαβολιᾶν om., δὲ ἀντὶ τοῦ post ὑποφ. add. B ‖ ὑποφάντιες E 25 ὅπερ — 56, 1 φησι om. D

(*E* 831) *ἀλλοπρόσαλλόν φησι.* c. *διαβολιᾶν δὲ ἀντὶ τοῦ διαβολῶν Δωρικῶς, ἤτοι κατηγοριῶν.*

BDEFGQ 141. *ὀργαῖς ἀτενές: τρόποις· καὶ ὅτι ἀτενές ἐστιν εὐθύτατα καὶ ὀρθότατα. διὰ δὲ τούτου τὸ ὁμοιότατον δηλοῖ. καθόλου δὲ τοῖς τῶν ἀλωπέκων τρόποις εἰσὶν ὅμοιοι.* 5

BDEFGQ 142 a. *κέρδει δὲ τί μάλα: ἐρωτηματικὸς ὁ λόγος·* BEFGQ | *ἀλλὰ καὶ κέρδει τοῦτο ποιοῦσιν· εἶτα ἡ ἐπαγωγή· τί δὴ αὐτοῖς τοῦτο τὸ κατηγορεῖν ἐπικερδὲς τυγχάνει; ὁ αὐτὸς καὶ ἐν ἄλλοις* (O. I, 53)· *ἀκέρδεια λέλογχε θαμινὰ κακαγόρους.*

BDEFGQ | b. *ἄλλως· τὸ δὲ διαβάλλειν οὐδὲν ἐπικερδὲς ἔχει.* c. *τί αὐ-* 10 *τοῖς κέρδος τὸ διαβάλλειν ἐμέ; ἐγὼ γὰρ ὡς φελλὸς ἁλιευτικοῦ δικτύου, αὐτοῦ ὄντος ἐν βάθει, ἐπιπλέω καὶ οὐ βαπτίζομαι.*

BEFGQ d. *ὡς ὑπὸ ἄλλου σκεύους βαρύνεται ὁ φελλὸς καὶ οὐ δύ-* DEFGQ *νει, οὕτως ἐγὼ ἀβάπτιστός εἰμι ὡς φελλός.* e. *θηλυκῶς δὲ λέγει τὴν φελλόν.* f. *τὸ δὲ βαθύ συναπτέον τῷ ἕρκος.* 147 EF 15

DEFGQ 142 g. *τί μάλα τοῦτο κερδαλέον: τί περιγίνεται κέρδος τοῖς ψιθύροις; οὐδὲν γὰρ ἀνύουσιν. οὐ γὰρ πεφρόντικα ὡς ὁ ἀβάπτιστος φελλός. δῆλον δὲ ἐκ τούτου μᾶλλον ὅτι περὶ αὐτοῦ λέγει ὁ Πίνδαρος.* 147 DGQ

BDEFGQ 144 a. *ἅτε γὰρ ἐνάλιον: ἐγὼ ὥσπερ σαγήνης πονούσης* 20 *καὶ βάθος λοιπὸν ἐχούσης κατὰ τοῦ πελάγους, ἀβάπτιστος ὢν*

---

1 Hes. *διαβολίαν· διαβολήν* 3 Hes. *ὀργή*, al. Hes., Suid. *ἀτενές*. Bekk. Anecd. 458, 30. Zon. 338

---

2 *διαβόλων* EF 3 *ἀτενές*] + *ἀλωπέκων ἴκελοι* B ‖ *τρόποις*] om. E *τὸ ὀργαῖς ἀντὶ τοῦ τρόποις* B ‖ *καὶ ὅτι* — 4 *ὀρθότατα* om. B ‖ *ὅτι* del. b 4 *εὐθύτατον* et *ὀρθότατον* EF ‖ *τὸ* om. EF 6 l. BEF (*δέ τι* B): *κέρδει δέ* DGQ ‖ *ἐρωτιματικὸς* B 7 *ἀλλὰ* — *ἐπαγωγή* om. BCP ‖ *καὶ* om. EF ‖ *δή*] *δὲ* DG 8 *τυγχάνει*] *ἔχει ἢ τυγχ.* B 9 *κακαγόρους* PQ: *κακαγόρως* E -*γόρος* F *κακηγόρῳ* B *κακηγόρους* DG^{cp} 10 *ἄλλως* om. BCP ‖ *δὲ* om. DGQ 11 *ἁλιευτικοῦ* BCP: -*ικὸς* DEFGQ (cfr. ad 20) 13 ⟨*τοῦ*⟩ *ἄλλου* b 14 *ἐγὼ* BE: *κἀγὼ* ‖ *ὡς ὁ φ.* B 15 *λέγει* scripsi: *λέγεται* 16 *κερδαλέον* om. DGQ 17 *πεφρόντι(κα)* $D^{cp}G^{cp}$ *πεφρόντισται* Q 19 *αὐτοῦ* codd. 20 l. om., ante *ἐγὼ* inser. *ἐκεῖνοι μὲν κακηγορούντων με* B ‖ *ἐνάλιον* Q: *ἐνάλιος* EF *ἐνάλ(ιος* s. -*ιον*) DG (cfr. ad 11) ‖ *ἐγὼ* BEF: *ἐγὼ δὲ* CPQ *ἐγὼ γὰρ* DG ‖ *ὥσπερ* ⟨*φελλὸς*⟩ b 21 sq. *ὢν ὡς ὁ φελλὸς καὶ* EF: *ἢ ὁ φ. καὶ* B *εἰμι. ἢ ὡς ὁ φ.* (om. *καὶ*) DGQ *ἐστιν ὁ φ. καὶ* CP. — Lac. indicavi

ὡς ὁ φελλὸς ...... b. .... καὶ ἐπινήχεται ὑπὲρ τὴν τῆς θαλάσσης ἐπιφάνειαν ἀβαπτίστου φύσεως ὤν, οὕτω καὶ ἐγὼ ταῖς τῶν ἄλλων κακηγορίαις ἀβάπτιστός εἰμι, | ἑτέρας B σκευῆς ὤν, ὡς πρὸς τὴν σαγήνην τὸν φελλόν. 148 DEFGQ

5 147. ὡς ὑπὲρ ἕρκος ἅλμας: τῇ τῆς θαλάσσης ἐπι- DEFGQ φανείᾳ, ὅτι τῇ ἑαυτῆς ἐπιφανείᾳ περιτειχίζεται. 144a DGQ 142g EF

148 a. ἀδύνατα δ' ἔπος ἐκβαλεῖν: ἀδύνατόν ἐστι τὸν BDEFGQ διαβάλλοντα ἐν ἀγαθοῖς ὄντα ἀνθρώποις εἰπεῖν τι κραταιόν· ἀσθενὲς γὰρ λέγει. b. κραταιὸν δέ, κρατυνθῆναι καὶ πιστευ- DEFGQ

10 θῆναι δυνάμενον. c. ἢ οὕτως· ἀδύνατον δέ ἐστι τὸν δόλιον BEFGQ ἄνδρα, φαῦλα λέγοντα καὶ ψευδῆ, πεῖσαι συνετὸν ἄνδρα καὶ φρόνιμον. d. ἄλλως· ἀδύνατόν ἐστι δόλιον πολίτην λέγειν DEFGQ τινὰ ἐν ἀγαθοῖς καὶ φρονίμοις ἀνδράσι λόγον ἰσχυρὸν καὶ πρὸς ἀπάτην πιστόν.

15 150 a. ὅμως μάν: ὅμως πάντας κολακεύων ὁ δόλιος CP ἀνὴρ ἐπιπολὺ καλῶς διανύει τὸν βίον. b. πλοκήν τινα ποιεῖ.

152 a. πάγχυ διαπλέκει: πλοκήν τινα ποιεῖ. b. ἐὰν DEFGQ διάπλεκε γέγραπται, πρὸς ἑαυτὸν λέγει ὁ Πίνδαρος.

153 a. φίλον εἴη φιλεῖν: εἴη με τοὺς μὲν φίλους τῶν BDEFGQ

20 ἀνθρώπων φιλεῖν, πρὸς δὲ τὸν ἐχθρὸν ἅτε καὶ αὐτὸς ὢν ἐχθρὸς λύκου τρόπον ὑποδραμοῦμαι. 155c B b. ἄλλως· μὴ BEFGQ πρὸς πάντας εἴη μοι σαίνειν, φησί, καὶ φίλους καὶ ἐχθρούς, ἀλλὰ τὸν μὲν φίλον σανῶ, τὸν δὲ ἐχθρὸν ἐπιτηρήσω, ἵνα μετ- ἔλθω καθάπερ λύκος ἐνεδρεύων, οὐκ εὐθείαις ἀλλὰ σκολιαῖς

25 ὁδοῖς, τουτέστιν οὐχ ἑνὶ τρόπῳ ἀλλὰ παντοῖος ἔσομαι. 157 B

155 a: λύκοιο δίκαν: ὡς λύκος. DEFGQ

---

2 τῆς θ. ἐπιφάν.] θάλασσαν B 3 κατηγορίαις BCPQ ‖ ἑτέρας — 4 φελλόν sensu cassa 4 ὁ φελλός h 5 ὡς] ὅτι ὡς EF 6 ἑαυτοῦ Q ἑαυτ(ῆς) DG 7 l. BEF: ἀδύνατον δ' ἔπος CD(P) ἀδύνατα G^{cp}HQ ‖ ἀδύνατον] + δέ B?r 9 δὲ EF: δὲ ἤγουν DGQ 10 ἢ οὕτως] μᾶλλον δὲ BCP ‖ δὲ om. BCP 11 φαῦλα — ψευδῆ om. BCP ‖ ἄνδρα om. B 12 ἀδύνατον] + δέ FG^{s}Q ‖ πολίτην D^{cp}EFG^{cp} (quod ποτε solvit b): πάντα Q 13 ἰσχυρὸν καὶ πρὸς ἀπάτην iter. DG 16 ποιῶν r 17 πλο- κὴν] + μέν EF ‖ ἐὰν] + δὲ EF 18 διέπλεκε Q ‖ λέγων EF 19 με τοὺς EF: μετ.. (lac.) Q μετ(ὰ) DG μοι τοὺς B ‖ φίλους B EF: φίλον Q φίλ(ους s. -ον) DG 20 ἅτε — 21 ἐχθρὸς om. BCP 23 τὸν (pr.)] πρὸς h ‖ σανῶ B: σαίνω 26 λύκοιο] λύκου E

EFQ b. προσδραμοῦμαι αὐτῷ λύκου τρόπον.
BDEFGQ c. τὰ ἴχνη αὐτοῦ φυλάξω ὡς λύκος, ἐπ' ἄλλο καὶ ἄλλο βαί-
DEFGQ νων, | τοῦ ἐχθροῦ ἄλλοτε ἄλλα πράγματα διαψηλαφῶν, ὥστε
BDEFGQ τοῦτον βλάψαι. 157EF d. οἱονεὶ ἐπιπατῶν αὐτοῦ τοῖς
ἴχνεσι καὶ βλάπτων αὐτὸν οὐκ ἐκ τοῦ φανεροῦ, ἀλλὰ λελη- 5
θότως εἰς τὸν ἐχθρὸν κακουργῶν. 153b B 161 EF
BDEFGQ 157 a. ἐν πάντα δὲ νομόν: κατὰ πᾶσαν ἀρχήν. ἐπεὶ
τρεῖς πολιτείας φησὶν εἶναι, δημοκρατίαν, ὀλιγαρχίαν, τυραν-
νίδα b. ὁ νοῦς· κατὰ πᾶσαν δὲ ἀρχὴν ὁ εὐθυρρήμων, ὁ
μὴ ἕτερα μὲν νοῶν ἕτερα δὲ λέγων, βελτίων ἐστὶν, ἔν τε τυ- 10
ραννίδι καὶ δημοκρατίᾳ καὶ ὅταν τὴν πόλιν οἱ σοφοὶ καὶ
ἄριστοι διοικῶσι. προφέρει γὰρ οὐχ ὑποκρινόμενος. 155d EF
BDEFGQ 161 a. χρὴ δὲ πρὸς θεόν: προσήκει δὲ μὴ φιλονεικεῖν
πρὸς τὸ δαιμόνιον, ἀλλ' οἷα ἂν διδῷ, ταῦτα καὶ φρονεῖν.
πολλάκις γὰρ τὰ τῶνδε μὲν ὑψοῖ, ἄλλοτε δὲ τὰ τῶν ἑτέρων 15
BEFGQ ἑτέροις ἔδωκεν. b. ἄλλως· οἱ διαβάλλοντες γὰρ ἐρίζουσιν.
οὐ δεῖ οὖν θεοῖς ἀντιβαίνειν.
DEFGQ 163 a. ὃς ἀνέχει: οἱονεὶ μετεωρίζει, ὥστε εἶναι περὶ αὐ-
BGQ τοὺς μεγάλην δόξαν. b. ἄλλως· κἀγὼ οὖν εἴξω τῷ Βακχυ-
λίδῃ [φησὶ] τὰ νῦν, παρὰ θεῶν εὖ πράττοντι, καὶ οὐκ ἀντι- 20
βήσομαι τῇ προαιρέσει ἐπιπλεῖστον.

---

2 τὰ — λύκος om. DG ‖ τὰ] καὶ τὰ BCP ‖ ὡς λ. φυλάξω BCP ‖ καὶ] + ἐπ' B 3 ὥστε] πρὸς τὸ EF 4 sch. 155d bis hab. E, in mg. sup. al. atr. scriptum (E[b]) et post sch. 157b (E[a]) ‖ l. null. BE[b]: ἄλλ' ἄλλοτε (D)GQ πατέων ὁδοῖς E[a]F 4 ἐπιπατῶ E[b]Q 5 τοῦ om. DE[b]GQ 6 εἰς — κακουργῶν om. BCP ‖ εἰς om. D 7—9 cfr. sch. Pal. p. 447, 7 Ab., Thom. ibid. 16 7 l.] + εὐθύγλωσσος ἀνήρ B ‖ νομόν BDGQ: νόμον EF ‖ κατὰ — ἀρχήν om. BP 8 φησι πολιτείας BP ‖ ὀλιγ. τυρανν.] ἀριστοκρατίαν καὶ βασιλείαν P (Thom., Pal.) 9 ὁ νοῦς EF: ὁ ν. τοιοῦτος B ὁ δὲ ν. DGQ ‖ κατὰ δὲ πᾶσαν Q ‖ εὐθυρήμων EF εὐθυρρ. καὶ παρρησιαστικὸς P 10 τε om. B ‖ τυραννίδι] βασιλείᾳ (C)P 11 καὶ δημ. — 12 διοικῶσι] ἔν τε δημ. καὶ ἐν ἀριστοκρατίᾳ (C)P ‖ δημοκρ.] μοναρχίᾳ Q ‖ καὶ (alt.)] + ὀλιγαρχίᾳ B 12 προσφέρει BF 13 l.] + οὐκ ἐρίζειν B 15 τῶνδε μὲν] τῶν μὲν B?CP 16 γὰρ om. BP 17 θεοῖς BFP: θεοὺς E πρὸς θεοὺς GQ 18 ἀνέχῃ DG ‖ περὶ αὐτοὺς G[cp]Q: πρὸς αὐτοὺς E παρὰ αὐτοὺς F περὶ αὐτὸν Db 19 μεγάλην et G ‖ ἄλλως om. BP ‖ οὖν GQ: δὴ B δὲ P 20 φησὶ post εἴξω Q, post οὖν (δὲ) GP; seclusi ‖ καὶ — 21 ἐπιπλεῖστον non intellego

163 c. τοτὲ μὲν τἀκείνων· ἐπεὶ ἔφησεν ὅτι τὸν μὲν ὁ DEFGQ
θεὸς ὑψοῖ, τὸν δὲ καταρριπτεῖ, φησὶν ὅτι οὐδὲ ταῦτα τῶν
ἀπατεώνων καὶ κολάκων πείθει τὴν ψυχὴν εἰς τὸ ἀπέχεσθαι
τῆς τοιαύτης ὑποστάσεως λογιζομένους ὡς οὐ παραμενεῖ
5 αὐτοῖς ἡ νῦν δοκοῦσα παρεῖναι εὐτυχία.

165 a. ἀλλ' οὐδὲ ταῦτα νόον ἰαίνει: τίνα ταῦτα; DEFGQ
ἐπεὶ προείρηκεν ὅτι ὁ θεὸς στρέφει τὸν βίον καὶ οὐκ ἐν τῇ
αὐτῇ τάξει ἀεὶ τὰ πράγματα μένει, φησὶν ὅτι οὐδὲ ταῦτα τοὺς
φθονεροὺς καὶ διαβόλους ἰαίνει οὐδὲ προσπαθῆ ποιεῖ τὸν
10 νοῦν αὐτῶν, ἵνα παύσωνται διαβάλλοντες.

165 b. ἀλλ' οὐδὲ ταῦτα νόον ἰαίνει φθονερῶν: BCP
ἐπεὶ προείρηκεν ὅτι τὸν μὲν ὁ θεὸς ὑψοῖ, τὸν δὲ καταρρίπτει,
καὶ οὐκ ἐν τῇ αὐτῇ τάξει τὰ πράγματα μένει, φησὶν ὅτι οὐδὲ
ταῦτα τοὺς φθονεροὺς καὶ διαβόλους κινεῖ εἰς τὸ ἀπέχεσθαι
15 τοῦ πρὸς τοὺς πέλας φθόνου, λογιζομένους ὡς οὐ παραμενεῖ
αὐτοῖς ἡ νῦν δοκοῦσα παρεῖναι εὐτυχία. c. οὐκ ἰαίνει οὖν, BP
φησί, οὐ προσπαθῆ ποιεῖ τὸν νοῦν αὐτῶν, ἵνα παύσωνται
διαβάλλοντες.

166 a: ἰαίνει δὲ ἀντὶ τοῦ θερμαίνει καὶ προσπαθῆ ποιεῖ DEFGQ
20 τὸν νοῦν.

166 b. τὸ δὲ στάθμας φροντίδος. c. σταθμώμενοι, BDEFGQ
φησί, πολλὰ | καὶ περιγράφοντες μεγάλα τινὰ μέλλοντα ἔσε- BEFGQ

---

19 Ap. soph. 89, 25. EM 463, 40. Eust. ad κ 359 (1661, 63), al.

---

1 l.] + τοτὲ δ' αὖθις GQ ‖ τὰ κείνων Q? ‖ ἐπεὶ ἔφησεν EF: ἐπειδὴ ἔφησεν Q ἐπειδή φησιν DG 2 καταριπτεῖ EFQ 3 ἀπατεώνων F: ἀπατεόνων 4 ὑποθέσεως Q ‖ λογιζομένους scripsi: λογιζομένοις ‖ παραμενεῖ B (15): παραμένει DEFG παραβαίνει Q 5 αὐτῷ DG 6 l. EF: ἀλλ' οὐδὲ ταῦτα DGQ 7 στρέφει E²: στέφει ‖ καὶ om. EF 8 τάξει] πράξει Q 9 ἰαίνει οὐδὲ DGQ: οὐ EF (cfr. B 17) ‖ προσπαθῆ B (17) F: προσπαθεῖς E συμπαθῆ DG^{cp}Q 10 αὐτῶν om. E 11 l. B: ἀλλ' οὐδὲ ταῦτα CP 12 ὁ om. CP ‖ κατακρύπτει r 14 διαβολεῖς CP 15 τοῦ] τοὺς P ‖ λογιζομένους B (cfr. ad 4): καὶ λογ. CP καὶ λογίζεσθαι r 16 sch. 165c ἄλλως praem. Pr 17 οὐ B: ταῦτα καὶ οὐ Pr 19 sch. 166a post 60, 3 βακχυλίδην inser. DEFGQ ‖ προπαθῆ G 21 τὸ — φροντίδος] om. B στάθμ. δέ τινος· ἤγουν φρ. D ‖ φροντίδος (D^{cp})Q: φροντίδας EFG 22 φησὶ EFGQ: δὲ BCDP ‖ πολλὰ om. CP ‖ περιγράφοντες BCE^{1cp}F^{cp}P: περιγραφῇ E²GQ ‖ μεγάλα om. E¹ ‖ μέλλοντα om. E¹F

σθαι αὐτοῖς, προωδυνήθησαν πρὶν τυχεῖν ὧν ἐπιζητοῦσι καὶ ἐλπίζουσιν.

BDEFGQ 166 d. *στάθμας δέ τινος*: ἡ ἀναφορὰ πάλιν πρὸς Βακχυλίδην. εἴληπται δὲ οὕτως ἡ διάνοια, διὰ τὸ παρὰ τῷ Ἱέρωνι τὰ Βακχυλίδου προκρίνεσθαι ποιήματα, καί φησιν ὅτι φέρειν δεῖ τὰ συμπτώματα τῆς τύχης. 5

DEFGQ 168. *ἐνέπαξαν ἕλκος*: οἷον, ἥλκωσαν αὐτῶν τὴν καρδίαν, πρὶν κακῶσαί τινα καὶ κατορθῶσαι ἃ κατ' ἀλλήλων μηχανῶνται· ὅ ἐστιν, ἄδικα φρονοῦντες πρότερον ἑαυτοὺς ὀδυνῶσι πρὶν ἄλλους κακῶσαι. 10

EFGQ 171 a. *φέρειν δέ*: τὰ δὲ προσπίπτοντα παρὰ τῆς τύχης BDEFGQ ὑποβάλλοντα τὸν αὐχένα ὑπομένειν συμφέρει. b. ἄλλως· φέρειν δὲ ἐλαφρῶς καὶ ἄνευ φιλονεικίας τὸν παρὰ τῆς τύχης ζυγὸν συμβάλλεται, ὥσπερ βοῦν ὑποδύντα τὸν ζυγόν. c. πάλιν αὐτῷ πρὸς τὸ τοῦ Βακχυλίδου ἀναφέρεται ὁ λόγος. 15 ἕλξω γάρ, φησί, τὸν ζυγόν, ὡς ἡ τύχη ἠβουλήθη, διὰ τὸ τιμᾶσθαι παρὰ σοὶ (τῷ Ἱέρωνι) μᾶλλον ἐμοῦ τὸν Βακχυλίδην.

DEFGQ d. ἄλλως· ἐπικουρητικόν ἐστι καὶ ἀρηκτικὸν τὸ μὴ ἀντιτείνειν ταῖς τῶν θεῶν βουλήσεσιν, ἀλλ' ὡς βούλονται ὑποδύντα τὸν ζυγὸν καὶ κατακύψαντα ἕλκειν καὶ προκόπτειν τὸ 20 ἔργον τοῦ βίου. ἐπεὶ οὖν Βακχυλίδης ἐστί σου φίλος, ἕλξω ὑποδὺς τὴν τῆς τύχης ζεύγλην ὡς βοῦς.

BDEFGQ 173 a. *ποτὶ κέντρον λακτιζέμεν*: λακτίζειν δὲ πρὸς κέντρον οὐκ ἀσφαλές, οὐδὲ ἀβλαβὴς ὁδὸς τυγχάνει· τούτεστιν, οὐ συμφέρει τῇ τύχῃ ἄνθρωπον ὄντα διαμάχεσθαι. ἡ δὲ 25

---

1 πρὶν] περὶ EFQ 3 l. om. BCDP ‖ ἡ] + δὲ BCP ‖ post βακχ. inser. sch. 166a DEFGQ 4. 5 τῷ ἱέρωνι BEF: ἱέρων(ι) P ἱέρωνα C τοῦ ἱέρωνος D(G^{cp})Q 5 βακχυλίδους EF -ίδ(ου) BDG ‖ ὅτι om. BCP 6 τὰ τῆς τ. συμπτ. CDGPQ 7 αὐτῶν b 8. 9 μηχανᾶνται EF 11 l. EF: φ. δὲ ἐλαφρῶς GQ ‖ cfr. ad 14 12 ἄλλως] φέρειν δ' ἐλαφρῶς ἐπαυχένιον B 14 τὸν ζυγόν] τῷ ζυγῷ Q τὸν ζ., τουτέστι τὰ προσπίπτοντα παρὰ τῆς τύχης B (cfr. 171 a) 15 πάλιν] + δὲ B καὶ πάλιν EF ‖ τὸ τοῦ β. E: τὸ τοῦ β. μέρος BCP τοῦ β. DF τὸν β.-ην GQ 16 ἐβουλήθη EFQ 17 ὦ ἱέρων CP ‖ μᾶλλον ἐμοῦ] μᾶλλον μὴ E μὴ F μᾶλλον ἡμᾶς Q 18 ἀρηκτικὸν Q: ἀρκτικὸν 20 τῷ ζυγῷ Q ‖ κατὰ κύβαντα EF ‖ προσκόπτειν EF 23 l.] ποτὶ κ. δέ τοι λ. B 24 ἀσφαλὲς] + φησιν B 25—61, 3 cfr. Thom. p. 480, 7 Ab.

τροπὴ ἀπὸ τῶν βοῶν· τῶν γὰρ βοῶν οἱ ἄτακτοι κατὰ τὴν γεωργίαν κεντριζόμενοι ὑπὸ τοῦ ἀροῦντος λακτίζουσι τὸ κέντρον καὶ μᾶλλον πλήττονται. b. ἄλλως· οὐ βούλομαι, φησί, βίᾳ φίλος σου εἶναι, ἀλλὰ αἱρετός. c. ἄλλως· ἐγώ, φησί, 5 πρὸς κέντρα οὐ λακτίζω, ἀλλὰ εἴξας ἕλξω τὸν ζυγόν, ὅ ἐστι τὸ ἔργον τοῦ βίου. | Αἰσχύλος Ἀγαμέμνονι (1624)·

DEFGQ BDEFGQ EFGQ

πρὸς κέντρα μὴ λάκτιζε, μὴ παίσας μογῇς.

καὶ Εὐριπίδης (fr. 604)·

πρὸς κέντρα μὴ λάκτιζε τοῖς κρατοῦσί σου.

Scholia in Pythionicarum carmen III.

10 Τῷ αὐτῷ κέλητι. DEGQ

Ἱέρωνι Συρακουσίῳ. F

Τῆς τρίτης ᾠδῆς ἡ στροφὴ καὶ ἀντίστροφος κώλων ιγ'. B
τὸ α' ὅμοιον τῷ (P. I 7)· ἀμβολὰς τεύχῃς ἐλελιζομένα. τὸ β' τὸ αὐτὸ τῷ πρώτῳ. τὸ γ' δίμετρον ἰαμβικὸν ἀκατάληκτον, 15 ὅμοιον τῷ (Archil. fr. 94, 2)· τίς σὰς παρήειρε φρένας. τὸ δ' προσοδιακόν. τὸ ε' δακτυλικὸν πενθημιμερές. το ϛ' ἀναπαιστικὸν μονόμετρον. τὸ ζ' δίμετρον ἰαμβικὸν ἀκατάληκτον. τὸ η' Ἰωνικὸν ἀπὸ μείζονος μονόμετρον ὑπερκατάληκτον, ἢ ἀναπαιστικὸν μονόμετρον ἀκατάληκτον. τὸ θ' προσοδιακόν. 20 τὸ ι' δίμετρον Ἰωνικὸν ἀπ' ἐλάσσονος καταληκτικόν. τὸ ια' πενθημιμερὲς δακτυλικόν. τὸ ιβ' ἐπιχοριαμβικὸν τρίμετρον καταληκτικόν. τὸ ιγ' ἐγκωμιολογικόν.

ἡ ἐπῳδὸς κώλων ιε'. τὸ α' ὅμοιον τῷ α' τῆς στροφῆς. B
τὸ β' τροχαϊκὸν τρίμετρον καταληκτικὸν [Πινδαρικόν]. τὸ γ'

1 τῶν γὰρ βοῶν] βοῶν γὰρ EF 4 βίᾳ] βίας EF 5 κέντρον EF ‖ ἕλκω Q ‖ ὅ] ὅπερ DG 9 μὴ λάκτιζε om. Q ‖ σε Q 10 inscr. repet. DG ‖ κέλλητι D?EG(λ s. v.)Q 12—62, 9 cfr. Tricl. p. 16 Schn. 13 τεύχων B ‖ ἐλελιζομένη ? B 16 προσοδικόν B ubique 19 προσοδιακόν] exspectes ἐπιχοριαμβικόν (Pauw); nisi forte ἀδιάφορον τὴν ἄρχουσαν esse voluit 21 χοριαμβικὸν r 23 ἐπῳδὴ B ‖ δεκάπεντε B 24 πινδαρικὸν del. Pauw, recte (add. is qui iam νυμφιδίαν legeret); stesichoreum Tricl.

ἐπιχοριαμβικὸν δίμετρον ἀκατάληκτον. τὸ δ' δίμετρον Ἰωνικὸν ἀπ' ἐλάσσονος. τὸ ε' ὅμοιον τῷ (P. I 34)· ταί ϑ' ὑπὲρ Κύμας ἁλιερκέες ὄχϑαι. τὸ ς' πενϑημιμερὲς δακτυλικόν. τὸ ζ' ὅμοιον τῷ· τίς σὰς παρήειρε φρένας. τὸ η' ὅμοιον τῷ ς'. τὸ ϑ' ὅμοιον τῷ ζ'. τὸ ι' ὅμοιον τῷ ς' καὶ τὸ η'. τὸ ια' 5 προσοδιακόν. τὸ ιβ' δίμετρον [τροχαϊκὸν] ἐπιχοριαμβικόν. τὸ ιγ' Ἰωνικὸν ἀπ' ἐλάσσονος δίμετρον ἀκατάληκτον. τὸ ιδ' μονόμετρον ἀναπαιστικὸν, ὅμοιον τῷ ἕκτῳ τῆς στροφῆς. τὸ ιε' ὅμοιον τῷ· τίς σὰς παρήειρε φρένας.

BDEFGQ Inscr. a. *Γράφει τὸν ἐπίνικον Ἱέρωνι νικήσαντι κέλητι* 10 *τὴν εἰκοστὴν ἕκτην καὶ εἰκοστὴν ἑβδόμην Πυϑιάδα. καὶ φανερὸν, ὅτι εἰς ἀμφοτέρας τὰς νίκας τὸν ἐπίνικον συντάττει, δι' ὧν ὀνομάζει στεφάνους ἀέϑλων καὶ κώμους ἀέϑλων. τὸ δὲ προοίμιον πρὸς τὴν Ἱέρωνος νόσον ἐστίν· κατεύχεται γὰρ ἀναβιῶναι τὸν Χείρωνα καὶ ὑγιάσαι τῆς νόσου τῆς λιϑουρίας* 15 *τὸν Ἱέρωνα.* inscr.[b] B

DEFGQ 1 a. *Χείρων ὁ Κένταυρος γίνεται παῖς Κρόνου καὶ Φιλύ-* BDEFGQ *ρας τῆς Ὠκεανοῦ, καὶ ἔστιν* | *ὁ νοῦς οὕτως· ἐβουλόμην τὸν Χείρωνα, εἰ προσῆκον τοῦτο εὔξασϑαι, ἀναβιῶναι τὸν ἤδη τεϑνηκότα.* 1[b] B 20

BDEFGQ Inscr. b. *Ἤϑελον Χείρωνά κε Φιλλυρίδαν*: *Ἱέρωνι Πύϑια νικήσαντι τὴν κζ' Πυϑιάδα· μέμνηται δὲ καὶ τῆς πρὸ ταύτης Πυϑιάδος, ὥστε ἐπὶ ταῖς δύο νίκαις τὴν ᾠδὴν συντετάχϑαι. συνᾴδει δὲ καὶ τὰ ἀπὸ τῶν χρόνων. ὡς γὰρ ἤδη βασιλεύοντός φησιν* (Vs. 70)· *ὃς Συρακόσσαισιν ἄρχει πραῢς* 25

---

1 *δίμετρον* Tricl., Brub.: *τρίμετρον* 3 *ἁλιερκέας ὄχϑους* B[i] 6 *τροχαικὸν* seclusi; *τροχ. ἢ ἐπιχορ.* Pauw. 7 *ἀκατάληκτον* Tricl, Pauw: *καταληκτικόν* 10 *ἱέρωνι* B[cp]DFG: *ὁ ἱέρων* CE *ὁ πίνδαρος* E[mg]Q ‖ *κέλλητι* DEG 11 *εἰκοστὴν ἕκτην*] *κε'* C 13 *στεφάνους* — alt. *ἀέϑλων* om. D ‖ *ἀέϑλων* (pr.) Bergk ad P. III 73: *δὲ ϑλῶν* GH *δὲ ϑαλῶν* EQr *δὲ ἀϑλῶν* FK *δ' ἀέϑλων* B om. CP (*ϑαλῶν* del. h) 14 *κατεύχεται* — 16 *ἱέρωνα* hic om. BCP; cfr. ad 63, 6 15 *ἀναβιῶσαι* DGQ; cfr. ad 63, 6 16 *τὸν ἱέρωνα* om. EF 17 sch. 1[a]] *ἄλλως* praem. DG; om. CP ‖ *φιλλύρας* D GQ 18 *ὁ νοῦς οὕτως*] *ὁ δὲ ν. οὗτος* B ‖ *ἠβουλόμην* B? 21 l. BEF: *ἤϑελον χείρωνα* DG *ἤϑ. χ. κε* Q *ἄλλως* CP 22 *κς'* r ‖ *πυϑιάδα*] + *γέγραπται* CP 23. 24 *συντετάχϑαι*] *συν* s. v. add. B 24 *ἀπὸ* om. DGQ 25 *ὃς* — 63, 1 *ἀστοῖς* om. D ‖ *συρα-*

ἀστοῖς. καθίσταται δὲ ὁ Ἱέρων βασιλεὺς κατὰ τὴν ος' Ὀλυμπιάδα, τῆς κη' Πυθιάδος τῇ προκειμένῃ Ὀλυμπιάδι συγχρόνου οὔσης, ὥστε πάντῃ τε καὶ πάντως μετὰ τὴν ὕστερον Πυθιάδα, ἥτις γέγονε περὶ τὴν οε' Ὀλυμπιάδα, συντετάχθαι τόνδε τὸν
5 ἐπίνικον. πρὸς δὲ τὴν παροῦσαν τύχην τοῦ Ἱέρωνος ἁρμοσάμενος εὔχεται ἐν ταῖς πτυχαῖς τοῦ Πηλίου διάγειν τὸν Χείρωνα ὑπὲρ τοῦ δύνασθαι τὸν Ἱέρωνα θεραπείας τυχεῖν ὑπ' αὐτοῦ· | λιθιάσει γὰρ νόσῳ κατείχετο. τὸν δὲ Χείρωνα μιᾶς BEFGQ τῶν Ὠκεανίδων καὶ Κρόνου γενεαλογοῦσιν. 1[a]B

10 1 b. τὸ δὲ ἑξῆς· ἤθελον δὴ τὸν ἀποιχόμενον Οὐρανίδου BDEFGQ Κρόνου γόνον εὐρυμέδοντα Φιλλυρίδην Χείρωνα, εἰ χρεὼν ἔπος κοινὸν τοῦτ' εὔξασθαι ἡμετέρας ἀπὸ γλώσσης. κοινὸν δὲ, ἤτοι κατακοίνως λεγόμενον ἐν τῷ βίῳ· οἷον, εἰ ἔζη ὁ δεῖνα, ἐποίησεν ἂν τάδε. ἢ κοινὸν, τὸ ἐσόμενον κοινὸν ἀγα-
15 θόν· εἰ γὰρ ἀνέζησε, πολλοὺς ἂν ὑγίασεν. ἢ κοινὸν ἀγαθὸν, ἐμοί τε καὶ τῷ Ἱέρωνι· εἰ γὰρ ὑγίανεν ὁ Ἱέρων, ἐμὸν ἦν ἀγαθὸν καὶ τοῦ Ἱέρωνος. | ἢ κοινὸν, τὸ ἐσόμενον κοινὸν διὰ BEFGQ τὴν ἐμὴν δύναμιν· τὸ γὰρ ποίημα κοινὸν εἴωθε λέγειν διὰ τὸ πανταχόσε διϊκνεῖσθαι. ἢ ὡς κοινῆς οὔσης πᾶσι τῆς εὐ-
20 τυχίας, τὸν Ἱέρωνα ἀπαλλαγῆναι τῆς νόσου.

7. βάσσαισί τ' ἄρχειν: ἐν τοῖς βασίμοις τόποις καθη- BDGQ

---

21 Hes. βῆσσαι. βασσαίας. Ap. soph. 51, 17 EM 196, 46. EG 452, 7 cfr. p. 268 Stef.). Zon. 386, al. (sch. τ 435)

κο(ύ)σαισιν CP: συρακόσιν B συρ(ρ)ακο(υ)σίαισιν EFGQ || ἄρχει] νέμει βασιλεὺς r (ut Pindarus) || πραῢς ἀστοῖς r: πραυτάτι B πρα////(ras. un. litt.)άντοις E πραυσάτοις FG πρασάντοις Q om. CP

p. 63, 1 καθίστατο CP 2. 3 συγχρονούσης DGQ 4 οε' Schroeder: ος' || συντέτακται DG 6 εὔχεται] + ἀναβιῶναι τὸν χείρωνα καὶ ὑγιάσαι τῆς νόσου τῆς λιθουρίας. εὔχεται δὲ BCP (cfr. ad 62, 14) || εἰς τὰς πτυχὰς CP || τῇ πτυχὶ D τῇ πτυχῇ Q τ(αῖς) πτυχ(αῖς) G[cp] || τὸν χ. διάγειν EFQ 8 χείρωνα] + φιλ(λ)ύρας BCP 9 γενεαλογεῖ EF(G[cp]?) 10 δὴ om. B 11 φιλυρ. an φιλλυρ. B incert. || φιλλυρίδας EF -δων Q -δ(ην) D[cp]G[cp] 12 τοῦτ' ἔπος κοινὸν B || ἁμετέρας DFGQ || γλώσσας BDEFG 13 κατακοίνως] κοινῶς r 15 ἐποίει CP 16 ὑγίανεν — ἐμὸν] ὑγιὴς ἐγένετο, ἐμοί D 19 διϊκνεῖσθαι] δείκνυσθαι EFQ || πᾶσι] πάσης EF 20 τὸν] τοῦ τὸν GQ 21 l.] + παλίον B || ἐν] καὶ ἐν B || τῷ βασίμῳ τόπῳ DGQ

γεῖσθαι τοῦ Πηλίου φησὶ τὸν Χείρωνα τὸν ὄντα μὲν θῆρα ἄγριον κατὰ τὸ σῶμα· Κένταυρος γάρ· τὸν δὲ νοῦν ἔχοντα προσφιλέστατον ἀνθρώποις.

BDEFGQ 9. *οἷος ἐών*: ὁ νοῦς· ὁποῖος ὢν τήν τε φύσιν καὶ τὸν νοῦν ὁ Χείρων ἀνέθρεψε τὸν τῆς ἀνωδυνίας καὶ ὑγείας πρᾳότατον κατασκευαστὴν ἥρωα Ἀσκληπιόν, ἥρωα ὄντα καὶ παντοίας νόσου βοηθόν. 5

DEFGQ 11 a. *τέκτονα νωδυνίας*: τὸν κατασκευαστὴν τῆς νω-

BDEFGQ δυνίας· ἰατρὸς γάρ. b. ἡ δὲ ἀνωδυνία γυιαρκής· τότε γὰρ τοῖς μέλεσι τοῦ σώματος ἐπαρκοῦμεν, ὅταν ὦμεν ἀνώδυνοι. 10

BDEFGQ 14. *τὸν μὲν εὐίππου θυγάτηρ*: τὸν Ἀσκληπιὸν οἱ μὲν Ἀρσινόης, οἱ δὲ Κορωνίδος φασὶν εἶναι. Ἀσκληπιάδης δέ φησι τὴν Ἀρσινόην Λευκίππου εἶναι τοῦ Περιήρους, ἧς καὶ Ἀπόλλωνος Ἀσκληπιὸς καὶ θυγάτηρ Ἐριῶπις· [Hes. fr. 107 Rz.] 15

BEFGQ ἡ δ' ἔτεκ' ἐν μεγάροις Ἀσκληπιὸν ὄρχαμον ἀνδρῶν,
Φοίβῳ ὑποδμηθεῖσα, ἐϋπλόκαμόν τ' Ἐριῶπιν.

καὶ Ἀρσινόης ὁμοίως·

Ἀρσινόη δὲ μιγεῖσα Διὸς καὶ Λητοῦς υἱῷ
τίκτ' Ἀσκληπιὸν υἱὸν ἀμύμονά τε κρατερόν τε. 20

καὶ Σωκράτης (FHG IV p. 496) γόνον Ἀρσινόης τὸν Ἀσκληπιὸν

11 cfr. Paus. 2, 26, 7. Apollod. 3, 10, 3, 5

1 φησὶ om. **DG** 3 τοῖς ἀνθρ. **DGQ** 4 l. om. **B** ‖ ὁ νοῦς] ὃς **B** (qui h. sch. cum 7 continuat) **CP** ‖ τε om. **BCDPQ** ‖ καὶ — χείρων om. **CP** 5 ὁ χείρων om. **B** 6 ἥρωα ἀσκλ. — καὶ **DEFG**: ἀσκλ. ἥρωα ὄντα [καὶ] **B** ἥρωα ἀσκλ. ὄντα **Q** ἀσκλ. τὸν ὄντα **CP** 7 βοηθόν] θεραπευτήν **DGQ** 8 sch. 11a om. **BCP** ‖ τέκτονα νωδυνίας **DF**[pc]**G**: τέκτον' ἀνωδυνίας **EF**[ac]? τέκνον ἀνωδ. **Q** 8. 9 νωδυνίας **DF**[1]**G**: ἀνωδ. **EF**[2]**Q** 9 ἡ — γυιαρκής] γυιαρκῆ δὲ τὴν ἀνωδυνίαν φησί **BCP** ἡ γὰρ ἀνωδ. ἀναρκής **Q** 11 θυγάτηρ **BEF**: om. 14 εὐρ[υ]ῶτις **B** (υ legit Mommsen) εὐρυῶπις **CP** ‖ post ἐριῶπις suppl. καὶ ἡσίοδος **b**, καὶ περὶ μὲν οὖν τῆς κορωνίδος ὁ ἡσίοδος οὕτω φησί Markscheffel. Cfr. v. Wilamowitz Isyll. p. 78 16 ἔτεκ' ἐν **BCP**: ἔτεκεν **G** ἔτεκε **EFQ** 17 εὐ[ριῶτ]ιν **B** (ριῶτ legit Mommsen) εὐρυῶπιν **CP** 18 ἀρσινόης corruptum; poetae nomen requiri put. **b** (Ἄσιος Kalkmann) 19 λητοῦς καὶ διὸς **BEP** 20 τίκτ'] τέκετ' **EF** (**B** l. n.) 21 καὶ σωκρ. **GQ**: σωκρ. **BEF** σ. δὲ **CP**

ἀποφαίνει, παῖδα δὲ Κορωνίδος εἰσποίητον. ἐν δὲ τοῖς εἰς Ἡσίοδον ἀναφερομένοις ἔπεσι (fr. 123) φέρεται ταῦτα περὶ τῆς Κορωνίδος·

τῆμος ἄρ' ἦλθε κόραξ, φράσσεν δ' ἄρα ἔργ' ἀΐδηλα,
5 Φοίβῳ ἀκερσεκόμῃ, ὅτ' ἄρ' Ἴσχυς γῆμε Κόρωνιν
Εἰλατίδης Φλεγύαο Διογνήτοιο θύγατρα.

ἐν δὲ τοῖς Ὁμηρικοῖς ὕμνοις (15, 1)·

Ἰητῆρα νόσων Ἀσκληπιὸν ἄρχομ' ἀείδειν,
υἱὸν Ἀπόλλωνος, τὸν ἐγείνατο δῖα Κορωνὶς
10 Δωτίῳ ἐν πεδίῳ, κούρη Φλεγύα βασιλῆος.

Ἀριστείδης δὲ ἐν τῷ περὶ Κνίδου κτίσεως συγγράμματί (FHG IV 324) φησιν οὕτως· Ἀσκληπιὸς Ἀπόλλωνος παῖς καὶ Ἀρσινόης. αὕτη δὲ παρθένος οὖσα ὠνομάζετο Κορωνίς, Λευκίππου δὲ θυγάτηρ ἦν τοῦ Ἀμύκλα τοῦ Λακεδαίμονος· Ἀσκλη-
15 πιοῦ δὲ καὶ Ἠπιόνης Ποδαλείριος καὶ Μαχάων.

15 a. πρὶν τελέσσαι: πρὶν ἐκτελέσαι τὰ κατὰ τὰς ὠδῖνας, πρὶν ἐκτεκεῖν. b. ματροπόλον δὲ τὴν Εἰλείθυιαν, διὰ τὸ περὶ τὰς μητέρας εἱλεῖσθαι ἢ πολεῖσθαι τὰς τῶν γεννωμένων. BEF

20 18 a. εἰς Ἀΐδαο δόμον ἐν θαλάμῳ: σημειοῦνται οἱ ὑπομνηματισάμενοι τὰ δύο κῶλα τὸ χ' παρατιθέντες, ὅτι ἀσυνάρτητά εἰσι. πῶς γάρ φησιν εἰς Ἀΐδαο δόμον, καὶ πάλιν ἐν θαλάμῳ κατέβα; καὶ ἐξηγούμενοι περιττεῦον λαμβάνουσι τὸ ἐν θαλάμῳ. b. ἔστι δὲ τὸ ἑξῆς οὕτως· ὑπὸ χρυσέοις τό- BDEFGQ

---

17 Cornut. p. 73, 8 N.

---

1 δὲ (pr.)] τε BCP ‖ εἰς om. CFQ 4 τῆμος scripsi (cfr. sch. 52[b]): τῇ μὲν codd. (τῷ μὲν P, cj. h) ‖ φράσσεν Beck: φράσσε B φράσεν F φράσε CEGPQ 5 ὅτ' ἄρ'] ὅταν E ‖ γῆμε EFQ: ἔγημε BC(G)P 6 φλέγναο EF φλεγυίαο CP ‖ διογνώτοιο E 10 κοίρη EF ‖ φλεγύα B: φλεγυία CP φλεγύαο FGQ φλεγύραο E 16 πρὶν τελέσσαι] πρὶν τελέσαι EF τὸ δὲ πρ. τελέσσαι ματροπόλῳ ἀντὶ τοῦ B 17 τεκεῖν CP 20 cfr. rec. p. 17 Schn. ‖ l. om., post σημειοῦνται add. δὲ BCP ‖ οἱ om. B 21 χ' (σημεῖον add. E[2] mg.) παρατιθέντες EF: ·χ͡· ·χ͡· παρατ. B τόδε (s. τὸ δὲ) σημεῖον παρατ. χ (s. χ̅) DGQ 22 φησιν CEFP: φασιν DGQ om. B ‖ δόμον] + εἶπε DGQ + φησὶ B 23 ἐν] εἰ EF 24 ἐν om. BCEFP

τόξοις ἐν θαλάμῳ δαμεῖσα εἰς Ἀΐδαο δόμον κατέβα τέχναις Ἀπόλλωνος.

BDEFGQ 18 c. ἐν θαλάμῳ: τὸ σημεῖον, ὅτι τὸ ἐν θαλάμῳ πλεονάζει· ἱκανὸν γὰρ ἦν εἰπεῖν εἰς Ἀΐδαο δόμον κατέβα. καὶ πρὸς τὸ λείπειν τὸν καί σύνδεσμον, ἵν' ᾖ· εἰς δόμον καὶ θά- 5
BEFGQ λαμον κατέβη. d. ἄλλως. πρὶν γεννῆσαι ἐν τῷ θαλάμῳ. e. ἐχαριεντίσατο δὲ εἰπὼν θάλαμον τὸν Ἅιδην.

BDE²GQ 20 a. χόλος δ' οὐκ ἀλίθιος: οὐκ ἄπρακτος. b. τουτέστιν ἡ δὲ ὀργὴ τῶν τοῦ Διὸς παίδων οὐκ ἔστι ματαία, ἀλλὰ δυνατὴ τελειῶσαι. 22[d] DGQ 10

BDEFGQ 22 a. ἀποφλαυρίξασά μιν: ἐξευτελίσασα, ἐκφαυλίσασα τὸν Ἀπόλλωνα. b. αἰτίαν ὑποτίθησι, δι' ἣν ἀνῃρέθη ὑπ' Ἀρτέμιδος κατὰ τὰς Ἀπόλλωνος τέχνας, ὥστε τὸν δέ αἰτιατι-
BEFGQ κὸν παρειλῆφθαι ἀντὶ τοῦ γάρ. 25 D c. ἀποσκυβαλίσασα γὰρ αὐτὸν ταῖς ἁμαρτίαις ταῖς τῶν φρενῶν ἄλλον αἴνησε γάμον· 15 Ἴσχυϊ γὰρ ἐμίχθη· διὸ χαλεπήνας ὁ θεὸς Ἀρτέμιδι συνέταξεν ἀνελεῖν αὐτήν. 25 BGQ

BDEFGQ 22 d. ἀποφλαυρίξασά μιν: ἐπανάληψις τοῦ διηγήματος. ἡ γὰρ δὴ Κορωνὶς ἐκφαυλίσασα τὸν Ἀπόλλωνος γάμον ταῖς τῶν φρενῶν ἁμαρτίαις, ξένον ἐπήνεσε γάμον λάθρα τοῦ 20 πατρὸς, πρότερον τῷ τὰς κόμας ἀτμήτῳ συνελθοῦσα Ἀπόλλωνι καὶ φέρουσα τοῦ θεοῦ τὸ καθαρὸν σπέρμα. 27 B 22[a] DGQ

9 Hes. ἠλίθιον. Bekk. anecd. 262, 5. EM 427, 53. sch. Theocr. 16, 9   11 Hes. ἀποφλαυρίζεσθαι

1 τόξοις BCEFP: ὅπλοις DGQ   3 l. et τὸ σημ. om. B ‖ ὅτι] + δὲ B ‖ post θαλάμῳ ras. 4 litt. B ‖ πλεονάζει] + δῆλον B   4 ἦν] om. EQ ἂν ἦν F   5 πρὸς τὸ λ¯ (h. e. λείπειν?) E: πρὸς τὸ ᾱ F πρὸς τὸν λείπει D πρὸς τὸν λ G πρὸς τὸν λ' Q πρὸς τὸ λῦσαι (λύσαι P)CP πρὶν τοῦ λύσαι B πρόσθες r ‖ τὸν om. Q ‖ ἵν' ᾖ — 6 θάλαμον om. F   8 sch. 20 in mg. add. E al. manu ‖ l.] + γίνεται B om. E² ‖ οὐκ ἄπρακτος om. B   8. 9 τουτέστιν ἡ δὲ ὀργὴ Q: τουτέστιν οὐδὲ ἡ ὀργὴ DE²G ἡ δὲ ὀργὴ φησὶ B   11 l. EF: ἄλλως· ἀποφ. μιν DGQ ἁ δ' ἀποφ. B (aegre legitur) CP ‖ ἐξευτ. — 12 ἀπόλλωνα om. BCEFP   13 τὸν δέ om. Q ‖ αἰτιατικὸν BDGPQ (vix recte): ἀττικῶς E ἀττικὸν F αἰτιολογικὸν? Schroeder   15 αἴνησε γάμον BEF: ᾔνησε γ. GQ γάμον ἐπήνεσεν P   16 ἰσχύϊ etc. fere codd.   17 αὐτὴν ἀνελεῖν BP   18 l. DGQ: φλαυρίξασά μιν EF ἄλλως B   19 γὰρ] δὲ B ‖ κορωνὶς] + φησὶν B   21 ἀτμήτῳ Oxon.: ἀδμήτῳ

25 a. *κρύβδαν πατρός*: τοῦτο πρὸς τὸ προκείμενον συν- **BDEFGQ** απτέον, οὐ πρὸς τὸ ἑξῆς. b. ἄλλως· ἤτοι κρύβδαν πατρὸς καὶ πρότερον μιχθεῖσα τῷ Ἀπόλλωνι, ἢ στικτέον εἰς τὸ πατρός, ἵν' ᾖ τὸ κρύβδαν ἐπὶ τοῦ δευτέρου γάμου. c. ἄλλως· **BEFGQ**
5 εἰ γὰρ ὁ πατὴρ αὐτὴν ἐβεβίαστο συγγενέσθαι τῷ Ἴσχυϊ, συνέγνω ἂν αὐτῇ ὁ Ἀπόλλων. διατί δὲ προυτίμησε τὸν Ἴσχυν τοῦ Ἀπόλλωνος; Ἀκουσίλαός (FHG I p. 103) φησιν, ὡς κατὰ δέος ὑπεροψίας θνητῷ βουληθεῖσα συνεῖναι. 22[d] B

27. *καὶ φέροισα σπέρμα θεοῦ*: ἐμοιχεύθη, φησί, τὸ **BDEFGQ**
10 τοῦ θεοῦ καθαρὸν σπέρμα φέρουσα τὸν Ἀσκληπιόν· ἐπειδὴ ὑπ' Ἀπόλλωνος φθαρεῖσα ἐξ αὐτοῦ εἶχε καθαρὸν τὸν Ἀσκληπιὸν ἀνεπίμικτον θνητοῦ σπορᾶς· ἢ ἐπεὶ παρθένον οὖσαν ἔτι καθαρὰν διεπαρθένευσεν. οὐκ ἔμεινεν οὖν φέρουσα τὸ τοῦ θεοῦ σπέρμα καθαρὸν οὐδὲ τοὺς ἐσομένους ὑμεναίους τοῦ
15 γάμου.

28. *οὐκ ἔμεινεν ἐλθεῖν τράπεζαν*: οὐχ ὑπέμεινε, **BDEFGQ** φησίν, ἡ Κορωνὶς ἐλθεῖν τὴν νυμφιδίαν τράπεζαν, ἀντὶ τοῦ νόμῳ γαμηθῆναι, οὐδὲ τῶν ὑμεναίων τὴν ἠχήν, ὁποῖα μάλιστα αἱ ὁμήλικες παρὰ ταῖς ἑαυτῶν φίλαις φιληδοῦσι ταῖς
20 ἑσπεριναῖς ᾠδαῖς μετεωρίζεσθαι τὴν ψυχὴν καὶ παίζειν. 32[b] F

32 a. *ἑσπερίαις ὑποκουρίζεσθαι ἀοιδαῖς*: ἀντὶ τοῦ **BDEFGQ** παίζειν καὶ χορεύειν. b. ἢ ἀμφοτέρους τοὺς κόρους ὑμνεῖν, τὸν νυμφίον καὶ τὴν νύμφην. 38[c] F c. ἄλλως· τὸ ὑποκουρί- **BEFGQ**

---

21 Bekk. anecd. 47, 31

---

1 l.] τὸ δὲ κρύβαν πατρὸς **B**, om. τοῦτο 2 ἄλλως om. **B CDP** 4 ἄλλως om. **BCFP** 5 ἐβιάσατο **CP** 6 αὐτὴν **EF** 7 ἀγησίλαος **Pr** 7. 8 κατὰ δέος ὑπεροψίας **BP**: κατὰ δέους ὑπεροψία **EF** δέους ὑποψία **GH** δέους ὑπεροψία **Q** 9 l. om. **B** ‖ ἐμοιχεύθη — 10 σπέρμα post 12 σπορᾶς trp. **BCP**, om. φέρουσα τὸν ἀσκλ. 10 ἐπειδὴ] + γὰρ **B** 12 θνητοῦ σπορᾶς **BC**: θνητοῦ σπορᾷ **EF** θνητ(ῇ?) σπορᾷ **D**[cp] **G**[cp] θνητῇ σπορᾷ **Q** ‖ σπορᾶς] cfr. ad 9 ‖ ἔτι] + καὶ **r** 14 τοὺς ἐσ. ὑμ. **DGQ**: τοὺς ὑμ. τοὺς ἐσ. **B** τοὺς ὑμ. **EF** 16 l. **EF**: + ὁ νοῦς **DGQ** om. **B** ‖ οὐχ] οὐ γὰρ **B** 18 νόμ(ῳ) **G** νομίμου **D** νομίμως **Q** 19 φιληδοῦσι **BCEF**: φιλοῦσι **DGQ** 20 μετεωρίζεσθαι **DG**: νεωτερίζεσθαι 21 ἑσπερίαις (**D**)**EGQ**: ἑσπ. τὸ **F** ἔνιοι δὲ τὸ **B** ‖ ὑποκορίζεσθαι **BQ** ὑποκουρίζεσθ' **DG** 22 παίζειν — ἢ om. **B** ‖ ἀμφοτέραις ταῖς κόραις **B**[1] ‖ κούρους **DEG** 23 ἄλλως] ἢ **B** ‖ ὑποκορίζεσθαι **B**(**F**)

ζεσθαι ἀοιδαῖς εἶπε διὰ τὸ τοὺς ὑμνοῦντας ἐπευφημιζομένους
BDEFGQ λέγειν σὺν κόροις τε καὶ κόραις. | Αἰσχύλος Δαναΐσι (fr. 43)·

κἄπειτα δ' εἶσι λαμπρὸν ἡλίου φάος,
ἕως ἐγείρω πρευμενεῖς τοὺς νυμφίους
νόμοισι θέντων σὺν κόροις τε καὶ κόραις ... 5

κἀν τῷ βίῳ εὐκορεῖ ἀντὶ τοῦ κόρους κορώνας παρατρέποντες
ἔνιοί φασιν (PLG[4] III p. 663) ἐκκόρει κόρει κορώνας. 32[a] F
BEF 38 a. αἰσχύνων: ἐξευτελίζων. b. ἔδει εἰπεῖν ὅπερ
φῦλον. νῦν δὲ ὅς εἶπεν, ἵνα ᾖ, ὅς ἀνθρώπων.
EFGQ 38 c. ἐπιχώρια νῦν λέγει τὰ παρόντα· ἔστι δὲ ὅμοιον 10
τῷ (Hes. fr. 219)·

νήπιος, ὃς τὰ ἑτοῖμα λιπὼν ἀνέτοιμα διώκει.

BEFGQ 42. τοιαύτην, φησίν, ἔσχεν ἄτην ἡ Κορωνίς. τὰ γὰρ
ἐπιχώρια ἐάσασα ἐσπούδασε ξένῳ γαμηθῆναι.

---

1 Hes. κουριζόμενος· ὑμεναιούμενος, διὰ τὸ λέγειν γαμουμέναις· σὺν κούροις τε καὶ κόραις· ὅπερ νῦν παρεφθαρμένως ἐκκορεῖν λέγεται. — Ael. h. a. 3, 9

---

2 κόροις **BGQ**: κούροις **EF** ‖ καὶ om. **G** ‖ αἰσχύλος] ἔνιοί φασιν ἐκκόρει κόρει κορώνας. καὶ αἰσχ. **D** ‖ δαναΐσι **DG**: δαναῇσι **B** δαναοῖσι **EFQ**. Q. s. usque ad 7 sensu cassa 3 εἶσι **r**: εἰσὶ (εισι **D**) 4 πρευμενεῖς **r**: προυμενεῖς **DG** προυμμενεῖς **EFQ** προυμέν[..] **B** (2 litt. l. n.) 5 νόμοις **B** ‖ κούροις **EFQ** 6 κἀν — 7 κορώνας om. **D** (cfr. ad 2) ‖ εὐκορεῖ **EFGPQ**: [.]κορει **B** (s. acc.; prima litt. l. n.) ἀκορεῖ **r** ἐκκορεῖν Bergk (recte) ‖ ἀντὶ τοῦ om. **E** ‖ κόρους **EFQ**: κούρους **G** κόρος **BP** κόρας **r** ‖ κορωνᾶς **B** (de acc. ceterorum n. l.) κορωσας **F** ‖ παρατρέποντες] παρατρ. δὲ **B** περιτρ. **EFQ** προτρ. **G** παροτρύνοντες (-τας **P**) δ' **Pr** 7 κόρει **EFGQ**: κόρους **BPr**. Totum locum sic constituit **b**: κἀν τῷ βίῳ προτρέποντες ἔνιοί φασιν· ἐκκόρει, κόρει κορώνην; Pauw (ad Horapoll. 1, 8): κ. τ. β., ἀκορεῖ ἀντὶ τῆς κόρας κορώναν ἔνιοί φασιν· ἐκκόρει, κόρε, κορώναν; Bergk: κ. τ. β. ἐκκορεῖν ἀντὶ τοῦ ὑποκουρίζεσθαι, καὶ κορώνας παροτρύνοντες ἔνιοί φασιν· ἐκκόρει, κόρη κορώνη 8 αἰσχύνων Hoeschel ad Horapoll. 1, 8: αἰσχύνην **B** αἰσχύλ(ος) **EF** 9 νῦν δὲ ὃς **B**: διὸς **EF** 10 ὅμοι **E** ὤμοι **F** 12 ὃς τὰ] ὡς τὸ **Q** ὅστις Gaisford 13 l. null. **F**: ἔσχε τοι ταύταν **BCP** ἄλλως **EGQ** ‖ τοιαύτην] τὴν τοιαύτην **GQ** 14 ἐσπούδαζε **F**?**G** ‖ γαμηθῆναι] + τῷ ἴσχυι ἐλθόντι ἐξ ἀρκαδίας **C**

43a. *καλλιπέπλου λῆμα:* περιφραστικῶς ἡ Κορωνίς. DEFGQ Ὅμηρος (β 409)· ἱερὴ ἲς Τηλεμάχοιο.

43b. *ἐλθόντος γάρ:* ἐλθόντος γὰρ ἀπ' Ἀρκαδίας εὐ- DEFGQ νάσθη ξένου· ὅ ἐστιν ἐν λέκτροις τοῦ ξένου παρεκοιμήθη.
5 46[b] DEFG

46a. *οὐδ' ἔλαθε σκοπόν:* τὸν νοῦν λέγει τοῦ Ἀπόλ- BDEFGQ λωνος. Ἡσίοδος (fr. 123) δὲ τὸν κόρακα, ὅπερ ἐστὶν ἀπί- θανον. 48[a] DEFG

47. *μηλοδόκῳ:* τῇ πολλὰ ὑποδεχομένῃ θύματα. 48[a] B BC

10 46b. *ἐν δ' ἄρα μηλοδόκῳ Πυθῶνι:* ὁ νοῦς· ἐν δὲ BDEFGQ Πυθῶνι ὢν ὁ Ἀπόλλων ἐπήσθετο τῷ ἱερῷ νόῳ τὸ ἁμάρτημα, ὅντινα τὸν νοῦν αὐτοῦ φησιν εἶναι κοινωνὸν ὁ Πίνδαρος διὰ τὴν μαντικήν. 50 B 48[d] E 46[a] DG (48[a] repet. F)

48a. *τόσσαις:* ἀντὶ τοῦ τυχών. ὁ Ἀπόλλων. 49 EF (et BDEFGQ
15 DGQ post 48[a2]) 48[c] Q (et F post 48[a2])

48b. *τὸ δὲ ἄιεν,* ἀντὶ τοῦ ᾔσθετο. Ὅμηρος (Λ 532)· BCQ οἱ δὲ πληγῆς ἀίοντες. 49 B 52[a] Q

48c. *ἡνίκα οὖν ἡ Κορωνὶς τῷ Ἴσχυϊ συνῆλθεν, ἐν Πυ-* BDFGQ θῶνι τυχὼν ὁ Ἀπόλλων ᾔσθετο. d. καλῶς δὲ ὁ Πίνδαρος BDEFGQ
20 τὴν περὶ τὸν κόρακα παρακρουσάμενος ἱστορίαν δι' ἑαυτοῦ φησι τὸν Ἀπόλλωνα κατειληφέναι τὴν Κορωνίδα. 52[b] B 46[a] EF (48[a] repet. DGQ)

---

14 Eust. praef. 21. sch. P IV 43. X 52. 16 sch. Nem. II 22. sch. Δ 343, Λ 532, Ο 252; Ap. soph. 16, 1; EM 43, 3. Suid. Phot. ἀΐειν, Bekk. anecd. 363, 11, Apion (EG 604, 18). Hes. ἀΐεν, ἄϊον

---

1 λῆμα om. DGQ 3 l. DG: + εὐνάς EF om. Q 3. 4 ξένου εὐνάσθη DGQ 4 προεκοιμήθη DG 6 οὐδ'] οὐκ B ‖ τὸν νοῦν λέγει] σκοπὸν λέγει τὸν νοῦν B(C) 7 δὲ om. EF 9 μηλ. δὲ B ‖ θρέμματα ἢ θύμ. C 10 l. (sed μηδοδόκῳ) EF ἐν δ' ἄρα DGQ om. BC ‖ ὁ δὲ νοῦς BC 11 πυθῶνι BEF: τῷ π. CDGQ ‖ ἐπεὶ ᾔσθετο BC ‖ νόῳ DGQ: ναῷ BCEF 12 τὸν om. DGQ ‖ κοι- νῶνα BC 14 sch. 48a bis DGQ, post 46a et 48d; item F, post 46a et 46b ‖ τόσσαις EF[a]: τόσσας (praem. ἄλλως GQ) D[b]G[b]Q[b] πυθῶνι τόσ(σ)α(ι)ς CD[a]F[b]G[a]Q[a] πυθῶνι τόσσ' ἄιε B ‖ ἀντὶ τοῦ τυχών] ἀντιτυχών EF ‖ ὁ ἀπόλλων om. D[a]F[b]G[a]Q[a] 16 τὸ δὲ om. CQ ‖ ᾐσθάνετο C 17 ἀίαντες Q 18 ἡνίκα οὖν] ἵν' ἡ Q

BDEFGQ 49. τὸ δὲ ναοῦ πρὸς τὸ Πυθῶνι, ἵν' ᾖ· τοῦ ἐν Πυθῶνι ναοῦ. 46[b] B

BDEFGQ 50. κοινᾶνι: κοινωνὸς τοῦ Ἀπόλλωνος ὁ νοῦς ἐστιν. διατί; ὅτι οὐχ ὥσπερ ἡμεῖς παρ' ἑτέρου πυθόμενοι παρακολουθοῦμεν τοῖς οὖσιν, οὕτω καὶ ὁ Ἀπόλλων, ἀλλὰ δι' ἑαυτοῦ 5 οἶδεν. 48[c] B

DEFGQ 51 a. γνώμαν: τὴν πρόγνωσιν τὴν περὶ τῆς Κορωνίδος. b. πεπιθών: ἀντὶ τοῦ πεισθεὶς ὑπὸ τοῦ κοινωνοῦ. τούτῳ γὰρ ἀνακοινοῦται καὶ συνδιακρίνει τὰ ὄντα πάντα. 48[b] Q

DEFGQ 52 a. πάντα ἴσαντι νόῳ: ὅτι οὐ παρ' ἑτέρου ἤκουσεν, 10
BDEFGQ ἀλλ' αὐτὸς δι' ἑαυτοῦ ἔγνω. b. ὁ δὲ Ἀρτέμων (FHG IV p. 342) τὸν Πίνδαρον ἐπαινεῖ, ὅτι παρακρουσάμενος τὴν περὶ τὸν κόρακα ἱστορίαν [αὐτὸν δι' ἑαυτοῦ ἐγνωκέναι φησὶ τὸν Ἀπόλλωνα]· ἱστορεῖται γάρ, ὅτι τὴν Ἴσχυος μίξιν ἐδήλωσεν αὐτῷ ὁ κόραξ, παρὸ καὶ δυσχεράναντα ἐπὶ τῇ ἀγγελίᾳ ἀντὶ λευκοῦ μέλανα 15 αὐτὸν ποιῆσαι· τοῦτον δὴ τὸν μῦθον διωσάμενόν φησι τὸν Πίνδαρον τῷ ἑαυτοῦ νῷ καταλαβεῖν τὸν Ἀπόλλωνα τὰ πεπραγμένα τῇ Κορωνίδι· παράλογον γὰρ τὸν ἄλλοις μαντευόμενον αὐτὸν μὴ συμβαλεῖν τὰ κατ' αὐτοῦ δρώμενα. χαίρειν οὖν φράσας τῷ μύθῳ τέλεον ὄντι ληρώδει αὐτόν φησι τὸν 20 Ἀπόλλωνα παρὰ τοῦ νοῦ πυθόμενον ἐπιπέμψαι τὴν Ἄρτεμιν τῇ Κορωνίδι. τὸν δὲ περὶ τὸν κόρακα μῦθόν φησι καὶ Ἡσίοδον μνημονεύοντα λέγειν οὕτως (fr. 123)·

τῆμος ἄρ' ἄγγελος ἦλθε κόραξ ἱερῆς ἀπὸ δαιτός

---

14 Apollod. 3, 10, 3, 6. Hygin. fab. CCII. Ov. met. II 335 sqq.

---

1 sq. ναῷ et τῷ ... ναῷ Hartung 3 κοινᾶνι DGQ: ἄλλως B κ. παρ' εὐθυτάτῳ EF ‖ κοινὼν B 4 ὅτι] δὲ E δὲ ὅτι Q 7 γνώμαν EF: γνώμαν πεπιθὼν D γνώμᾳ π. Q 8 πεπιθών] + δὲ DGQ ‖ κοινωνοῦ] κοινοῦ νοῦ P κοινοῦ αὐτοῦ νοῦ r κοινωνοῦ αὐτοῦ νοῦ b 9 πάντα] ἅπαντα EF 11 ἄλλως· ἐπαινεῖ τὸν π. ὁ ἀρτ. BC 13 αὐτὸν — ἀπόλλωνα om. DEFGQ; seclusi 15 ἀγγελίᾳ] + τὸν ἀπόλλωνα CP 16 διωσάμενός φησιν ὁ πίνδαρος scribend. vid. 18 τὸν] τοῖς DGQ 19 συλλαβεῖν DGQ 20 τῷ] + τοιούτῳ CP ‖ τελέῳ DG τελέως Q 22 τοῦ et μύθου DGQ ‖ φησι] φασι B 24 τῆμος DEFGQ[pc]: τῇ μὲν CPQ[ac]? τῇ s. τῷ μὲν B τῷ μὲν r. Cfr. sch. 14 ‖ ἀπὸ δαιτὸς ἱερῆς B

Πυθὼ ἐς ἠγαθέην, καί ῥ' ἔφρασεν ἔργ' ἀΐδηλα
Φοίβῳ ἀκερσεκόμῃ, ὅτι Ἴσχυς γῆμε Κόρωνιν
Εἰλατίδης, Φλεγύαο Διογνήτοιο θύγατρα.

53 a. *ψευδέων δ' οὐχ ἅπτεται*: [*ψευδῶν δ' οὐχ* BDEFGQ
5 *ἅπτεται*] *ὁ τοῦ Ἀπόλλωνος νοῦς.* b. *ὃ ἐστιν οὐδέποτε ψευ-* BEFGQ
δῶν ἐφάπτεται λόγων.

53 c. *κλέπτει τέ μιν οὐ θεός*: *τὸν νοῦν τοῦ Ἀπόλ-* BDEFGQ
λωνος, ὃν οὐδεὶς παραλογίζεται οὔτε θεὸς οὔτε ἄνθρωπος οὔτε
ἔργοις οὔτε βουλαῖς. οὐκ ἄρα κόραξ εἶπεν ἀλλ' ὁ νοῦς, καθὸ
10 *μαντικὸς καὶ ἀπαραλόγιστος.*

55. *καὶ τότε γνοὺς Ἴσχυος*: *τότε μαθὼν ὁ Ἀπόλλων* BDEFGQ
τοῦ Ἴσχυος τοῦ Ἐλάτου παιδὸς τὴν ξένην κοίτην καὶ τὴν
ἄδικον κακουργίαν, ἔπεμψε τὴν ἀδελφὴν Ἄρτεμιν τὴν ἀκα-
ταμαχήτῳ δυνάμει ὁρμῶσαν, εἰς τὴν Λακέρειαν. ἡ δὲ Λα-
15 *κέρεια πόλις Θεσσαλίας.* 60 B

56. *ξενίαν κοίταν*· *ἢ τὴν μετὰ φιλίας γενομένην ἢ* DEFGQ
τὴν λαθραίαν, ἀπὸ τοῦ ξένου.

59. *ἐς Λακέρειαν*: *ὅτι ἐν Λακερείᾳ ᾤκει Κορωνίς, Φε-* BDEFGQ
ρεκύδης ἐν α' (FHG I p. 71) *ἱστορεῖ, πρὸς ταῖς πηγαῖς τοῦ*
20 *Ἀμύρου· καὶ περὶ τοῦ κόρακος διηγεῖται, καὶ ὅτι Ἄρτεμιν*
ἔπεμψεν ὁ Ἀπόλλων, ἣ πολλὰς ἅμα γυναῖκας ἀπέκτεινεν,
Ἴσχυν δὲ Ἀπόλλων ἀποκτείνει, τὸν δὲ Ἀσκληπιὸν δίδωσι
Χείρωνι. ἡ δὲ Βοιβιὰς καὶ Νεσσωνὶς ἐλέγετο, ὥσπερ Ἀρχῖνος

---

18 cfr. Ap. Rh. 4, 614 sq. 23 sch. Eur. Alc. 590

---

1 *καί ῥ' ἔφρασεν* BEQ: *κερ' ἔφησεν* D *κέρ' ἔφασεν* F *κέρε' ἔφασεν* G 2 *ἀκειρεκόμῃ* E ‖ *ὅτι*] *ὅττ'* B[pc] ‖ *κορώνην* B[ac]D 3 *εἰλατίδος* EF ‖ *φλεγύα* B ‖ *θυγάτραν* DGQ 4 l. BE(F)Q: *ψευδέων* DG ‖ *ψευδῶν* — 5 *ἅπτεται* om. B; seclusi 5 *ὃ ἐστιν* om. B ‖ *ψευδῶν* — 6 *λόγων* B(C)EF: *ψεύδεται* GQ 7 l. EF: *κλέπτει τέ μιν* DGQ *ἄλλως* B ‖ *νοῦν*] + *φησι* B ‖ *τοῦ*] *τὸν* EQ[ac] 11 *ἴσχυος* om. DGQ ‖ *τότε*] *τότε φησὶ* B *ὁ νοῦς· τότε* E 13 *τὴν* (alt.) DQ: *τῇ* BEFG 14 *ἡ δὲ λακ.*] *λακ. δὲ* B 18 l. om., *δὲ* post *ὅτι* add. B ‖ *ἡ κορ. ἐν λακ. ᾤκει* B 22 *τὸν* — 23 *χείρωνι* om. D 23 *νεσσωνὶς* DEFGQ: *κορωνὶς* BCP *κορωνὶς ἢ κατ' ἐνίους νεσωνὶς* Γ

(FHG IV p. 317) *ἐν Θεσσαλικοῖς· Βοιβιὰς δὲ ἐκλήθη ἀπὸ μιᾶς τῶν νυμφῶν Βοιβηΐδος.* 62 B

BDEFGQ 60 a. *κρημνοῖσι: ταῖς ὄχθαις.* b. *ἐπειδὴ ἡ παρθένος ᾤκει [Κορωνὶς] παρὰ ταῖς ὄχθαις τῆς Βοιβιάδος λίμνης.*

DGQ | *αὕτη δὲ παράκειται τῇ Λακερείᾳ.* 59 B 5

BDEFGQ 62 a. *δαίμων δ' ἕτερος: ὁ κακοποιός, ὡς πρὸς τὸν ἀγαθόν.* b. *ὁ δὲ κακοποιὸς δαίμων εἰς τὴν τῆς μοιχείας κακουργίαν τρέψας τὴν Κορωνίδα, καὶ ἀναιρεθῆναι αὐτὴν παρεσκεύασε. Καλλίμαχός φησιν* (fr. 91)·

οὐ πάντες, ἀλλ' οὓς ἔσχεν ὥτερος δαίμων. 10

BDEFGQ 64 a. *καὶ γειτόνων πολλοί: τῆς τοῦ Ἀπόλλωνος ....* b. *πολλοί, φησί, τῶν γειτόνων ἀπήλαυσαν τοῦ κακοῦ τοῦ περὶ τὴν Κορωνίδα· λοιμὸς γὰρ ἐγένετο, αἴτιοι δὲ τῶν λοι-*

BEFGQ *μῶν Ἀπόλλων καὶ Ἄρτεμις.* | *λοιμοῦ οὖν γενομένου συναπήλαυσαν οἱ μηδὲν αἴτιοι. Ἡσίοδος* (O. D. 240)· 15

πολλάκι καὶ ξύμπασα πόλις κακοῦ ἀνδρὸς ἀπηύρα.

BDEFGQ 65. *ἀμᾶ: Ἡρωδιανὸς ἐν τῷ ιθ' οὕτω φησί· Δωριεῖς περισπῶσι τὸ παντᾶ, ὥσπερ καὶ τὸ κρυφᾶ παρὰ Πινδάρῳ* (O. I 47). *τοιοῦτον δέ ἐστι καὶ τὸ ἀμᾶ περισπώμενον*

---

6 EM 72, 41. sch. Soph. Phil. 503 17 sch. O. I 75^b. Herodian. I 489, 17

---

1 *βοιβιὶς* **EF** ‖ *μιᾶς*] *βοιᾶς* (-*ὰς* **E**) **EF** 2 *βοιβιίδος* **EF** *βοιβιάδος* **BCP** 3 *κρημνοῖσι* **DGQ**: *κρημνοῖσιν ᾤκει* **EF** *κρημνοῖς δὲ ἀντὶ τοῦ* **B** 4 *ᾤκει κορ.* **EFGQ** *κορ. ᾤκει* **BD**. Seclusi *κορωνὶς* 7 *ἀγαθόν*] *ἀγαθοποιόν* **B** ‖ sch. 62 b praem. *ὁ δὲ νοῦς* **BCP**, *οἷον* **GQ** ‖ *πορνείας* **Q** 10 *ὤτερος* **D** (cfr. Dindorf Thes. Par. III p. 2141 A): *ᾥτερος* **G** *ἅτερος* **BCP** (Bentley) *ἕτερος* **FQ** *ἑτέρους* **E** *οὔτερος* Schneider 11 l. **BEF**: *καὶ γειτόνων* **GQ** om. **D** ‖ *τῆς τοῦ ἀπ.* om. **BCP** *τῆς τοῦ* om. **D**. Excidisse vid. *ὀργῆς* 12 *φησὶ πολλοὶ* **E**^ac ‖ *τῶν γειτ. ἀπήλαυσαν*] *ἀπήλ. τῶν γειτ.* **B** *τῶν πολλῶν ἀπήλ.* **DEFGQ** 12. 13 *τῶν κακῶν τῶν* **Q**^i 13 *τοῦ* om. **DEFG** 15 *ἀπήλαυσαν* **GQ** ‖ *ἡσίοδος* **r**: *καὶ ἡσ.* **E** *ὅμηρος* **GQ** *καὶ ὅμηρος* **CFP** om. **B** 16 *πολλάκις* **B** ‖ *σύμπασα* **B** ‖ *ἀπηῦρα* **BCEP** *ἐπηῦρεν* Thiersch ‖ *ἀπηύρα*] + *ὅστις ἀλιταίνει καὶ ἀτάσθαλα μηχανάαται* **E** 17 *ἀμᾶ*] *ἀμᾶ δ' ἔφθαρε(ν)* **EF** ‖ *ἡρωδ. — φησί*] *τὸ δὲ ἀμᾶ ὡς ἡρ. φησιν ἐν τῷ ιθ'* **B(C)** ‖ *τῷ* codd.: *τῇ* **r** 18 *τὸ* (pr.)] *καὶ τὸ* **B** ‖ *καὶ* om. **B**

[ἐκ τοῦ ἀμῇ γενόμενον]. ζητεῖται δὲ εἰ τῷ περισπωμένῳ τῷ ἀμᾶ προστεθήσεται τὸ ι.

66 a. πολλὰν δ' ἐν ὄρει πῦρ ἐξ ἑνός: τὸ ὡς λείπει, **BDEFGQ** καὶ περιττεύει ὁ τέ. ἔστι γάρ· ὥσπερ δὲ πῦρ ἐμπεσὸν ὕλην
5 πολλὴν φθείρει, οὕτω τὸ ἁμάρτημα τῆς Κορωνίδος πολλοὺς ἔφθειρεν. b. ἄλλως· ὥσπερ ἐάν τις εἰς ὕλην πολλὴν σπιν- **BEFGQ** θῆρα βάλῃ, οὐ μόνον ἐκεῖνο τὸ μέρος εἰς ὃ βέβληται κατακαίεται, ἀλλὰ καὶ πᾶσα ἡ ὕλη συγκαίεται, οὕτω θανάτου βληθέντος εἰς τὴν Κορωνίδα ἀπ' Ἀρτέμιδος καὶ λοιμικοῦ πάθους
10 κατασκήψαντος, πολλοὶ τῶν γειτόνων ἀπώλοντο. | καὶ Εὐρι- **BDEFGQ** πίδης (fr. 411)·

μικροῦ γὰρ ἐκ λαμπτῆρος Ἰδαῖον λέπας
πρήσειεν ἄν τις.

68. τείχει ξυλίνῳ: τῇ πυρκαϊᾷ, ἐφ' ἧς ἐτέθη τὸ σῶμα **BDEFGQ**
15 τῆς Κορωνίδος εἰς ἀφανισμόν.

70. τότε εἶπεν Ἀπόλλων: ἐπεὶ δὲ ἐξήφθη ἡ πυρά, **BDEFGQ** εἶπεν Ἀπόλλων· οὐκέτι ὑπομενῶ τὸ ἐμὸν σπέρμα ἰδεῖν συναπολλύμενον τῇ Κορωνίδι.

75. βάματι δ' ἐν πρώτῳ: ἐὰν μὲν γράφηται ἐν πρώ- **BDEFGQ**
20 τῳ, ὡς νῦν γέγραπται, ἔσται ἑνὶ βήματι ὁ Ἀπόλλων ἀπὸ τῆς

---

19 sch. *N* 20 (ὑπερφυῶς τοσαύτην θάλασσαν καὶ ἔθνη τρισὶ βήμασι παρῆλθεν. ὑπερβαλέσθαι δὲ τοῦτο θελήσας Πίνδαρος εἰς ὑπόνοιαν ἧκε ψεύδους· βάματι δ' ἐν πρώτῳ κτλ.). Eust. ibid., p. 917, 30.

---

1 ἐκ — γενόμενον **BC**: om. **DEFGQ**; seclusi ‖ εἰ **EFGQ**: ἐν **BC** καὶ **D** 1. 2 τῷ ἀμᾶ] ἀμᾶ εἰ **BC** 3 l. **EF**: + σπέρματος **B** πολλὰν (πολλὰ **DQ**) δ' ἐν ὄρει **DGQ** ‖ τὸ ὡς λείπει **DEFG**: λείπει τὸ ὡς **BC** λείπει τὸ ὡς λέγουσι καὶ **Q** 4 τέ] δέ **DGQ** 5 φθείρει **BEF**: φλέγει **DGQ** ‖ τῆς κορ. τὸ ἁμάρτ. **DGQ** 6 ἐὰν] γὰρ εἰ **BC** 7 καταβέβλ. **GQ** 7. 8 κατακαίεται] φλέγεται **Q** 9 ἀπ'] ἀπὸ **B** ὑπὸ **Γ** 10 ἀπέθανον **GQ** ‖ καὶ ὁ εὐρ. **DFGQ** 12 λέπας Stob. flor. 41, Plut. de garr. 10: σέλας codd. 14 l. **EF**: ἐν ξυλίνῳ τείχει **DGQ** ἀλλ' ἐπεὶ τείχει θέσαν ἐν ξυλίνῳ **B(C)** ‖ πυρκαιᾷ] + δηλονότι **BC** ‖ ἐφ' ἧς **BCQ**: ἐφ' ἣ **EF** ἀφ' ἧς **G** ἀφ' οὗ **D** 16 l. **EF**: τότε εἶπεν **DGQ** om. **B** ‖ ἐπεὶ δὲ] ἐπειδὴ **EF** ‖ ἐξήφθη] + φησὶν **B** 17 εἶπεν ἀπ. om. **F** ‖ ὑπομένω **B** 19 l. **BEF**: βάματι δέ **D** β. δ' ἐν **GQ** 20 ἔσται] ἐν **B** ‖ ὁ ἀπόλλων — 74, 2 βάματι om. **DG** 20sq. ἀπὸ τῆς π. ἐληλυθὼς **CEF**: ἐλθὼν ἀπὸ τοῦ π. **B** ἀπὸ τοῦ π. ἐλθὼν **Q**

Πυθῶνος ἐληλυθὼς εἰς τὴν Θεσσαλίαν· ἐὰν δέ, ὡς ἔν τισι, βάματι δ' ἐν τριτάτῳ, ἔσται παραφράζων τὸ τρὶς μὲν ὀρέξατ' ἰών (*N* 20). *ἔστι δὲ σεμνότερον καὶ πρέπον τῷ θεῷ τὸ ἅμα τῷ πρώτῳ βήματι ῥύσασθαι τὸν παῖδα, ἔστι δὲ καὶ πρὸς τὴν ἀντίστροφον σύμφωνον. ὁ μέντοι Ἀρίσταρχος γράφει τριτάτῳ.* 5

BDEFGQ 78. *διέφαινεν: οὐ λέγει, ὅτι διαφανὴς ἐγένετο καὶ λαμπρά, ἀλλ' ὅτι ἡ φύσις τοῦ πυρὸς οἷον διεσχίσθη· οἷον διάστημα τοῦ πυρὸς ἐγενήθη, ἕως ἂν ἐπιβὰς ὁ Ἀπόλλων ἀνέληται τὸν παῖδα.*

BDEFGQ 79. *καί ῥά μιν: καὶ δὴ τὸν ἑαυτοῦ παῖδα Ἀπόλλων* 10 *ἐνεχείρισεν τῷ Κενταύρῳ τῷ Θεσσαλῷ ἀναδιδάσκειν τὰς πολλῶν πημάτων αἰτίας τοῖς ἀνθρώποις νόσους θεραπεύειν.*

BDEFGQ 83 a. *τοὺς μὲν ὦν ὅσσοι μόλον: τούτους μὲν οὖν, ὅσοι παρεγένοντο ἑλκῶν κοινωνοί, ἢ τῷ λαμπρῷ σιδήρῳ τὰ μέλη τετρωμένοι, ἢ χειροπληθεῖ λίθῳ μακρόθεν βεβλημένῳ (ἀπὸ* 15 *κοινοῦ δὲ τὸ μέλη τετρωμένοι), ἢ τῷ θερμαντικῷ πορθούμενοι καὶ κατακαιόμενοι τὸ σῶμα, ἢ φρίκῃ ἢ ῥίγει, ἀπολύσας ἄλλον ἀλλοίων λυπῶν ἐξήγαγεν· ὅ ἐστι τῶν νόσων.*

(B)DEFGQ 83 b. *αὐτοφύτων: τῶν φυμάτων· ταῦτα γὰρ αὐτόφυτα ἕλκη, ὡς ἂν οὐκ ὑπ' ἄλλων ἐπακτὰ ὄντα, ἀλλ' αὐτόματα γι-* 20 *νόμενα.*

DEFGQ 84. *πολιῷ χαλκῷ τετρωμένοι: τραυματίαι σιδήρῳ· ἢ τραύματα εἰληφότες διὰ χαλκοῦ.*

---

1 *θετταλίαν* **CEF** 2 *βήματι* **BQ** ‖ *τρίτῳ* **EF** ‖ *περιφράζων* **FQ** ‖ *τὸ* **B**: om. 2. 3 *ὀρέξατ' ἰών* **BC(D)G**: *ὄρεξ' ἀπών* **EF** *ὄρεξ' ἀπιών* **Q** 3 *τῷ*] *ἐπὶ τῷ* **EF** 6 l. **CDEF**: *διέφηνεν* **GQ** *καιομένα δ' αὐτῷ διέφαινε πυρά* **B** 7 *φάσις* Schroeder ‖ *οἷον* (pr.) om. **Q** ‖ *διεχύθη* **Q** ‖ *οἷον* (alt.)] *καὶ* **BD** 7. 8 *διάστημα — ἐγενήθη*] *γενηθὲν διάστημα* **D** 10 l.] + *μάγνητι φέρων πόρε κενταύρῳ* **B** ‖ *ἑαυτοῦ* **B**: *αὐτοῦ* 13 *ὅσσοι μόλον* om. **DGQ** 14 *ἑλκῶν*] *τῶν φυμάτων* **B** ‖ post *κοινωνοί* inser. sch. 83 b *ταῦτα γὰρ — γινόμενα* **B** 14. 15 *τὰ μέλη* om. **DG** 15 *ἢ* — 16 *τετρωμένοι* hic om. **CDEFGQ**; cfr. sch. 86 ‖ *βεβλημένοι* **BF** 16 *τὸ*] *τὰ* **B** ‖ *θερμαντικῷ*] + *πυρετῷ* **CP** 17 *σῶμα*] + *πυρὶ ἤτοι πυρετῷ* **B** (ex sch. 87) ‖ *φρίκῃ* **B**: *φρίκει* ‖ *ῥίγει*] + *ἤτοι ῥιγοπυρέτῳ* **B** (ex sch. 89) 18 *ἄλλον*] *ἄλλων* **CEF** ‖ *λυπῶν*] *θλίψεων* **P** *λ. καὶ θλ.* **r** ‖ *ὅ ἐστι* om. **D** ‖ *τῶν* om. **GQ** 19 de **B** cfr. ad 14 22 l. **EF**: *πολιῷ* **DGQ** ‖ *τραυματία* **E** (sine acc.) **F**

86. *χερμάδι*: χειροπληθεῖ λίθῳ μακρόθεν βεβλημένῳ. (B)DEFGQ ἀπὸ κοινοῦ δὲ τὸ μέλη τετρωμένοι.

87. *ἢ θερινῷ πυρί*: τῷ θερμαντικῷ ἢ τῷ πυρετῷ ἐκ- DEFGQ πορθούμενοι τὸ σῶμα.

5 89. *χειμῶνι*: τῷ ῥίγει καθόλου. τῷ ῥιγοπυρέτῳ. DEFGQ

91. *ἔξαγεν, τοὺς μὲν μαλακαῖς*: καὶ τοὺς μὲν προση- BDEFGQ νέσιν ᾠδαῖς θεραπεύων, τοὺς δὲ προσηνῆ φάρμακα πίνοντας, ἢ τοῖς μέλεσιν αὐτῶν περιάπτων τινὰ πρὸς θεραπείαν, τοὺς δὲ τομαῖς καὶ χειρουργίαις ταῖς διὰ σιδήρου ἀνέστησεν ὀρθοὺς 10 καὶ ὑγιεῖς ἀπέδειξεν. ὅτι δὲ ἀρχαία ἦν καὶ δι' ἐπῳδῆς ἡ ἰατρική, καὶ οὐ μόνον ἡ διὰ φαρμάκων καὶ διαίτης, φησὶ καὶ Ὅμηρος (τ 457)· ἐπαοιδῇ δ' αἷμα κελαινὸν ἔσχεθον.

96. *ἀλλὰ κέρδει*: ἀλλὰ καὶ ἡ σοφία κέρδει δέδεται καὶ BDEGQ ἥττηται. μετέστρεψε γὰρ καὶ τὸν θεὸν, φησὶ δὲ τὸν Ἀσκλη- 15 πιόν, τῷ πλείονι μισθῷ ὁ χρυσὸς ἐν ταῖς χερσὶ φανείς, ὥστε ἄνδρα ἐκ θανάτου ἀναγαγεῖν ἤδη τῷ μοιριδίῳ ληφθέντα. λέγεται δὲ ὁ Ἀσκληπιὸς χρυσῷ δελεασθεὶς ἀναστῆσαι Ἱππόλυτον τεθνηκότα· οἱ δὲ Τυνδάρεων, ἕτεροι Καπανέα, | οἱ δὲ BEGQ Γλαῦκον, οἱ δὲ Ὀρφικοὶ (fr. 256 Ab.) Ὑμέναιον, Στησίχορος 20 δὲ (fr. 16) ἐπὶ Καπανεῖ καὶ Λυκούργῳ· οἱ δὲ διὰ τὸ τὰς

---

1 Hes. χερμάς, χερμαδίῳ. Suid. χερμαδίῳ. EM 808, 49. Eust. ad Θ 321, p. 715, 39, al. 10 sch. N. VIII 82. sch. τ 457. Eust. ibid., p. 1872, 41 17—76, 3 sch. Eur. Alc. 1 Apollod. 3, 10, 3, 10. Sext. Emp. adv. math. 1, 261. Philodem. de piet. 17, 34

---

1 δε **B** cfr. ad 74, 15 ‖ βεβλημένοι **B** (sch. 83a) **F** 2 τὸ] τὰ **B** (sch. 83a) 3 ἢ **EF**: ἤτοι **DGQ** 5 τῷ ῥίγει καθόλου om. **EF** 6 l. **DE(F)GQ**: τοὺς μὲν μ. ἐπαοιδαῖς ἀμφέπων **B** 8 τινὰ περιάπτων **B** 10. 11 ἡ δι' ἐπῳδῆς ἰατρικὴ **B** 11 ἡ] οὐ **EF** ‖ καὶ διαίτης om. **Q** ‖ καὶ (tert.) om. **CEFP** 12 ἔσχεθον codd. Hom., sch. N. VIII 82: ἔσχεθεν ‖ *a sch. 96* **F** *cum* **DGQ** *facit; mox non notatur* 13 l.] + καὶ σοφία δέδεται **B** ‖ καὶ (pr.) om. **E** ‖ σοφία] + φησὶ **B** ‖ δέδεται **CFG**: δέεται s. δέται **E** δέχεται **D** δέδεκται **Q** δεδούλωται **B** 14 γὰρ **BE**: δὲ **DFGQ** ‖ δὲ **BFGQ**[pc]: καὶ **E** δὲ καὶ **CDQ**[ac] 15 μισθῷ **BCE**: χρυσᾷ **F** χρυσῷ :· ἄλλως **DGQ** ‖ φανεὶς] + πέπεικεν **DFGQ** 16 ἐκ τοῦ θανάτου **BQ** ‖ ἀγαγεῖν **DG** ‖ μοιριδίῳ] + μίτῳ **DFGQ** (ft. recte) 17 δὲ **BE**: γὰρ **DFGQ** 18 τυνδάρεω **E** 19 γλαῦκον] διὰ γλ. **E** 20 σκαπανεῖ **E** ‖ ἐπὶ — λυκούργῳ tuetur sch. Eur. ‖ τὸ om. **FG** ‖ τὰς **BCE**: τοὺς **FGQ**

Προιτίδας ἰάσασθαι, οἱ δὲ διὰ τὸ τὸν Ὠρίωνα· Φύλαρχος (FHG I p. 336) *ὅτι τοὺς Φινείδας ἰάσατο, Φερεκύδης* (FHG I p. 72) *δὲ ὅτι τοὺς ἐν Δελφοῖς θνήσκοντας ἀναβιοῦν ἐποίησεν.*

(B)DEGQ 100. *χερσὶ δ' ἄρα: προσυπακουστέον δὴ τῷ ῥίψαις τὸν κεραυνόν. τοῦτον ῥίψας δι' ἀμφοτέρων, τοῦ τε Ἀσκληπιοῦ* 5 *καὶ τοῦ ἀνισταμένου ἀπὸ τοῦ θανάτου, ἀνεῖλεν αὐτούς.*

BDEGQ 102 a. *ῥίψαις δι' ἀμφοῖν: οἷον, οὕτω περίθυμος ἐγένετο ὁ Ζεύς, ὥστε ἐνσκῆψαι βέλος διαμπὰξ δι' ἀμφοτέρων τῶν μαστῶν ἢ τῶν πλευρῶν.* b. *δι' αὐτοῦ τε τοῦ Ἀσκληπιοῦ καὶ τοῦ ἰατρευθέντος, ὥστε καὶ τὸν Ἀσκληπιὸν ἀνῃρῆ-* 10 *σθαι καὶ τὸν ἀναβεβιωκότα. ὁ δὲ Κράτης τὸν Ἀσκληπιόν φησι καὶ τὸν διδάξαντα αὐτὸν Χείρωνα. οὐδεὶς δὲ τοῦτο μαρτυρεῖ.*

DEGQ 104. *αἴθων κεραυνός: ὁ διάπυρος κεραυνὸς ἐνεστήριξεν ἀμφοτέροις τὸν θάνατον.* 15

BDEGQ 106. *χρὴ τὰ ἐοικότα: πρέπει τὰ ἀρέσκοντα τοῖς θεοῖς καὶ τὰ πρέποντα, ἢ τὰ ἁρμόζοντα τοῖς ἀνθρώποις, ἐκεῖνα παρὰ θεῶν ζητεῖν γινώσκοντα τὰς παρὰ πόδας ὁποίας ἔχομεν μοίρας· οἷον τὸ ἐνεστώς, τὰ καθεστῶτα, οἵαν μοῖραν εἰλήχαμεν. ὅμοιον τῷ Χίλωνος ἀποφθέγματι τῷ Γνῶθι σαυτόν.* 20 *τὸ δὲ ὅλον, ὅτι θνητοὶ πεφύκαμεν.*

---

1 *προντίδας* E ‖ *τὸ* om. EFGQ ‖ *φύλαρχος*] + *δὲ* FG *φίλ.* CQ 2 *τοὺς*] *τὰς* B ‖ *φοινίδας* Q 3 *ἐποίει* B (ft. recte) 4 cfr. Thom. p. 18 Schn. ‖ sch. 100 et 102 in un. conflavit B (cfr. ad 9) ‖ l. DGQ: *χερσὶ ῥίψας* E ‖ *δὴ*] *δεῖ* Q (*προσυπακοῦσαι δεῖ* B 9 ft. recte) ‖ *ῥίψαις* B (9) C: *ῥίψας* 5 *τοῦτον*] + *οὖν* DGQ 6 *ἐνισταμένου* E ‖ *τοῦ* (alt.) om. DG s. v. add. B (9) 7 l. (sed *ῥίψας*) DEGQ: *χερσὶ δ' ἄρα κρονίων ῥίψαις* B ‖ *δι'*] *δ'* CEQ 8 *ἐνισκίμψαι* E 9 *δι' αὐτοῦ* — 10 *ἰατρευθέντος*] *τῷ γὰρ ῥίψαις προσυπακοῦσαι δεῖ τὸν κεραυνόν. τοῦτον ῥίψας — ἀνεῖλεν αὐτούς* (5 sq.) B (cfr. ad 4) ‖ sch. 102b seiunxi; ⟨*ἢ*⟩ *δι' αὐτοῦ* h ‖ *τε τοῦ*] *τοῦ τε* E 11 *κράτης*] *σωκράτης* C (Valckenaer ad Eur. Phoen. sch. 45), recep. b (perperam) 12. 13 *τοῦτο μαρτυρεῖ* E: *τούτῳ συμμαρτυρεῖ* DGQ *τούτῳ μαρτυρεῖ* BC 14 *διάπυρος* DGQ: *δὲ διάπυρος* E *δὲ ἄπυρος* b 14. 15 *ἀνεστήριξεν* E .... (lac.) *ἐν* D 16 l.] + *πὰρ δαιμόνων* B ‖ *ἀρέσκοντα* — 17 *ἢ τὰ* B: om. 17 *τὰ τοῖς ἁ. ἁρμ.* DFGQ ‖ *ἐκεῖνα* om. DFGQ 18 *γινώσκοντα* BCEF: *γινώσκοντ(α?)* D[cp]G[cp] *γινώσκοντας* Q ‖ *τὰ παρὰ ποδὸς* Hartung 19 *οἵαν* — *εἰλήχαμεν* om. D 19. 20 *εἰλήχαμεν* B: *εἰλήφαμεν* 20 *τῷ* (alt.) GQ: om. D *τὸ* E (B l. n.)

109. *μὴ φίλα ψυχά*: ὁ λόγος πρὸς ἑαυτόν· μηδαμῶς **BDEGQ** δέ, ὦ προσφιλεστάτη ψυχή, θνητὴ τυγχάνουσα ἐπ' ἀθάνατον σπεῦδε βίον, ἀλλὰ μᾶλλον ἐπιζήτει μηχανήν, ἣν καὶ καταπράξασθαι δύνασαι. 111 **E**

5 110 a. *τὰν δ' ἔμπρακτον*: οἷον, τοιούτοις ἐπιχείρει ἃ **BDEGQ** δύναται πραχθῆναι. τοῦτο γὰρ σημαίνει τὸ ἔμπρακτον.
b. ἣν δέον ἐστὶ πρᾶξιν ἀνύειν, ταύτην διαπράττου. πρὸς δὲ τὸ ἄντλει καὶ τὴν μηχανὴν ἐπήγαγεν. 112 **E**

111 a. *εἰ δὲ σώφρων*: ἀνέδραμε πάλιν εἰς τὴν ἀρχὴν **BDEGQ**
10 τοῦ ἐπινίκου. τοῦτο γὰρ ἐκείνῳ προσαπτέον "Ηθελον Χείρωνά κε Φιλλυρίδαν· καὶ μετὰ τὴν διάνοιαν ἐκείνην τὴν εὐκτικὴν εἰκότως προσάψομεν. b. ἄλλως· ἐπανέλαβε τὰ ἐν ἀρχῇ ῥηθέντα, "Ηθελον Χείρωνά κε Φιλλυρίδαν, ἐπεὶ πολλά ἐστι τὰ διὰ μέσου ῥηθέντα. εἰ οὖν ὁ σώφρων Χείρων ἐκεῖνος ἄντρον
15 ἔναιεν ἔτι, καὶ ἐκήλησα ἂν αὐτὸν καὶ ἐφιλοτιμησάμην ταῖς ἐμαῖς ᾠδαῖς, καὶ ἔπεισα ἂν αὐτὸν ἰατρὸν ὄντα παρασχεῖν τῷ Ἱέρωνι τῶν καυστικῶν νόσων ἀπόλυσίν τινα. διάπυροι γὰρ αἱ νόσοι. 110 **E** 117 **B**

112 a. *καί τί οἱ*: καί τι αὐτῷ φίλτρον καὶ ἡδονὴν ἐν **(B)DEG**
20 τῇ ψυχῇ ἐποίουν οἱ ἐμοὶ ὕμνοι. b. ὁ δὲ νοῦς· εἰ δὲ ὁ σώφρων καὶ ὁ συνετώτατος κατὰ τὸ Πήλιον ἔτι ᾤκει ἄντρον Χείρων, | καί τι αὐτῷ φίλτρον καὶ ἡδονὴν οἱ ἐμοὶ ἡδύφωνοι **BDEGQ** ὕμνοι ἐτίθεσαν, ἰατρὸν ἂν αὐτὸν καὶ ἐπὶ τοῦ παρόντος τοῖς ἀγαθοῖς ἀνδράσιν ἔπεισα παρασχεῖν, ἤτοι τοῦ τῆς Λητοῦς
25 παιδὸς Ἀπόλλωνος κεκλημένον υἱόν· φησὶ δὲ τὸν Ἀσκληπιόν· ἢ τοῦ Διός, καὶ ἀπὸ κοινοῦ κεκλημένον, αὐτὸν τὸν Ἀπόλλωνα. 120ᵇ **B**

---

1 l.] + *βίον ἀθάνατον σπεῦδε* **B** 3 *καὶ* om. **EFQ** 5 l.] + *ἄντλει* **E** om. **B** ‖ *οἷον* om. **DF** 6 *προσαχθῆναι* **E** 7 *δέον*] *δέ* **EQ** ‖ *ταῦτα* **DF** 8 *τὰς μηχανὰς* **DFG** 9 l. **DGQ**: + *ἄντρον* **E** + *ἄντρον ἔναιεν ἔτι χείρων* **B** ‖ *εἰς*] *ἐπὶ* **B** 10 *γὰρ* om. **B** ‖ *προσαπτέον*] *πρ. τῷ* **GQ** *πρ. τὸ* **D** 11 *φιλυρίδαν* **BG** ‖ *τὴν* (alt.) **B**: om. 12 cfr. Thom. p. 18 Schn. 15 *καὶ* (pr.)] + *τι αὐτῷ — οἱ ἐμοὶ ὕμνοι* (sch. 112a) **B** ‖ *ἐκάλεσα* **E** ‖ *ἐφιλοποιησάμην* **B** 19 sch. 112a in sch. 111b inser. **B** (cfr. ad 15) ‖ l. **GQ** (cfr. ad 22): om. **D** + *φίλτρον θυμῷ* **E** ‖ *τι*] *τοι* **D** ‖ *αὐτὸ* **E** 20 *ὁ δὲ νοῦς οὕτως* **B** *ὁ νοῦς* **E** 21 *ὁ* om. **B** 22 *καί* (pr.)] *καί τί οἱ* (h. e. lemma sch. 112a) *καί* **Q** 23 *ἰατρὸν*] *καὶ ἰατρὸν* **DGQ** ‖ *καὶ* om. **D** 24 *τοῦ* **Q**: *τὸν τοῦ* (*τοῦ* s. v.) **B** om. **DEG**

BDEGQ 117. *θερμᾶν νόσων*: ἢ ὅτι ἐπύρεττεν ὁ Ἱέρων, ὡς ἔνιοι τῶν ἱστορικῶν ἐβουλήθησαν, ἢ ὅτι ἐποδαλγία· τὸ δὲ νόσημα τῶν διαπύρων φασίν. οἱ δὲ τὴν λιθουρίαν ἀποδεδώκασιν. 112b B

DEGQ 118 a. *ἤ τινα Λατοΐδα*: μητρωνυμικῶς τοῦ Ἀπόλλωνος· φησὶ δὲ τὸν Ἀσκληπιόν. b. ἄλλως· ἤ τινα τοῦ Ἀπόλλωνος ἀπόγονον κεκλημένον ἢ καὶ υἱὸν αὐτοῦ· ἀπὸ κοινοῦ δὲ τὸ κεκλημένον. 5

DEGQ 119. *ἢ πατέρος*: τοῦ Διός. παρὰ τὸ Ὁμηρικόν (Ο 47)· πατὴρ ἀνδρῶν τε θεῶν τε. ἢ πατέρος υἱὸν τὸν Ἀπόλλωνα.

BDEGQ 120 a. *καί κεν ἐν ναυσί*: καὶ δὴ ἂν ναυσὶ διαπλεύσας, [καὶ] διατεμὼν τὸ Ἰόνιον πέλαγος παρεγενόμην ἐπὶ τὴν Ἀρέθουσαν τὴν ἐν τῇ Ὀρτυγίᾳ τῇ Σικελικῇ κρήνην, παρὰ τὸν Αἰτναῖον φίλον Ἱέρωνα, ὃς καὶ ταῖς Συρακούσαις βασιλεύει τοῖς πολίταις πρᾳότατος ὢν καὶ ἀνεπαχθὴς καὶ τοῖς ἀγαθοῖς οὐ διαφθονῶν, τοῖς τε ξένοις ἀξιάγαστος ὑπάρχων πατὴρ διὰ τὴν φιλοφροσύνην. 127b B 10 15

BDEGQ 120 b. *Ἰονίαν τέμνων θάλασσαν*: Ἰόνιον πέλαγος τὸ περὶ Σικελίαν, τὸ παρὰ τὸ Ἀδριατικὸν πέλαγος, ὡς καὶ Θουκυδίδης (I 24)· Ἐπίδαμνός ἐστι πόλις ἐν δεξιᾷ εἰσπλέοντι τὸν Ἰόνιον πόντον. παράκειται δὲ καὶ ἡ Σικελία· ἀπὸ τῶν οὖν γειτνιώντων τὴν νῆσον ἐδήλωσεν. c. ἄλλως. τὸ Ἰόνιον πέλαγος τὸ περὶ Σικελίαν τὸ ὄνομα ἔλαβεν, ὡς μὲν ἔνιοι (Aesch. Prom. 866) ἀπὸ Ἰοῦς· Θεόπομπος δὲ (FHG I p. 302) 20

21—79, 2 sch. Dion. Per. 94 (Eust. ibid. 92). Strab. 7, p. 317. sch. Ap. Rh. 4, 308. Tzetzes ad Lyc. 631. Steph. Byz. Ἰόνιον

---

1 θερμᾶν νόσων] τοῦτο δέ φησιν B 3 φησίν CE 4 λητοΐδα DG 5 ἄλλως om. D 7 δὲ om. DG 8 cfr. Thom. p. 18 Schn. 9 πατὴρ om. E ‖ πατρὸς (cp.) E in textu; corr. E^mg 10 l. DGQ: + μόλον E ὁ δὲ νοῦς B ‖ ἂν BEQ: ἐν DG 11 καὶ DG: om. BE ἢ Q. Seclusi 12 τῇ ὀρτ. τῇ σικελικῇ BE: τῇ σικελιωτικῇ ὀρτ. DGQ ‖ κρήνῃ CE 13 καὶ om. CE 15 διαφρονῶν E φθονῶν DGQ 17 l. E: καί κεν ἐν ναυσὶ μ. ἰ. τ. θ. B ἰονίαν τέμνων CDGQ 18 σικελίαν τὸ Γ: σικ. τὴν B DGQ σικελ(ίᾳ) τῇ CE^cp ‖ παρὰ CDG: περὶ B παρὰ s. περὶ E^cp Q^cp ‖ ἀδριακὸν E ἀδριανκὸν Q^ac 20 πόντον] κόλπον B[1], ut codd. Thucyd. 20. 21 τῶν οὖν γειτνιώντων E: τῶν οὖν συγγειτνιώντων B οὖν τῶν γειτνιώντων DG οὖν τῶν γειτόνων Q τῶν γειτνιώντων οὖν C. Ft. οὖν delend. 22 περὶ] + τὴν B

ἀπὸ Ἰονίου ἀνδρὸς Ἰλλυριοῦ. Ἀρχέμαχος (FHG IV p. 316) δὲ ἀπὸ τῶν ἀπολομένων ἐν αὐτῷ Ἰαόνων.

122. Ἀρέθουσαν ἐπὶ κράναν: ἡ Ἀρέθουσα κρήνη ἐν BDEGQ Ὀρτυγίᾳ τῇ Σικελιωτικῇ, ἣν δὴ ἀπόλλωνος οὖσαν ἱερὰν Ἀπόλ- 5 λωνος ἀπέδωκεν. 120ª B

124. νέμει: ὃς ὢν βασιλεὺς Συρακουσῶν νέμει καὶ διοι- DGQ κεῖ τὰ δέοντα.

127a. τῷ μὲν διδύμας: ὁ νοῦς· τῷ δὲ Ἱέρωνι διπλα- BDEGQ σίους χάριτας (ἔξωθεν παρέσχον ἄν), εἰ παρεγενόμην ὑγείαν 10 ἅμα κομίζων τιμίαν καὶ τὸν ὕμνον τῶν Πυθικῶν ἄθλων αἴγλην ὄντα καὶ λαμπηδόνα· οὕστινας τοὺς στεφάνους ἀριστεύων τῷ τάχει ἔλαβεν ὁ Φερένικός ποτε ἐν τῇ Κίρρᾳ· εἶτα ἡ ἀνταπόδοσις πρὸς τὸ πρῶτον· εἰ κατῆλθον εἰς Σικελίαν, παρεγενόμην ἂν τὸ βαθύτατον πέλαγος διαπεράσας, καί φημι 15 οὐρανίου ἀστέρος λαμπρότερον καὶ ἐπιφανέστερον ἄγειν φῶς τήν τε θεραπείαν καὶ τὸν ὕμνον. 134 B

127b. διδύμας χάριτας: τήν τε τοῦ ἰατρεύοντος Χεί- BDEGQ ρωνος, εἰ ἀνεβίωσε, καὶ τὴν τῶν ὕμνων, ὧν εἰς αὐτὸν γράφω.

128. εἰ κατέβαν: ἀντὶ τοῦ ἦλθον. Ὅμηρος (Ξ 19)· BDEGQ

20 πρίν τινα κεκριμένον καταβήμεναι ἐκ Διὸς οὖρον,

ἀντὶ τοῦ ἐλθεῖν. 127ª B

---

19 sch. κ 432. Eust. ibid. (1664, 21)

---

1 ἰλλυρικοῦ BDQ Tzetzes ‖ ἀρχίδαμος B 2 ἀπολομένων scripsi (cfr. Bernhardy ad sch. D. P. p. 987): ἀπολλομένων B?CE, sch. D. P. ἀπολλυμένων DGQ ‖ ἰώνων sch. D. P. 3 l. om. B ‖ ἡ δὲ ἀρ. B 4 σικελικῇ B ‖ δὴ ἀπόλλωνος DFG[cp]Q: διὰ πολλῶν B. Locus corruptus (in ἱερὰν ft. latet Ἱέρων) 4. 5 ἀπόλλωνος EQ(D[cp]G[cp]): ἀπόλλων B 6 l. DG: νέμει βασιλεύς Q 8 l. DGQ: + χάριτας E om. B ‖ ὁ δὲ νοῦς B ‖ δὲ om. DE 9 ἔξωθεν — ἂν ft. delenda ‖ ἂν om. B ‖ ὑγείαν BE: ὑγίειαν DGQ 11 οὕστινας — 12 κίρρᾳ cum l. τοὺς ἀριστεύων post sch. 132 repet. EGQ ‖ cfr. sch. 132 ‖ τοὺς] διὰ τοὺς E 14 τὸ — διαπεράσας E: τὸ π. τὸ β. διαπ. B τὸ β. διαπ. π. DGQ ‖ καὶ — 15 οὐρανίου om. Cr; ft. φημὶ καὶ οὐρανίου scrib. ‖ ἄγειν] ἄγων (ft. recte) ἐκείνῳ Cr 17 l. EQ: ἄλλως· διδ. χαρ. DG τῷ μὲν διδ. χαρ. B ‖ τήν] τουτέστι τήν B ‖ τε] τε τὴν E ‖ ἰατρεύσαντος CE 18 γράφει Cr γρά(φω) BEQ 19 l.] τὸ δὲ κατέβαν B 20 οὖρον B: οὔρων EQ ἔργων DG 21 ἀντὶ τοῦ] ὅ ἐστιν B

EGQ 132. *τοὺς ἀριστεύων*: οὕστινας ἀριστεύων τοὺς στεφάνους τῷ τάχει ἔλαβεν ὁ Φερένικός ποτε ἐν τῇ Κίρρᾳ.

BDEGQ 134 a. *ἀστέρος οὐρανίου*: ἐφάνην ἂν αὐτῷ τοῦ ἡλίου λαμπρότερος· ὥστε οὐράνιον ἀστέρα λέγεσθαι τὸν ἥλιον.

b. εἰ οὖν, φησίν, εὐξάμενοι παρεστήσαμεν τὸν Χείρωνα ἀπαλλάξειν αὐτὸν τῆς νόσου, καὶ τὸ ἐπὶ τῇ νίκῃ ποίημα κατεσκεύασα, τότε ἐφάνην ἂν αὐτῷ ὡς ἥλιος, διαβὰς τὸ πέλαγος καὶ ἐλθὼν εἰς Σικελίαν. 137b B

BDEGQ 137 a. *ἀλλ' ἐπεύξασθαι*: ἀλλ' ἐπεύξασθαι μὲν καὶ καθικετεῦσαι ἐγὼ βούλομαι τὴν Ῥέαν, ἥντινα αἱ κόραι πλησίον τῶν ἐμῶν οἴκων σὺν τῷ Πανὶ ἀνυμνοῦσι κατὰ τὴν νύκτα, τὴν σεμνὴν θεόν. λέγεται δὲ Ῥέας ἱερὸν πλησίον τῶν Πινδάρου οἴκων εἶναι. φησὶν οὖν ὅτι κατεύξομαι τὴν Ῥέαν, παρόσον δοκεῖ τῶν νόσων αὐξητικὴ καὶ μειωτικὴ εἶναι· κατεύξομαι οὖν αὐτήν, φησίν, εὐμενῆ εἶναι τῷ Ἱέρωνι. 139 B 138 E

BDEGQ 137 b. *ἀλλ' ἐπεύξασθαι μὲν ἐγὼν ἐθέλω ματρί*: Ἀριστόδημός φησιν Ὀλυμπίχου αὐλητοῦ διδασκομένου ὑπὸ Πινδάρου γενέσθαι κατὰ τὸ ὄρος, ὅπου τὴν μελέτην συνετίθει, καὶ ψόφον ἱκανὸν καὶ φλογὸς καταφοράν· τὸν δὲ Πίνδαρον ἐπαισθόμενον συνιδεῖν Μητρὸς θεῶν ἄγαλμα λίθινον τοῖς ποσὶν ἐπερχόμενον, ὅθεν αὐτὸν συνιδρύσασθαι πρὸς τῇ οἰκίᾳ Μητρὸς θεῶν καὶ Πανὸς ἄγαλμα. τοὺς δὲ πολίτας πέμψαντας εἰς θεοῦ πυνθάνεσθαι περὶ τῶν ἐκβησομένων· τὸν

12 et 81, 4 et 12 cfr. Vit. Ambr. p. 2, 9 (?). Vit. Thom. p. 5, 1. Paus. 9, 25, 3. Philostr. imagg. 2, 12

1 οὕστινας στεφ. ἀριστ. GQ (cfr. ad 79, 11) 3 ἀστέρος — 4 ἥλιον] οὐράνιον δὲ ἀστέρα τὸν ἥλιόν φησι B 5 φησὶν om. B ‖ εὐξάμενοι παρεστήσαμεν DEG: προσευξάμενοι παρεστήσαμέν φησι B εὐξάμενος παρεστησάμην Q 6. 7 κατεσκεύασα scripsi: κατεσκευάσατο DEGQ κατασκευάσας B κατασκευάσαντα C 7 ἐφάνην ἂν CEQ: ἂν ἐφάνην B ἐφάνη ἂν DG ‖ ὡς ἥλιος] τοῦ ἡλίου λαμπρότερος B (cfr. 134 a) 9 l. EQ: om. DG ὁ νοῦς B 13 φησὶν — 14 εἶναι om. DG ‖ ῥέαν] + εὐμενῆ εἶναι ἱέρωνος (-νι r) Cr, om. 14. 15 κατεύξομαι — ἱέρωνι 16 l. B et (om. ματρί) E: ἄλλως· ἀλλ' ἐπεύξασθαι GQ ἄλλως· εὔξασθαι D 17 ὀλυμπικοῦ B 19 καὶ (pr.) om. E ‖ φλογὸς BDEG: πυρὸς Q 20 συνιδεῖν B?r (vix recte): οὖν ἰδεῖν E ἰδεῖν DGQ 22 καὶ πανὸς suspecta 22. 23 πέμψαντας et πυνθάνεσθαι b: πέμψας et πυνθάνεται 23 [ἐκβησομ]ένων B? (plura periisse vid.)

δὲ ἀνειπεῖν, ἱερὸν Μητρὸς θεῶν ἱδρύσασθαι. τοὺς δὲ ἐκπλαγέντας τὸν Πίνδαρον διὰ τὸ προειληφέναι τὸν χρησμὸν, ὁμοίως τῷ Πινδάρῳ ἐκεῖσε τιμᾶν τὴν θεὸν τελεταῖς. 137a B 139 E

138. παρ' ἐμὸν πρόθυρον: ὅτι ἐγειτνία τῇ Πινδάρου (B)DEGQ
5 οἰκήσει Μητρὸς θεῶν ἱερὸν καὶ Πανὸς, ὅπερ αὐτὸς ἱδρύσατο. 137b E

139 a. σὺν Πανί: τὸ σὺν Πανὶ οὐχ ὅτι αἱ κόραι σὺν τῷ BDEGQ Πανὶ χορεύουσι καὶ ἀνυμνοῦσι τὴν Ῥέαν, ἀλλὰ τὴν Ῥέαν καὶ τὸν Πᾶνα ἀνυμνοῦσι. πάρεδρος γὰρ ὁ Πὰν τῇ Ῥέᾳ, ὡς αὐ-
10 τὸς ὁ Πίνδαρος ἐν τοῖς κεχωρισμένοις τῶν Παρθενείων (fr. 95) φησίν· Ὦ Πὰν Ἀρκαδίας μεδέων, ἕως τοῦ Ματρὸς μεγάλας ὀπαδὲ, σεμνᾶν Χαρίτων μέλημα τερπνόν. b. ἄλλως. πρὸς τῇ οἰκίᾳ τοῦ Πινδάρου Μητρὸς θεῶν ἵδρυτο ἱερὸν, ᾗ θέλειν εὔξασθαί φησι. οἱ δὲ, ὅτι καθάρτριά ἐστι τῆς μανίας ἡ θεός·
15 καὶ τὸν Διόνυσον δὲ καθᾶραι τῆς μανίας δοκεῖ. τὸν δὲ Πᾶνα παρείληφεν, ὡς μὲν ἔνιοί φασιν, ὅτι καὶ ὁ Πὰν πλησίον καθίδρυτο Πινδάρου, ἢ ὅτι σύνεστι τῇ θεῷ ὡς ὄρειος ὤν. | καὶ DEGQ ἡ Ῥέα δὲ ὄρειος λέγεται διὰ τὸ ἐν Ἴδῃ οἰκεῖν. (140.) ἐννύχιαι δὲ, ἐπεὶ νυκτὸς αὐτῇ τὰ μυστήρια τελεῖται. (138.) κοῦ-
20 ραι δὲ, αἱ τοῦ Πινδάρου θυγατέρες Πρωτομάχη καὶ Εὔμητις. ἢ αἱ νύμφαι.

141 a. εἰ δὲ λόγων συνέμεν: εἰ δὲ δύνασαι συνεῖναι BDEGQ τὴν τῶν λόγων ὀρθὴν κορυφὴν, [καὶ] γινώσκεις ἀσφαλῶς μανθάνων τὰ τῶν παλαιῶν. λέγει δὲ τὰ παρὰ τοῦ ποιητοῦ,

23 sqq. sch. Ω 527. 528. Eust. ibid. (p. 1353, 47). sch. P. V 74. — sch. O. I 97

1 ἀνιδρύσασθαι B ‖ τοὺς] αὐτοὺς B 2 προειληφέναι Q (b ex conj.): προσειληφέναι 3 θεὰν E 4 de B cfr. ad 13—14 ‖ cfr. Thom. p. 18 Schn. ‖ πρόθυρον om. Q ‖ ἐνγειτνία E 7 l. om. B ‖ τὸ δὲ σὺν πανὶ B ‖ κοῦραι DGQ 10 κεχρησμένοις E ‖ παρθενίων Schneider fr. Pind. p. 18 (-είων Bergk): παρθένων 11 ματρὸς] πατρὸς Q 12 μέλημα BCE: ἄγαλμα DGQ ‖ ἄλλως] + σὺν πανί DGQ 13 ᾗ — 14 φησι] καὶ πανὸς ὅπερ αὐτὸς ἱδρύσατο B (ex sch. 138) 15 καθάραι B 16. 17 παρίδρυτο Q 17 ὡς] ὡς ἂν CE 18. 19 ἐννύχια E 19 ἐπειδὴ αὐτῇ νυκτὸς DGQ 22 δὲ (pr.)] καὶ DG ‖ ξυνέμεν GQ ‖ συνιέναι C 23 καὶ om. r; seclusi 24 sqq. cfr. Thom. p. 18 Schn. 24 παρὰ B: περὶ

ὅτι παρὰ ἓν ἀγαθὸν πήματα δύο ἀπονέμουσιν οἱ θεοί. φησὶ
γάρ που (Ω 527)·

> δοιοὶ γάρ τε πίθοι κατακείαται ἐν Διὸς οὔδει
> δώρων οἷα διδοῦσι, κακῶν, ἕτερος δὲ ἐάων.
> ᾧ μὲν καμμίξας δώῃ Ζεὺς τερπικέραυνος, 5
> ἄλλοτε μέν τε κακῷ ἐπιμίσγεται, ἄλλοτε δ' ἐσθλῷ.

δοκοῦσι γὰρ οἱ εὐδαίμονες συγκεκραμένον ἔχειν τοῖς ἀγαθοῖς
καὶ φαῦλον· οἱ δὲ δυστυχεῖς ἄκρατον τὴν δυστυχίαν. διὸ καὶ
περὶ τοῦ Δημοδόκου τοῦ κιθαρῳδοῦ φησιν (θ 63)·

> ὃν πέρι Μοῦσ' ἐφίλησε, δίδου δ' ἀγαθόν τε κακόν τε· 10
> ὀφθαλμῶν μὲν ἄμερσε, δίδου δ' ἡδεῖαν ἀοιδήν.

διὸ εἴτις λέγει, διατί θεοφιλὴς ὢν πήρωσιν ἐδυστύχησεν, ἔχο-
μεν λέγειν, ὅτι ἀδύνατόν ἐστιν ἄνθρωπον ὄντα τελέως ἐν πᾶ-
σιν εὐτυχεῖν καὶ ἀπαθῆ εἶναι. ὁ μέντοι Πίνδαρος οὕτως ἐδέ-
ξατο, δύο πίθους εἶναι φαύλων καὶ ἕνα ἀγαθῶν. διὸ καὶ 15
αὐτός φησιν· ἓν παρ' ἐσλὸν πήματα σύνδυο. οὐκ ἔστι δὲ
τοῦτο. δύο γὰρ οἱ πίθοι εἰσί, καὶ ὁ μὲν εἷς ἀγαθῶν, ὁ δὲ
ἕτερος φαύλων. τὸ γὰρ ἕτερος ἐλέγχει παρακείμενον, ὅπερ
ἐπὶ δυϊκοῦ μόνου ἀριθμοῦ λέγεται, τῶν δύο τὸ ἕτερον. ὁ
λόγος οὖν πρὸς τὴν Ἱέρωνος νόσον καὶ πρὸς τὸ τῆς βασι- 20
λείας ἀξίωμα. μηδαμῶς, φησίν, ὦ Ἱέρων, ἀλγύνου· ἀδύνατον
γάρ ἐστιν ἄνθρωπόν σε ὄντα καὶ εὐδαιμονοῦντα μὴ ἔχειν τι
καὶ βλάβης. ανασηκοῦσι γὰρ ὥσπερ τὰ ἀγαθὰ τῇ τῶν φαύ-
λων μερίδι. b. ἄλλως· ἔνιοι ἀπεκδοχήν φασιν εἶναι ταῦτα
τῶν Ὁμήρου, ὡς εἰπόντος αὐτοῦ ὅτι τριῶν ὄντων πίθων, 25
ἑνὸς μὲν τῶν ἀγαθῶν, δυεῖν δὲ τῶν κακῶν, ὁ Ζεὺς δίδωσιν
ἐξ ἑκάστου μοῖραν. ἐλέγχεται δέ, ὅτι τὸ ἕτερος ἐπὶ δύο μό-

---

2 που] πον **E** 4 δίδωσι **B**, codd. Hom. 5 καταμίξας **E** 6 τε] κε **GQ** ‖ ἐπιμίσγεται **CDGQ**: ἐμίσγεται **E** ὅ γε κύρεται **B**, codd. Hom. ‖ ἐσλῷ **E** 7 συγκεκραμμένον **B**?**GQ** 10 τὸν codd. Hom. ‖ δίδου δ'] διδουσ' **E** 11 ὀφθαλμοῦ **GQ** 13. 14 ἐν πᾶσιν om. **B** 15 φαύλων **CE**: φαῦλον **B** τῶν φ. **DG** ἕνα τῶν φ. **Q** ‖ ἀγαθῶν] ἀγαθόν **B** τῶν ἀγ. **D** 17 οἱ om. **Q** 18 παρακείμενον] παρόν? **E** 19 ἀριθμοῦ μόνου **DG** 20. 21 τοῦ βασιλέως **DGQ** 22 ἔχειν τι **BE**: μετέχειν ποσῶς **DGQ** 24 παρεκδοχὴν? 25 τῶν ὁμήρου **DGQ**: τὴν ὁμήρου **E** τῶν ὁμηρείων **B** 26 δυοῖν **BCQ**

νων λέγεται· ὅτι εἰ καὶ ᾔδει τρεῖς ὄντας τοὺς πίθους, ἄλλος ἂν εἶπε καὶ οὐχ ἕτερος. ἔστι δὲ ὑποστίξαντα εἰς τὸ δώρων οἷα δίδωσι διαστεῖλαι καλῶς· κακῶν, ἕτερος δὲ ἑάων. δύο οὖν λέγει πίθους Ὅμηρος, κακῶν τε καὶ ἀγαθῶν, καὶ ᾧ μὲν 5 *ἀνθρώπων ἓν παρ' ἓν ἀγαθὸν καὶ κακὸν δῷ, εὐδαίμων ἐστίν, ᾧ δ' ἂν ἐκ θατέρου δῷ δύο μοίρας τῶν κακῶν, τοῦτον εἶναι κακοδαίμονα. ταῦτα δὲ λέγει παραμυθούμενος τὸν Ἱέρωνα, ὑπὲρ τοῦ πρᾴως φέρειν τὴν λιθίαν.*

145. *ἓν παρ' ἐσλόν: ὡς δὲ λεγόμενον προφέρεται τὸ* DGQ 10 *τοιοῦτον, ὅτι τοῖς ἀνθρώποις οἱ θεοὶ τὴν τρίτην τῶν ἀγαθῶν μοῖραν, τῶν δὲ κακῶν τὰς δύο ἀπομερίζουσιν.*

147. *τὰ μὲν ὦν: ταῦτα μὲν οὖν τὰ φαῦλα ἀδυνάτως* BDEGQ *ἔχουσιν οἱ ἄφρονες κοσμίως καὶ ἀνθρωπίνως φέρειν, ἀλλ' οἱ συνετοὶ φέρουσι, τὰ καλὰ προσβάλλοντες ἔξω, καὶ λογιζόμενοι* 15 *ῥᾷον φέρουσι τὰ φαῦλα.*

149. *ἀλλ' ἀγαθοί: τὴν μεταφορὰν εἴληφεν, οἷον ἄν τις* BDEGQ *νοήσειεν, ἐπὶ τῶν ἱματίων. ὅταν γὰρ ἔχῃ κηλῖδας, οὐ δυνάμενός τις εὐκόσμως χρῆσθαι, τὸ μὲν κηλιδωθὲν ἔνδον ἔστρεψε, τὸ δὲ καλὸν ἔξω· τοὐναντίον δὲ ἐὰν ἄφρων ᾖ, τὰς κηλῖδας* 20 *ἔξω ἐᾷ. καὶ τὸν βίον οὖν τῶν ἀνθρώπων φησὶ κοινῇ μὲν πάντων ἔχειν πήματα, ταῦτα δὲ τοὺς μὲν ἄφρονας ἐν φανερῷ παρέχειν, τοὺς δὲ σώφρονας μετὰ κόσμου φέρειν ἀποκρυπτομένους καὶ τὰ καλὰ τοῦ βίου ἔξω τρέποντας.* 150b B

150a. *τὶν δὲ μοῖρα: ὁ νοῦς· σοὶ δέ, ὦ Ἱέρων, μερὶς* BDEGQ 25 *ἀγαθῶν ἀκολουθεῖ· τὸν γὰρ δὴ τῶν λαῶν ἡγούμενον πλοῦτον καὶ ἡ ἐξ ἀρχῆς ἐδωρήσατό σοι καταβολή, καὶ ὁρᾷ σε εἴπερ τινὰ τῶν ἄλλων ἀνθρώπων εὐδαίμονα.* 151 B b. *ἄλλως· τοῦτο*

---

1 *ὅτι εἰ καὶ* **DGQ**: *ὅτι εἰ* **CE** *εἰ γὰρ* **B** ‖ *τοὺς* om. **B** 2 *δῶρον* **B**[1] 3 *διδοῦσι* **r** ‖ *καλῶς* **B**: *κακῶς* **DEGQ** *καλῶς κακῶν, ἵν' ᾖ* **C** *εἰς τὸ κακῶν, ἵν' ᾖ* **r** 4 *μὲν* ⟨*ἂν*⟩? 6 *εἶναι*] *αὖ* **B** 8 *λιθίαν* **BE**: *λιθουρίαν* **CDGQ** 12 l.] + *οὐ δύνανται* **B** ‖ *οὖν* **B**: *δὴ* **DGQ** om. **E** 16 l.] **DGQ**: + *τὰ καλά* **E** om. **B** ‖ *μεταφορὰν*] + *δὲ* **B** 17 *οὐ*] *καὶ μὴ* **D** 18 *εὐκοσμίως* **E** ‖ *ἔτρεψε(ν)* **D**[ac] **E** 19 *ἐὰν* — 21 *ταῦτα δὲ* om. **B** 20 *κοινὰ* **E** 23 *τρέπονται* **B** 24 l. **DGQ**: + *εὐδαιμονίας* **E** om. **B** ‖ *ὁ δὲ νοῦς* **B** 26 *καὶ* (pr.) **E**: om. **DGQ** *καὶ τύραννον καὶ* **B** (ex sch. 150c) ‖ *εἴπερ* **B**: *ἤπερ* **CEG** *ὑπὲρ* **DQ** 27 *τινὰ* **B**: om. **DEGQ** ‖ *ἄλλως*] *τὶν δὲ μοῖρ' εὐδαιμονίας ἕπεται* **B**

ἔχεις, φησίν, ἀγαθόν. μοῖρα γάρ σοι τῆς εὐδαιμονίας σύνεστιν. c. ἄλλως· σοὶ δὲ ἡ τῆς εὐδαιμονίας μοῖρα ἀκολουθεῖ· ἀποκεκλήρωσαι γὰρ τὰ ἀγαθά, τὸν λαγέταν καὶ τύραννον τῶν ἀνθρώπων πλοῦτον. 150a B

DEGQ 151 a. λαγέταν: τὸν γὰρ λαγέταν τύραννον ἔχεις πλοῦ- 5
BDEGQ τον. b. λαγέτας δὲ ὁ πλοῦτος, ἐπεὶ πάντας ἄγει λαούς· ὑποτάσσονται γὰρ αὐτῷ πάντες. ἀλλὰ μὴν καὶ τύραννός ἐστι. τοῦτο πρὸς τὸ 'ἓν παρ' ἐσλὸν πήματα σύνδυο' καὶ γὰρ τῷ Ἱέρωνι εὐδαιμονία μὲν ἡ τῆς τυραννίδος ἐπὶ μέγιστον ἕπεται, παρεπλάκη δέ τι κακόν, ἡ νόσος. 10

BDEGQ 153 a. αἰὼν δ' ἀσφαλής: βίος δὲ ἀσφαλὴς καὶ ἄπταιστος οὐδαμοῦ ἐγένετο, οὔτε παρὰ τῷ Αἰακίδῃ Πηλεῖ, οὔτε παρὰ τῷ ἰσοθέῳ Κάδμῳ· καίτοι λέγονται τῶν ἀνθρώπων εὐδαιμονίαν ἐξοχωτάτην ἐσχηκέναι. b. ἄλλως· βίος, δὲ ἄνευ σφάλματος καὶ βλάβης οὐκ ἐγένετο οὔτε Πηλεῖ οὔτε Κάδμῳ. 15 ταῦτα δὲ διὰ τὴν νόσον αὐτῷ παραινεῖ. (158 B) τὸν δὲ Κάδμον παρέλαβε διὰ τὸ καὶ τοῦτον εὐδαιμονήσαντα ἐκπεσεῖν εἰς Ἰλλυριούς· ὅλως δὲ αὐτὸν ἀποσεμνύνουσι διαπεφυκότα τὸ γένος εἰς θεούς. πρόπαππος γὰρ ὁ Ζεὺς καὶ πάππος ὁ Ποσειδῶν, ὁ δὲ Ἄρης κηδεστής, ἡ δὲ Ἀφροδίτη πενθερά, ἡ δὲ 20 Θυώνη καὶ ἡ Λευκοθέα θυγατέρες, ὁ δὲ Διόνυσος καὶ ὁ Παλαίμων θυγατριδοῖ· τὸ δὲ ὅλον καὶ ὑπὸ θεῶν καὶ ὑπὸ ἀνθρώπων τετιμῆσθαί που μάλιστα πάντων κατὰ τὴν Ἑλλάδα· διόπερ καὶ αὐτὸς ἀπεθεώθη μετὰ τῆς γυναικὸς Ἁρμονίας, καὶ κατῴκησαν ἐν τῷ Ἠλυσίῳ πεδίῳ ἐπὶ δρακόντων ἅρματος, ὡς 25

---

2 ἄλλως] ἢ οὕτω B 3 τὸν — 4 πλοῦτον om. B (cfr. ad 83, 26) 5 l. DGQ: + δὲ τύραννον E ‖ ἔχεις CE: ἔχει DGQ 6 ἐπεὶ BCE: ἐπειδὴ DGQ 7 καὶ ⟨ἱέρων⟩ τύραννος h (perperam) 8 τὸ om. B ‖ ἐσθλὸν DE ‖ πήματα B: πῆμα 9 ἐπὶ B: ἐστι E om. DGQ 10 δέ] γάρ Q 11 sch. 153a post 153b repet. E GQ ‖ l.] + οὐκ ἐγένετο B ‖ βίος] ὁ E[b] 12 οὐδαμῶς DG[a] ‖ οὔτε (pr.) BCr: οὐδὲ ‖ οὔτε (alt.) Cr: οὐδὲ DEGQ (B l. n.) 13 λεγόντων DG[a]Q[a] ‖ τῶν ἀνθρώπων om. G[b]Q[b] 14 ἐσχηκέναι] εὐτυχηκέναι E[b]G[b]Q[b] 15 οὐκ ἐγένετο καὶ βλάβης B 16 αὐτὸν E ‖ post παραινεῖ inser. 85, 6 καὶ γὰρ — 10 πέφυκας B ‖ τὸν δὲ] ἄλλως· τὸν B 18 διαπεφοιτηκότα DG 21 ὁ δὲ iteravit B (in init. paginae) 23 που om. DGQ 25 ἅρματος BC: ἅρματι E ἅρματα DQ ἁρματ() G[cp]

οἱ ποιηταὶ καὶ οἱ μυθογράφοι [ἡμῖν] παραδεδώκασιν. (153a repet. EGQ) 160 B

158 a. οἵ τε καὶ χρυσαμπύκων: οἵ, οὗτοι· συλληπτι- DEGQ κὸς ὁ τρόπος. b. οἵτινες καὶ τῶν Μουσῶν ᾀδουσῶν καὶ ἐν
5 τῷ Πηλίῳ ὄρει καὶ ἐν ταῖς ἑπταπύλοις Θήβαις κατήκουσαν. καὶ ταῦτα διὰ τὴν νόσον αὐτῷ παραινεῖ· | καὶ γὰρ ὁ Πηλεὺς BDEGQ καὶ ὁ Κάδμος, φησὶν, εὐδαιμονέστατοι γενόμενοι τῶν ἀνθρώπων εἴς τινα καὶ ἐδυστύχησαν· διὸ, ὦ Ἱέρων, μὴ καταπονοῦ διὰ τὸ πάθος τῆς λιθιάσεως· τὰ γὰρ ἄλλα πάντα εὐ-
10 τυχὴς πέφυκας. 153b med. B

160. καὶ ἐν ἑπταπύλοις: καὶ ἐνταῦθα τὸ χωρὶς ἑκά- BDEGQ στῳ συμβεβηκὸς συλληπτικῶς ἐπ' ἀμφοτέρων τίθησι, καὶ λίαν πυκνός ἐστιν ἐν τοῖς τοιούτοις· ὁ μὲν γὰρ Πηλεὺς ἐν Πηλίῳ τῷ ὄρει παρὰ Χείρωνι τὴν Θέτιν ἔγημεν, ὁ δὲ ἕτερος ἐν Θή-
15 βαις τὴν Ἁρμονίαν. εἶπε δὲ, ὅτι τῶν Μουσῶν ἤκουσαν καὶ ἐν τῷ [Πηλίῳ] ὄρει καὶ ἐν ταῖς Θήβαις· πρὸς ὃ καὶ τὸ σημεῖον.

165. καὶ θεοὶ δαίσαντο: καὶ οἱ θεοὶ παρ' ἀμφοτέροις BDEGQ εὐωχήθησαν, τουτέστιν ἐν τοῖς ἀμφοτέρων γάμοις. ὅπερ
20 Ὅμηρος (Ω 62)· πάντες δ' ἀντιάασθε γάμου θεοί, ἐπὶ τοῦ Πηλέως.

166. καὶ Κρόνου παῖδας: καὶ τοὺς Κρόνου παῖδας BDEGQ βασιλεῖς ἐθεάσαντο ἐν ταῖς χρυσαῖς καθέδραις, καὶ δῶρα παρ' αὐτῶν ἐδέξαντο. (167a B) ἀλλ' ὅμως, φησὶ, καὶ οὗτοι ἄπται-
25 στον οὐκ ηὐτύχησαν βίον. ὁ μὲν γὰρ Κάδμος εἰς ὄφιν

---

1 O. II 78. Eur. Bacch. 1338. Apollod. 3, 5, 4, 2

---

1 ἡμῖν om. B, post παραδεδ. colloc. CE; seclusi 5 πυλίῳ DG 7 εὐδαιμ. φησὶ B 8. 9 μὴ καταπόνει τῷ πάθει D 9 πάντας E 11 l.] οἵτε καὶ χρυσαμπύκων B ‖ χωρὶς] χωρίον BC 14 χείρωνος DG(Qcp) 15 εἶπε] λέγει B ‖ ἤκουσαν] ᾀδουσῶν B (ex sch. 158b) 16 πηλίῳ om. CE; seclusi ‖ ταῖς θήβαις] ταῖς ἑπταπύλοις θ. κατήκουσαν· ὁ δὲ τρόπος συλληπτικός B (ex 158b) ‖ ὃ] ὃν B 18 l. DGQ: + παρ' ἀμφοτέροις B καὶ θεοί E ‖ οἱ θεοὶ] + φησι B 19 ὅπερ] ὅπερ καὶ D καὶ Cr 20 ἀντιάσασθε E ἀντίσασθε D ἀντιβάσθε G ‖ θεοὶ γάμου B, codd. Hom. 21 πηλέως] + φησίν B 24 ἀλλ' — 86, 3 μαρτυρεῖ hic om., post 86, 11 ἔλαβον hab. B 25 ὁ μὲν] ὅμως E

μεταβαλὼν ἀπέθανεν, ὁ δὲ [Πηλεὺς] ἐν Ἰκῷ τῇ νήσῳ ἀτυχήσας τὸν βίον οἰκτρῶς καὶ ἐπωδύνως ἀπέθανεν, ὡς καὶ ὁ Καλλίμαχος (fr. 372) μαρτυρεῖ. 168 B

BDEGQ 167 a. ἕδνα τε: ἀκύρως τὰ δῶρα ἕδνα εἶπε. τῷ μὲν γὰρ Πηλεῖ γαμοῦντι τὴν Θέτιν ὁ Ποσειδῶν διὰ τὴν σωφροσύνην 5 ἐδωρήσατο ἵππους, Ἥφαιστος δὲ μάχαιραν· τῷ δὲ Κάδμῳ γαμοῦντι τὴν Ἁρμονίαν Ἀφροδίτη χρυσοῦν ὅρμον ἐδωρήσατο, ὃν κτησάμενος Πολυνείκης κατὰ διαδοχὴν τοῦ γένους παρέσχεν Ἐριφύλῃ, ἵνα πείσῃ Ἀμφιάραον ἵν' ἐξέλθῃ ἐπὶ τὸν πόλεμον. b. ὃ λέγει οὖν τοιοῦτόν ἐστι· καὶ δῶρα παρ' αὐ- 10 DEGQ τῶν ἔλαβον, | ἀλλ' ὅμως, φησί, καὶ οὗτοι ἄπταιστον βίον οὐκ εὐτύχησαν. ὁ μὲν γὰρ Κάδμος μετέβαλεν εἰς ὄφιν, ὁ δὲ Πηλεὺς ἐν Ἰκῷ τῇ νήσῳ οἰκτρῶς ἀπέθανεν. 166 med. B

BDEGQ 168 a. Διὸς δὲ χάριν: κατὰ δὲ τὴν τοῦ Διὸς γνώμην μεταβαλόντες ἐκ τῶν προτέρων ἀγαθῶν, διὰ τῶν δευτέρων 15 καμάτων ἔστησαν ὀρθὴν τὴν καρδίαν, τουτέστι διὰ τὰς ὑπερβαλλούσας ἀτυχίας ἔκπληκτοι ὥσπερ καὶ τὴν καρδίαν πληγέντες γεγόνασιν. b. οἱ δὲ οὕτως· ἐκ τῶν προτέρων ἀγαθῶν μεταβαλλόμενοι τὴν ὀρθὴν καρδίαν καὶ εὐδαίμονα διὰ καμάτων καὶ συμφορῶν ἰσχυρῶν ἦλθον. 20

BDEGQ 169. μεταμειψάμενοι: ἐπεὶ ἐξέφυγον ἐκ τῶν πατρίδων, οἷον ἐκ τῶν προτέρων κακῶν μεταβαλόντες ηὐφράνθησαν· θεῶν γὰρ ἔτυχον γάμων.

---

1 & 12 schol. Eur. Tr. 1128. sch. T Ω 488 4 Tzetzes ad Lyc. 178. Ptol. Heph. p. 196 Westerm. sch. Π 867. Eust. ibid. 862, p. 1090, 43 7 sch. Eur. Phoen. 71. Diod. 4, 65

---

1 μεταβληθεὶς CP ‖ πηλεὺς om. B, post νήσῳ trp. CEP; seclusi ‖ ἐν ἰκῷ DGQ ἐνὶ κῶ (acc. dub.) E: ἐν κῷ B; cfr. Wilamowitz Herm. 44, 474. Q. s. vix sana 2 ὁ om. B 4—7 cfr. Thom. p. 19 Schn. 4 l. DGQ: + δέξαντο E om. B ‖ ἀκύρως] + δὲ B ‖ τὰ ἕδνα δῶρα E 6 τῷ — 9 ἀμφιάραον om. E 8 κτισάμενος B 9 ἵν' — 10 πόλεμον] εἰς τὸν π. ἐξελθεῖν CP 10 ὃ λέγει οὖν] ὃ δὲ λέγει B 11 ἀλλ' — 13 ἀπέθανεν] pro his 85, 24 ἀλλ' — 86, 3 μαρτυρεῖ h. l. hab. B; cfr. ad 85, 24 sqq. 12 ηὐτύχησαν Q 12. 13 πηλεὺς om. E (cfr. ad 1) 13 ἐνὶ κῷ E 14 l.] + ἐκ προτέρων μεταμειψάμενοι B 16. 17 ὑπερβαλούσας CE 17 εὐτυχίας B? ‖ ἐκπληκτικοὶ E 19 μεταβαλόμενοι E ‖ καὶ εὐδ. καρδ. DGQ 20 ἰσχυρῶν om. E 21 l.] + καμάτων E οἱ δὲ ἄλλως B 22. 23 ηὐφράνθησαν EP: εὐφρ. BQ εὑρέθησαν DG

173 a. τὸν μὲν ὀξείαισι: τὸν μὲν Κάδμον αἱ θυγατέρες BDEGQ
ἀπολλύμεναι τὸ τῆς εὐφροσύνης μέρος ἠρήμωσαν. ἐν σχήματι
δὲ εἶπεν, ἀντὶ τοῦ εὐφροσύνης ἔρημον ἐποίησαν. b. ἄλλως· EGQ
τὸν μὲν Κάδμον αἱ τρεῖς θυγατέρες ταῖς ὀξείαις συμφοραῖς
5 τὸ τῆς εὐφροσύνης μέρος ἠρήμωσαν καὶ ἀφείλαντο· | εἰς δὲ BDEGQ
τὸ τῆς ἐπεράστου Σεμέλης λέχος ὁ Ζεὺς παρεγένετο. ὅτι δὲ
αἱ θυγατέρες τοῦ Κάδμου ἐδυστύχησαν, δῆλος ὁ λόγος. ἡ
μὲν γὰρ Σεμέλη ἐκεραυνώθη παρὰ Διός· ἡ δὲ Ἀγαυὴ καὶ
Ἰνὼ εἰς μανίαν τραπεῖσαι τοὺς παῖδας διέσπασαν· καὶ ἡ μὲν
10 Ἀγαυὴ τὸν Πενθέα, ἡ δὲ Ἰνὼ κατά τινας τὸν Μελικέρτην
εἰς λέβητα καθῆκε· πολλοὶ γὰρ τὸν Ἀθάμαντα διδόασιν ἐμ-
βεβληκέναι τῷ λέβητι.

177 a. ἤλυθεν ἐς λέχος: Θυώνη ἡ Σεμέλη. οὕτω δὲ BDEGQ
ὀνομάζεται ἀπὸ τοῦ περὶ τὸν Διόνυσον πάθους, ὅτι θύει καὶ
15 ἐνθουσιᾷ κατὰ τοὺς χορούς. οὕτω καὶ Θυάδες αἱ Βάκχαι,
καὶ θύσθλα οἱ θύρσοι. b. ἄλλως· Θυώνη τῇ Σεμέλῃ· διω-
νυμίᾳ γὰρ ἐκέχρητο. εἰσὶν οἳ καὶ τὴν αὐτὴν Διώνην λέγου-
σιν, ὥσπερ Εὐριπίδης ἐν Ἀντιγόνῃ (fr. 177)·

ὦ παῖ Διώνης, ὡς ἔφυς μέγας θεός,
20 Διόνυσε, θνητοῖς τ' οὐδαμῶς ὑπόστατος.

6—9 Eust. ε 339, p. 1543, 35 9—12 Apollod. 3, 4, 3, 5. Hyp. Isthm. 1 (p. 349, 7 Ab.)? unde Tzetzes ad Lyc. 229. — Hyp. Isthm. 4, p. 352, 2 Ab., unde Tzetzes ad Lyc. l. l. (p. 104, 28 Sch.). Nonn. Dion. 10, 67—71 14 sch. Ap. Rh. 1, 636. Suid. Θυώνη. 17 Hes. Βάκχου Διώνης. Bekker. Anecd. I 225

---

1 l.] + θύγατρες B ‖ αἱ] + τρεῖς BD (ex sch. 173b) ‖ θυγατέρες] + ταῖς ὀξείαις συμφοραῖς B; id. post 2 ἀπολλ. inser. CDP 2 ἀπολλύμεναι B?D: ἀπολόμεναι E (? ἀπολύμ.?) G ἀπολλόμεναι B? CPQ ‖ τὸ — ἠρήμωσαν] ὧν D (sic) ‖ ἠρήμωσαν] + καὶ ἀφείλοντο BCP (ex 173b) 3 δὲ om. DQ ‖ εἶπεν, ἀντὶ τοῦ] εἰπὼν τὸ D ‖ εὐφρ. BE: τῆς εὐφρ. DGQ ‖ ἔρημον ἐποίησαν] ἠρήμωσαν καὶ ἀφείλοντο D 4 μὲν om. E ‖ αἱ θυγ. τρεῖς E 5 (ἀφείλοντο BCDP, cfr. ad 2 et 3) 6—9 cfr. Thom. p. 19 Schn. 6 δὲ om. E 8 παρὰ] πρὸς CEPQ 9 εἰς — 10 ἰνὼ om. DG ‖ καὶ om. B 10 μελικράτην E 11 γὰρ] δὲ B 13—16 cfr. Thom. p. 19 Schn. 13 l.] om. B + ἱμερτὸν θυώνα E ‖ θυώνη] + δὲ B ‖ οὕτω δὲ om. B 16 θύσελα B ‖ θυώνα E ‖ σεμέλῃ] + φησί B 17 εἰσὶν οἳ] εἰσὶ δ' οἳ B ‖ καὶ om. E 19 ὡς Scaliger, Grotius (cfr. Valckenaer Diatribe in Eur. fragm. p. 154): ὃς codd., r 20 τ'] δ' B

ἔνιοι δὲ τὴν Θυώνην ἑτέραν τῆς Σεμέλης φασὶν εἶναι, τροφὸν τοῦ Διονύσου, ὥσπερ Πανύασις ἐν τρίτῳ Ἡρακλείας (fr. 5)·

καί ῥ' ὁ μὲν ἐκ κόλποιο τροφοῦ θόρε ποσσὶ Θυώνης.

ἐτυμολογοῦσι δὲ τὴν Θυώνην ἀπὸ τῆς θυηλῆς. Σεμέλη δὲ ἢ 5 κατὰ τὸ μυθικὸν ἡ τὰ μέλη τοῦ σώματος ὑπὸ τῶν βροντῶν διασαλεύσασα, ἢ κατὰ τὸ φυσικὸν ὅτι σείει τὰ μέλη τῶν οἰνουργούντων αὐτὸν ὁ Διόνυσος, ἐν ᾧ τοὺς βότρυς ἀλλόμενοι πατοῦσιν· ἡ δὲ Θυώνη κατὰ τὸ μυθικόν, διὰ τὸ κεραυνοῖς τεθραῦσθαι, κατὰ δὲ τὸ φυσικόν, ὅτι πυρώδης ἡ οὐσία τοῦ 10 οἴνου.

BDEGQ 178 a. τοῦ δὲ παῖς, ὅνπερ μόνον: τοῦ δὲ Πηλέως παῖς ὁ Ἀχιλλεύς, ὅνπερ μόνον ἡ ἄφθαρτος Θέτις ἐγέννησεν, ἐν τῷ Ἰλιακῷ πολέμῳ τοῖς Ἀπόλλωνος τόξοις ἀπολιπὼν τὴν ψυχὴν καὶ τῷ πυρὶ καιόμενος ἐκίνησεν ἐπ' αὐτῷ γόον ἐκ 15 τῶν Ἑλλήνων. μετὰ γὰρ τὸ τελευτῆσαι ἐκάη. b. ἄλλως· οὐ μόνον αὐτὸν ἐγέννησεν, ἀλλὰ καὶ ἄλλους, οὓς βουλομένη ἀπαθανατίζειν ἔκτεινε. φασὶ δὲ ὅτι καὶ τὸν Ἀχιλλέα μέλλουσα καίειν καὶ καταληφθεῖσα ὑπὸ τοῦ Πηλέως εἰς θάλασσαν ἔφυγεν. 20

BDEGQ 181 a. ὦρσεν ἐν πυρί: τὸ ἑξῆς· ὦρσ' ἐκ Δαναῶν γόον EGQ πυρὶ καιόμενος. b. ὦρσε, διορμῆσαι ἐποίησεν. 182b B

---

1 Hygin. poet. astr. 2, 21. sch. Τ 486? 5 Diod. 3, 62. 5 cfr. EM 709, 45. sch. Theog. 940, alleg. in Theog. p. 602 Gaisf. Eust. ad Ξ 321, p. 989, 38 16—20 sch. Π 37, al. sch. Lycophr. 178 (p. 88, 14 Sch.)

---

4 ἐγκόλποιο P ‖ ποσὶ DQ 5 θυώνην — θυηλῆς om. D ‖ σεμέλην D, om. δὲ 6 βροντῶν BP: βροτῶν DEGQ κρουνῶν C 7 διαπλεύσασα E διασαλεύσαση B^ac? An διασεισθεῖσα (ἐσείσθη Et. Mg.)? ‖ ἢ κατὰ DGQ: κατὰ δὲ BE 8 αὐτὸν BCEP: αὐτὴν DG om. Qb ‖ βότρυας DGQ 10 τεθάφθαι BCEP 12 l. E: + ἀθανάτα τίκτεν B τοῦ δὲ παῖς DG τοῦ δὲ παῖς ὅνπερ Q 16 μετὰ — ἐκάη om. DEG ‖ cfr. Thom. p. 19 Schn. 17 ἐγέννησεν] + ἡ θέτις B 18 φησὶ B 19 συλληφθεῖσα CP ‖ εἰς τὴν θάλ. DGQ 21 l. om. B ‖ τὸ δὲ ἑξῆς B ‖ ὦρσ' EG: ὦρσε δ' D ὤρσεν Q ὃς B ‖ γόον om. B (s. v. add. G) 22 καιόμενος] + ὦρσεν B ‖ ὦρσε] + δὲ GQ

182 a. *εἰ δὲ νόῳ τις ἔχει*: εἰ δέ τις τὴν ἀλήθειαν τῶν **BDEGQ** πραγμάτων προϊδεῖν δύναται, δεῖ πρὸς τῶν θεῶν εὖ πάσχοντα ἑαυτὸν μὴ λυπεῖν, ἀλλὰ συνεπιδιδόναι τὴν ψυχὴν ταῖς ἀπὸ τῶν θεῶν εὐπραγίαις. τὸ δὲ εὖ κοινὸν πρός τε τὸ
5 πασχέμεν καὶ πρὸς τὸ μακάρων τυγχάνοντα. 187 **B** b. ἄλλως· εἰ δέ τις τῶν ἀνθρώπων οἶδε τῆς ἀληθείας τὴν ὁδὸν, τουτέστιν ὀρθῶς λογίζεται καὶ φρόνιμός ἐστι, προσήκει τινὰ εὖ παρὰ θεῶν εὐεργετούμενον ὑφίστασθαι καὶ τῆς εὐπραγίας ἀπολαύειν. Ὅμηρος (*Γ* 65)·

10 οὔτοι ἀπόβλητ' ἐστὶ θεῶν ἐρικυδέα δῶρα,
ὅσσα κεν αὐτοὶ δῶσιν· ἑκὼν δ' οὐκ ἄν τις ἕλοιτο. 182^a **B**

187. *ἄλλοτε δ' ἀλλοῖαι πνοαί*: ὥσπερ οὐχ οἱ αὐτοὶ **BDEGQ** ἄνεμοι διαπαντὸς πνέουσιν, ἀλλ' ἄλλοτε ἄλλοι, οὕτω καὶ αἱ τύχαι τῶν ἀνθρώπων οὐχ αἱ αὐταὶ παραμένουσιν, ἀλλ' ἄλλοτε
15 μὲν εἰς κακὸν μεταβάλλουσιν, ἄλλοτε δὲ εἰς ἀγαθόν. Εὐριπίδης (Herc. 101)·

κάμνουσι γάρ τοι καὶ βροτοῖς αἱ συμφοραί,
καὶ πνεύματ' ἀνέμων οὐκ ἀεὶ ῥώμην ἔχει.

189. *ὄλβος δ' οὐκ ἐς μακρόν*: ἡ δὲ τῶν ἀνθρώπων **BDEGQ**
20 εὐδαιμονία οὐκ εἰς μακρὰν παραγίνεται, ἀντὶ τοῦ οὐκ ἐπιπολὺ παραμένει, ἐπειδὰν μάλιστα ἐπακολουθήσας πολὺς ἐπιβαρήσῃ καὶ παραγένηται.

190. *εὖτ' ἂν ἐπιβρίσας*: ἡνίκα ἐπιβαρύνας αὐτὸν καὶ **BDEGQ** ἀθροίσας ἕπηται. ἐξ οὗ καὶ Εὐριπίδης (Orest. 340)·

25 ὁ μέγας ὄλβος οὐ μόνιμος ἐν βροτοῖς.

---

1 l.] ἢ καὶ οὕτως **B** 1. 2 τῶν πραγμάτων om. **DGQ** 2. 3 πάσχοντα ἑαυτὸν **B**: πάσχοντας αὐτὸν 5 πασχέμεν **B**: πάσχομεν ‖ ἄλλως] εἰ δὲ νόῳ τις ἔχει θνατῶν **B** 6 εἶδε **D**? **EQ**^ac 8 τινὰ εὖ] αὐτὸν **r**. Locus suspectus 9 ἀπόλαυσιν **h** probabiliter ‖ καὶ ὅμ. **DG** 10 ἀπόβλητ' **BCP**: ἀπόβλητον 11 πνοαί om. **DGQ** 13 ἄνεμοι] + φησὶ **B** 14 παρμένουσιν **DG**^1 (α supra add.) ‖ ἀλλ'] ἀλλὰ **DG** 15 εἰς (utrumque)] ἐς **B** ‖ καὶ εὐρ. **DG** 15. 16 εὐρίδης **B** 17 καὶ] κἂν **E** 19 l.] + ἀνδρῶν ἔρχεται **B** 20 μακρὰν] μακρὸν **E** μακράν φησι **B** 21 παραμένειν **E** 23 l. et ἡνίκα — 24 ἐξ οὗ om. **BCP** ‖ αὐτὸν codd. 24 ἀθρόος Hartung ‖ καὶ om. **B**

BDEGQ 191. *σμικρὸς ἐν σμικροῖς*: τινὲς οὕτως· ἐὰν μικρὰ ᾖ τὰ περὶ ἐμὲ, καὶ αὐτὸς ἐκ τῆς ἀνάγκης ἔσομαι μικρός· ἐὰν δὲ μεγάλα, εἰκότως ἐπαρθήσομαι καὶ μεγάλα φρονήσω. ἄτοπον δὲ καὶ οὕτω κατὰ Πίνδαρον τὴν ἀλαζονείαν δοκεῖν ταῖς τύχαις συσχηματίζεσθαι. ἔστιν οὖν ὃ λέγει τοιοῦτον· μικροῖς 5 συνὼν καὶ καταδεεστέροις ἐμοῦ μικρὸν ἐμαυτὸν ποιήσω συμμετρήσας ἐκείνοις, ἐν δὲ τοῖς μείζοσι πάλιν ὁ αὐτὸς τυγχάνων ἐκείνοις ἐξισωθήσομαι.

BDEGQ 193 a. *δαίμονα*: τὸν δὲ περιέχοντά με] δαίμονα καὶ τύχην οἴσω τῇ διανοίᾳ, καὶ θεραπεύσω αὐτὸν κατὰ τὴν ἐμαυ- 10 τοῦ γνώμην. b. ἢ οὕτως· ἀεὶ τὸν περιέχοντά με δαίμονα θεραπεύων ταῖς φρεσὶν ἀσκήσω, μικρὰ μὲν πράσσων ἐν μικροῖς, ἐν δὲ μεγάλοις μεγάλας ἐπιβολὰς λαμβάνων.

BDEGQ 195 a. *εἰ δέ μοι πλοῦτον*: αἰνίττεται εἰς τὸν Ἱέρωνα προτρεπόμενος αὐτὸν ἀφειδῶς τοῖς ποιηταῖς χορηγεῖσθαι τὸν 15 μισθὸν, ὥστε ἀνυμνεῖσθαι αὐτόν. b. ὁ δὲ νοῦς· ἐὰν δέ μοι ὁ θεὸς πλοῦτον ἀνθηρὸν καὶ εὐδαιμονίαν παράσχῃ, ἐλπίζω δόξαν εὑρεῖν ὑψηλοτάτην καὶ εἰς τὸν μετὰ ταῦτα χρόνον.

BDEGQ 198 a. *Νέστορα καὶ Λύκιον Σαρπηδόνα*: καὶ τὸν Νέστορα καὶ τὸν Σαρπηδόνα διὰ τοὺς ὕμνους τῶν ποιητῶν 20 γινώσκομεν.

BDEGQ 198 b. *Νέστορα καὶ Λύκιον*: τὸ ἑξῆς· Νέστορα καὶ Λύκιον Σαρπηδόνα γινώσκομεν ἐξ ἐπέων κελαδεινῶν, οἷα σοφοὶ τέκτονες ἅρμοσαν [ἀνθρώπων]. ἀνθρώπων δὲ φάτις περιφραστικῶς, ἡμεῖς οἱ ἄνθρωποι. c. ἢ προστίθεμεν τὸ 25

---

1 σμικρὰ **DGQ** 2 σμικρὸς **DGQ** 8 ἀξιωθήσομαι **DG** 9 l. **DGQ**: δαιμον' ἀσκήσω **E** τὸν δ' ἀμφέποντ' αἰεί **B** ‖ με] + φησι **B** 9. 10 καὶ τὴν τύχην **DGQ** 10 ὤσω **E** 12 σμικρὰ **DG** 12. 13 σμικροῖς **GQ** 13 μεγάλοις] μεγάλας **B** ‖ ἐπιβουλὰς **DGQ** 14 l.] + ἀβρὸν θεὸς ὀρέξοι? (s. -ξαι) **B** 16 νοῦς] + οὕτως **B** 17 εὐδαιμονίαν **BEP**: εὐδαίμονα **CDGQ** ‖ ἐλπίζω] εὑρίσκω **B** 18 εἰς om. **DG** ‖ μετὰ ταῦτα] μετέπειτα **DGQ** 19 l. **B**: ν. καὶ λ. **E** om. **DGQ** 20 νέστορα] + φησὶ **B** 22 l. **E** et praem. ἄλλως **Q**: ἄλλως **DG** om. **B** ‖ τὸ ἑξῆς **EQ**: τὸ δὲ ἑξῆς **B** om. **DG** 23 σαρπηδόνα om. **DG** ‖ γινώσκομεν] γινωσκομένη **B** ‖ κελαδεινῶν **r**: κελαδεῖν 24 τέκτονες ἥρμοσαν (ἅρμοσαν restitui) **b**: τε καθήρμοσαν **B** τε καταρμοσαντ' **E** τε (+ καὶ **D**) καθάρμοσαν **DGQ** ‖ ἀνθρώπων om. **b**; seclusi ‖ δὲ **B**? (legi nequit, sed δὲ habuisse vid.) **E**: om. **DGQ** 25 οἱ om. **DG**

ἴσασι, καὶ ἕξει τὴν ἀκολουθίαν οὐκέτι δι' ὑπερβατοῦ, ἀλλ' ἀκολούθως.

199. ἀνθρώπων φάτις: λείπει τὸ ἔχει τῷ λόγῳ, ἵν' ᾖ οὕτως· Νέστορα καὶ Λύκιον Σαρπηδόνα ἀνθρώπων φάτις 5 ἔχει, καὶ ἐξ ἐπέων κελαδεινῶν αὐτοὺς γινώσκομεν, οἷα σοφοὶ τέκτονες ἅρμοσαν ποιηταί. BDEGQ

202 a. γινώσκομεν· ἁ δ' ἀρετά: ἡ δὲ ἀρετὴ ταῖς ἐπιδόξοις ᾠδαῖς χρονία καὶ διηνεκὴς παραμένει. b. ἡ δὲ ἀρετὴ τῶν ἀνθρώπων ἐπὶ χρόνον παραμένει ὕμνων τυχοῦσα. τὸ δὲ 10 τοιοῦτον διαπράξασθαι ὀλίγοις ῥᾴδιόν ἐστι καὶ εὐκατόρθωτον, τὸ καὶ πλουτεῖν καὶ ἐπαινεῖσθαι. προτρέπεται δὲ αὐτὸν δωρεῖσθαι τοῖς ποιηταῖς, ἵνα ὑμνηθῇ. BDEGQ

Scholia in Pythionicarum carmen IV.

Ἀρκεσιλάῳ Κυρηναίῳ ἅρματι. DEGQ

Τῆς τετάρτης ᾠδῆς ἡ στροφὴ καὶ ἀντίστροφος κώλων ιδ'. B
15 τὸ α' ὅμοιον τῷ (P III 1) Ἤθελον Χείρωνά κε Φιλλυρίδαν. τὸ β' ὅμοιον τῷ α'. τὸ γ' ἰαμβέλεγος. τὸ δ' ὅμοιον τῷ α' καὶ β'. τὸ ε' δίμετρον ἰαμβικὸν ὑπερκατάληκτον. τὸ ς' δακτυλικὸν πενθημιμερές. τὸ ζ' δίμετρον Ἰωνικὸν ἀπ' ἐλάσσονος ἀνακλώμενον. τὸ η' δακτυλικὸν πενθημιμερές. 20 τὸ θ' ὅμοιον τῷ (Archil. fr. 94) τίς σὰς παρήειρε φρένας. τὸ ι' δίμετρον τροχαϊκὸν ἀκατάληκτον. τὸ ια' δακτυλικὸν ἑφθημιμερές. τὸ ιβ' Εὐριπίδειον. τὸ ιγ' χοριαμβικὸν δίμετρον καταληκτικόν. τὸ ιδ' δίμετρον τροχαϊκὸν ἀκατάληκτον.

ἡ ἐπῳδὸς κώλων ιγ'. τὸ α' ὅμοιον τῷ Ἤθελον Χείρωνά B

---

1 δι' ὑπερβατοῦ **B**: δὲ ὑπερβατοῦ **E** δὲ ὑπερβατῶς **Q** γὰρ ὑπερβατῶς **DG** 2 l.] ἢ **B** ‖ λείπει τὸ ἔχει] π(αρὰ) τ(ὸ) ἔχειν **E** 5 κελαδεινῶν **r** κελαδεννῶν **CP**: κελαδεῖν 7 l. **BE** (sed γινωσκομένα δ' ἀρετά scriptum): γινωσκομένα D[cp]**GQ** 8 sch. b. praem. ἢ οὕτως **B** ἄλλως **EQ** γινωσκομένα **DG** ‖ δὲ om. **E** 10 τοιοῦτο **B**? ‖ ἐστι om. **E** 11 τὸ **B**: τὸ δὲ s. τόδε 14—92, 8 cfr. Tricl. p. 20 Schn. 14 ἀντίστροφος ego: ἀντιστροφὴ 19 ἀνακλώμενον] acatalecton Tricl. 24 ἐπῳδὸς **r**: ἐπῳδὴ

κε Φιλλυρίδαν. τὸ β' ὅμοιον τῷ τίς σὰς παρήειρε φρένας. τὸ γ' δακτυλικὸν πενθημιμερές. τὸ δ' ἰαμβέλεγος. τὸ ε' δίμετρον τροχαϊκὸν ἀκατάληκτον. τὸ ς' προσοδιακὸν τρίμετρον καταληκτικόν. τὸ ζ' ὅμοιον τῷ τίς σὰς παρήειρε φρένας.
τὸ η' προσοδιακόν. τὸ θ' ἰαμβέλεγος, τοῦ πρώτου πενθημιμεροῦς λείποντος μιᾷ συλλαβῇ. τὸ ι' ὅμοιον τῷ τίς σὰς παρή ειρε φρένας. τὸ ια' τὸ αὐτό. τὸ ιβ' ὅμοιον τῷ α'. τὸ ιγ' δίμετρον τροχαϊκὸν ἀκατάληκτον. 5

BDEGQ Inscr. a. Γράφεται ἡ ᾠδὴ Ἀρκεσιλάῳ Πολυμνήστου παιδὶ, Κυρηναίῳ τὸ γένος τῆς Λιβύης, νικήσαντι τὴν τριακοστὴν πρώτην Πυθιάδα. ἔνιοι καὶ ⟨τὴν⟩ ὀγδοηκοστὴν Ὀλυμπιάδα· ἀλλ' οὐκ ἔγραψεν εἰς τὴν Ὀλυμπιακὴν αὐτοῦ νίκην, καίτοι μετὰ τὴν Πυθικὴν γενομένην, ἀλλ' εἰς τὰ Πύθια μόνον. γράφει δὲ καὶ εἰς ταύτην καὶ ἑτέραν αὐτοῦ νίκην ἐφεξῆς, ἥτις καὶ οἰκειοτέρα ἐστὶ κατὰ τὰ νοήματα καὶ κατὰ τὴν οἰκονομίαν· ἡ γὰρ δὴ προκειμένη ᾠδὴ ἱστορικὴν ἔχει παρέκβασιν. τὰ γὰρ ἐπὶ Κυρήνης κτίσεως καὶ τῶν ἐπ' αὐτῇ ταραχῶν περιέχει. ὁ δὲ Ἀρκεσίλαος τοὺς μὲν ἀνεῖλε, τοὺς δὲ ἐφυγάδευσεν, ἐν οἷς τις ἦν καὶ Δαμόφιλος, ὃς ἐκπεσὼν τῆς πατρίδος ἦλθεν εἰς Θήβας, ὑπὲρ οὗ φαίνεται ὁ Πίνδαρος παρακαλῶν καὶ βουλόμενος αὐτὸν διαλλάξαι καὶ ἀξιῶν τὴν Μοῦσαν παραστῆναι τῷ Ἀρκεσιλάῳ, καθ' ἣν ἡμέραν διαπέμπεται τὸν ἐπίνικον. οὐ γὰρ προσκαλεῖται αὐτῷ γράφων παραστῆναι τὴν Μοῦσαν· οὐ γὰρ ἂν διωρίσατο ἐν μιᾷ ἡμέρᾳ γράψαι τὸν ὕμνον. 1a DEGQ b. [Σάμερον μὲν χρή σε παρ' ἀνδρὶ φίλῳ:] ταύτην ἔγραψεν Ἀρκεσιλάῳ τῷ Κυρηναίων βασιλεῖ 10 15 20 25

---

3 προσοδικὸν B (non Tricl.) 5 item 9 γράφεται] γέγραπται μὲν B ‖ πολυνμνήτῳ DG 11 ἔνιοι καὶ ὀγδ. (π') ὀλ. BCP (τὴν add. r): ἔνιοι ὀλυμπιάδα DE ἔνιοι δὲ ὀλ. GQ. Scrib. vid. ἐνίκησε δὲ καὶ τὴν π' ὀλ. 12 ὀλυμπικὴν BE 14 δὲ καὶ DEGQ: καὶ (s. δὲ καὶ?) B δὲ rb ‖ εἰς delend. vid. ‖ αὐτοῦ νίκην codd. prave; αὐτῷ ᾠδὴν τὴν b. Ft. αὐτῷ νίκην τὴν, cl. sch. Aristid. p. 216 Fr. 15 καὶ (pr.) om. E 15. 16 οἰκονομίαν] + ἐπίνικον λέγω (?) B + ἐπίνικος CP 16 δὴ om. E 17 ἐπὶ] περὶ? ‖ κτίσεως κυρ. DGQ ‖ ἐπ' αὐτῇ BDG[cp]: ἐπ' αὐτῆς EQ ἐν αὐτῇ Beck. Ft. ἐπ' αὐτοῦ 19 τις om. DGQ 20 ὁ] καὶ E 22 ἡμέρα E 23 αὐτῷ codd 25. 26 l. BE: σάμερον μὲν (om. D) χρή σε DGQ ἄλλως CP. L. seclusi 26 κυρηναίῳ EQ

νικήσαντι τὴν τριακοστὴν πρώτην Πυθιάδα, καὶ γεγονότι ἀπὸ τοῦ πρώτου Βάττου. Κυρήνης γὰρ πρῶτος ἐβασίλευσε Βάττος ὁ Πολυμνήστου, ὁ καὶ τὴν ἀποικίαν ἐκ Θήρας εἰς Λιβύην ἀπαγαγὼν καὶ Κυρήνην οἰκίσας, ὃς διάδοχον τῆς
5 ἀρχῆς κατέλιπεν Ἀρκεσίλαον. παρὰ δὲ τούτου παρέλαβε τὴν δυναστείαν Βάττος ὁ ἐπικληθεὶς εὐδαίμων· τοῦ δὲ Βάττου ἄλλος γίνεται Ἀρκεσίλαος, καὶ οὕτω παῖς παρὰ πατρὸς τὴν δυναστείαν παρέλαβε, καὶ τέσσαρες μὲν Βάττοι, τέσσαρες δὲ Ἀρκεσίλαοι ἐγένοντο. πέμπτος δέ ἐστιν Ἀρκεσίλαος Φερετίμης
10 υἱός, οὗ καὶ Ἡρόδοτος (4, 162) μνημονεύει. ὁ δὲ τελευταῖος οὗτος Ἀρκεσίλαος δολοφονηθεὶς ὑπὸ Κυρηναίων ἀπέβαλε τῶν Βαττιαδῶν τὴν ἀρχὴν ἔτη διακόσια διαμείνασαν. Ἡρόδοτος (4, 155) μὲν οὖν φησιν, ὅτι ἡ Πυθία τὸν πρῶτον Βάττον οὕτω προσηγόρευσεν Ἀριστοτέλην πρότερον λεγόμενον, τῇ Λι-
15 βύων φωνῇ· Λίβυες γὰρ Βάττους τοὺς βασιλεῖς λέγουσιν· οἱ δὲ ὅτι ἰσχνόφωνος ἦν καὶ περὶ τῆς φωνῆς πυνθανόμενον ἡ Πυθία Βάττον προσηγόρευσεν, ἐπεὶ καὶ τὸ ἐπέχεσθαι τὴν γλῶτταν βατταρίζειν φαμέν. ἔνιοι δὲ Κόκκυγα αὐτὸν καλεῖσθαι, διὰ τὸ μὴ γεγωνὸς φθέγγεσθαι. ὁ δὲ Ἀκέσανδρος
20 (FHG IV p. 286) μὴ ἐκ γενετῆς αὐτόν φησιν ἰσχνόφωνον γεγενῆσθαι, ἀλλ' ἀπὸ ταὐτομάτου δεθῆναι τὴν γλῶτταν. ἦν δὲ ὁ ἀνὴρ ῥητορικός, φησί, καὶ συμβουλεύσασθαι δυνάμενος.

1b DEGQ

1 a. τάττεται ἡ ᾠδὴ εἰς τοὺς ἐπινίκους, μεῖζόν τι ἢ κατὰ BDEGQ

---

2 sqq. Herodot. 4, 159 sqq. 12—18 Tzetzes ad Lyc. 886. 17 Hes. βατταρίζειν. Bekker. anecd. I, 224. EM 191, 22

---

1 καὶ γεγονότι scripsi: ἢ γεγονότι E ἢ γεγονότ(ι) Gcp ἢ γεγονότος H ἢ γεγονότα KQ ἢ γεγονέται? D ἢ γέγονεν B ὃς γέγονεν anom. ap. Oxon. 4 καὶ om. E ‖ οἰκίσας anom. ap. Oxon.: οἰκήσας 5 ἀρκεσίλαον EQ: τὸν ἀρκ. B υἱὸν ἀρκ. DG 6 δυναστείαν] βασιλείαν B 7 οὕτω B: οὗτος ‖ παρὰ om. E 8 δυναστείαν] βασιλείαν Q ‖ δὲ] καὶ D δὲ καὶ Q 9 δὲ om. EQ ‖ πέμπτος falsum; ft. τρίτος scrib. 10 οὗ καὶ DEG: οὗ BQ ὡς Cr ‖ ἡρόδοτος Wesseling ad Herodot. 4, 162: ἡσίοδος 15 βασιλέας B ‖ λέγουσιν] φασίν B 16 καὶ om. DEGQ 18 γλῶσσαν BDG 20. 21 γενέσθαι ἰσχνόφωνον E 22 φησὶ om. BE ‖ δυνάμ. συμβουλ. DG 24 sch. 1a praem. ἄλλως DGQ ‖ τάττεται] + δὲ B

ἐπίνικον οὖσα διὰ τὸ μεμηκύνθαι καὶ πραγμάτων ἔχειν ἀφήγησιν ἐντοπίων, τὸ δὲ ἀνωτάτω καταλλαγὴν φυγάδος Δαμοφίλου τινός. διαλέγεται δὲ ὁ Πίνδαρος πρὸς τὴν Μοῦσαν, καὶ παραινεῖ αὐτῇ σήμερον παραστῆναι τῷ Ἀρκεσιλάῳ, εἰς ἐκείνην ἀναφέρων τὸν λόγον τὴν ἡμέραν, ἐν ᾗ ἔμελλε δέξασθαι τὸν ἐπίνικον ὁ Ἀρκεσίλαος. οὐ γὰρ εἰ ἐν νουμηνίᾳ λόγου χάριν ἐγράφη, ἐκείνῃ ὑπεστήσατο τῇ ἡμέρᾳ καὶ παρὰ τῷ Ἀρκεσιλάῳ ἔσεσθαι, ἀλλ' ὃ ἔμελλεν ἔσεσθαι, τοῦτο ὡς ἐπὶ τοῦ καιροῦ καὶ ἐνεστηκότος εἶπε. τὴν δὲ Κυρήνην εὔιππον εἶπεν οὐκ ἐκ τοῦ παρατυχόντος, ἀλλ' ὅτι Ποσειδῶν τοὺς Λίβυας διδάξειε τὴν τῶν ἁρμάτων κατάζευξιν· καὶ τὴν ἱππίαν δὲ Ἀθηνᾶν ἐν Λιβύῃ γενέσθαι φασί. τινὲς δὲ ὡς ὅτι ἡ ἱππικὴ ἐν τῇ Λιβύῃ εὑρέθη. inscr.[b] DEGQ b. ἄλλως· Σάμερον μέν: ὁ νοῦς· σήμερον μὲν προσήκει σε παραστῆναι καὶ τῷ προσφιλεστάτῳ ἀνδρὶ καὶ βασιλεῖ τῆς εὐίππου Κυρήνης, ὅπως ἄν, ὦ Μοῦσα, σὺν τῷ Ἀρκεσιλάῳ κώμους ἄγοντι καὶ χορεύοντι ἐπὶ τῇ νίκῃ, τοῖς τε Λητοῦς παισὶ καὶ τῇ Πυθῶνι τὸν ὀφειλόμενον ὕμνον αὐξήσῃς καὶ ἀποδῷς τὸν τῶν ὕμνων οὖρον.

DGQ 1 c. σὺν Ἀρκεσίλᾳ: τὸ σύν πρὸς τὸ αὔξῃς, ἵν' ᾖ συναύξῃς. κωμάζοντι δέ, κώμους ἄγοντι· κώμους δὲ ἄγουσιν οἱ νικῶντες κατὰ τὴν ἑαυτῶν πατρίδα.

BDEGQ 4. Λατοΐδαισιν: ἤτοι τοῖς Ἀπόλλωνος ἢ τῷ Ἀπόλλωνι μόνῳ, ὥστε τὸ πληθυντικὸν ἀπὸ τοῦ ἑνικοῦ ἐξενεχθῆναι, ὅπερ καὶ βέλτιον, τῷ αἰτίῳ τῆς νίκης ὀφείλεσθαι τὸν ὕμνον καὶ τῷ τόπῳ, οὗπερ ὁ ἀγὼν ἐπώνυμος. δύναται δὲ καὶ τοὺς Κυρηναίους διὰ τὸ Ἀπόλλωνος καὶ Κυρήνης τὸν Ἀρισταῖον γενέσθαι, ὃν παρὰ Κυρηναίοις ὡς οἰκιστὴν διὰ τιμῆς ἄγε-

1 ἐπίνικον] τὸν ἐπ. DGQ 7 ἔγραψεν DGQ 8 ὡς om. B 9 ἐνεστῶτος E 11 τὴν (alt.) om. E ‖ ἱππίαν BDG: ἱππείαν EQ 12 ὡς ὅτι BGQ: ὅτι D ὡς E 13 ἄλλως — 14 ὁ νοῦς] ἡ δὲ διάνοια B ὁ δὲ νοῦς D ‖ σήμερον E 15 προσηνεστάτῳ B 18 ὀφειλημένον E ‖ τὸν τῶν ὕμνων] τὸν ὕμνον, B τῶν τὸν ὕμνων D ‖ τὸν ὀφ. αὐξήσῃς καὶ ἀποδῷς τῶν ὕμνων οὖρον Lehrs p. 120 21 δὲ (alt.)] γὰρ Q 23 l.] τὸ δὲ λατ. B λατ. ὀφειλόμενον r ‖ ἀπόλλωνος] + φησιν B 24 ἀπὸ] ἀντὶ? 26 ὁ om. B 27 κυρηναίους] + νοεῖσθαι Cr ‖ τῷ ἀπόλλωνι D(G[cp])

σθαι· δύναται δὲ καὶ τοὺς Δελφοὺς λέγειν. ἑτέρωθι γὰρ (fr. 192) Ἀπολλωνίδας αὐτοὺς προσηγόρευσε· Δελφοὶ θεμίστων [ὕμνων] μάντιες Ἀπολλωνίδαι.

6. ἔνθα ποτὲ χρυσέων: λόγος τις τοιοῦτος περιηχεῖ, BDEGQ
5 ὅτι ὁ Ζεὺς καταμετρήσασθαι τῆς οἰκουμένης τὸ μεσαίτατον βουληθεὶς ἴσους κατὰ τὸ τάχος ἀετοὺς ἐκ δύσεως καὶ ἀνατολῆς ἀφῆκεν· οἱ δὲ διϊπτάμενοι συνέπεσον ἀλλήλοις κατὰ τὴν Πυθῶνα, ὥστε τὴν σύμπτωσιν ὁρίζειν αὐτόθι τῆς ὅλης οἰκουμένης τὸ μεσαίτατον. ὕστερον δὲ σημεῖον τοῦ γεγονότος
10 καὶ χρυσοῦς ἀετοὺς κατασκευάσας ἀνέθηκε τῷ τοῦ θεοῦ τεμένει.

7 a. Διὸς αἰετῶν πάρεδρος: ὅπου ποτὲ ἡ τῶν χρυ- BDEGQ σῶν τοῦ Διὸς ἀετῶν πάρεδρος καὶ ἱέρεια τοῦ Ἀπόλλωνος Πυθία οὐκ ἀποδημοῦντος τοῦ θεοῦ ἀλλὰ παρόντος ἐχρησμῴδησε
15 συνοικιστὴν τῆς Λιβύης γενέσθαι τὸν Βάττον, ὅπως ἂν τὴν ἱερὰν νῆσον Θήραν καταλιπὼν ὁ Βάττος κτίσῃ τὴν εὐάρματον καὶ ἱππικωτάτην πόλιν ἐν τῷ τροφιμωτάτῳ καὶ ἄκρῳ μέρει τῆς Λιβύης, καὶ τὸ τῆς Μηδείας ἔπος ἀνασώσῃ τὸ περὶ τῆς Θήρας, ὅτι δὴ ἑπτακαιδεκάτῃ γενεᾷ ἀποικία ἔσται ἐκ Θήρας
20 εἰς Λιβύην, ὅπερ δὴ ἔπος ἡ τοῦ Αἰήτου παῖς ἡ ὀργίλη Μήδεια ἐκ τοῦ ἀθανάτου ἀπεφθέγξατο στόματος, ἡ τῶν Κόλχων βασιλίς. b. ἄλλως· Διὸς αἰετῶν: ὅτι ὑπὸ Διὸς ἀφεθέντες EGQ ἐκ τῶν περάτων τῆς γῆς συνέπεσον ἐνταῦθα, καὶ οὕτως ἐγνώσθη τὸ μέσον τῆς γῆς. ὧν εἰκόνες οἱ χρυσοῖ ἀνέκειντο

4—11 & 22—96, 2 Plut. de def. or. 1. sch. Eur. Or. 331. sch. Soph. O. R. 480. Strab. IX p. 419 sq. Claudian. 16, 11—16

---

3 αὐτοὺς **E**: αὐτὸς **BDQ** αὐτ(ὸς) **G**cp 2. 3 θεμίστων **EGQ**: θεμιστῶν **B** θεμιστίων **D** 3 ὕμνων del. **h** 4—11 cfr. Thom. p. 20—21 Schn. 4 l.] + διός **B** ‖ περιηχεῖ **B**: περιέχει 5 τὸ μεσ. τῆς οἰκ. καταμ. **B** 6 βουληθεὶς] ἀληθὲς? **E** 8 τὴν σύμπτωσιν **BE**: τοῖς σύμπασιν **DGQ** 10 χρυσέους **DGQ** ‖ ἀετοὺς om. **D** 12 l.] ὁ δὲ νοῦς **B** ‖ ποτὲ ἡ τῶν χρυσῶν **B**: ἡ τῶν ποτε χρυσῶν **DEGQ** 13 αἰετῶν **EG** ‖ καὶ ἱέρεια] καὶ? ἱέρειά τε **B** (καὶ a **B** abesse vid.) 15 τῆς λιβ. om. **DG** 16 εὐάρμοστον **BE** 18. 19 τὸ περὶ τῆς θ. ἀνασώσῃ **DGQ** 19 δὴ] δὲ **B**?**EQ** 20 ὀργίλη **BE**(**D**cp**G**cp): ὀργίλος **CQ** 22 διὸς αἰετῶν] δ. ἀετοί **E** διὸς ἀετῶν **Q** om. **G** 23 post περάτων sch. 8 et 9 inser. **E** ‖ συνέπεσεν **E** 24 ἀνάκεινται **Q**

DEGQ παρὰ τὸν ὀμφαλὸν ἀετοί· | ἤρθησαν δὲ ἐν τῷ Φωκικῷ πολέμῳ, ὃν συνεστήσατο Φιλόμηλος.

BDEGQ 8. οὐκ ἀποδάμου: διὰ τούτων ἐμφαίνει τῶν ῥηθέντων τὸ ἀσφαλές. τότε γὰρ ἡ Πυθία μάλιστα ἀκριβέστερον χρησμῳδεῖ, ὅτε καὶ πάρεστι τῷ μαντείῳ ὁ θεός. 5

BDEGQ 9. ἱέρεα: ἡ ἱέρεια· καὶ οὕτως τονιστέον· ἔστι γὰρ κατὰ ἀποβολὴν τοῦ ι. οὐ γὰρ κατὰ Ἀττικοὺς ἱερέα. Ὅμηρος (Z 300) γοῦν φησι·

τὴν γὰρ Τρῶες ἔθηκαν Ἀθηναίης ἱέρειαν,

συστείλας τὴν τελευταίαν. 10

BDEGQ 10a. χρῆσεν οἰκιστῆρα Βάττον: περὶ τῆς τοῦ Βάττου εἰς τὸ μαντεῖον ἀφίξεως οὐχ ὁμολογοῦσιν ἀλλήλοις οἱ συγγραφεῖς. οἱ μὲν γὰρ ἕνεκεν τῆς φωνῆς αὐτόν φασι, καὶ τὸν χρησμὸν ἄνω καὶ κάτω θρυλλοῦσι τόν (Herodot. 4, 155)·

Βάττ', ἐπὶ φωνὴν ἦλθες· ἄναξ δέ σε Φοῖβος Ἀπόλλων 15
ἐς Λιβύην πέμπει μηλοτρόφον οἰκιστῆρα.

BEGQ | οἱ δὲ στάσεως παραπεσούσης πολιτικῆς· ὁ γοῦν Μενεκλῆς (FHG IV p. 449) πιθανωτέραν δοκεῖν φησι τῆς στάσεως τὴν αἰτίαν, μυθικωτέραν δὲ τὴν περὶ τῆς φωνῆς. φησὶ δέ, ὅτι οἱ

---

6 Moeris ἱερεία. Choerob. in Theod. can. (Gramm. Graec. IV 1, p. 221, 33 Hilg.); cfr. Bekker. anecd. III p. 1314.
17 cfr. Tzetzes ad Lyc. 886 (p. 287, 11 S.)

---

1 ἀετοί om. E ‖ ἤρθησαν δὲ] οἱ δὲ χρυσοῖ ἀετοὶ ἤρθησαν D 2 φιλόμαχος E 3 sch. 8 et 9 in sch. 7b inser. E; cfr. ad. 95, 23 ‖ l.] + ἀπόλλωνος CE + τυχόντος Q ‖ διὰ Cr: ἐκ B om. DEGQ 5 καὶ om. DGQ ‖ ὁ θεὸς τῷ μ. DG 6 ἱέρεα — οὕτως om. B ‖ ἡ Q: καὶ E μὴ DG ‖ τονιστέον DG(Q): τονιστέον ἱέρεα CE ἱέρεα δὲ προπαροξυτόνως B 7 οὐ — ἱερέα om. D ‖ κατὰ ἀττικοὺς BE (recte, scil. τονιστέον): ἀττικοὺς G ἀττικὸν Q ‖ ἱερέα BEQ: ἱέρεα G 7. 8 ὅμηρος γοῦν BE: καὶ ὅμ. D ὅμ. GQ 10 συστ. τ. τελευτ. om. B 11 βάττον om. DGQ ‖ post l. inser. λείπει τὸ ἔσεσθαι DGQ; cfr. ad 97, 20 ‖ περὶ] + δὲ DG + γὰρ Q 12 ὁμοφωνοῦσιν DGQ 13 ἕνεκα E ‖ αὐτόν φασι codd.: φασιν αὐτὸν ἐλθεῖν r (ad sensum recte) 14 ἄνω καὶ κάτω om. B ‖ ἄνω] + τε Q ‖ ἐπιθρυλλοῦσι B 17 παραπεσούσης BE: περιπεσούσης DGQ ‖ γοῦν μενεκλῆς B: γὰρ μ. E μ. γοῦν GQ 18 πιθανωτέραν Gr: πιθανώτερον BEQ ‖ δοκεῖν] + τῆς E ‖ τῆς στ. τὴν αἰτ. BE: τὴν στ. τὴν αἰτ. GQ 19 μυθικώτερον B

πολῖται ἐν τῇ Θήρᾳ ἐστασίασαν καὶ διέστησαν ἀλλήλων, ἡγεῖτο δὲ τῆς ἑτέρας τῶν στάσεων ὁ Βάττος· διαγωνισαμένων δὲ τῶν στάσεων τοὺς τοῦ Βάττου συνέβη ἐκπεσεῖν τῆς πόλεως καὶ φυγεῖν τὴν χώραν, ἀπογινώσκοντας δὲ τὴν εἰς τὴν πατρίδα
5 κάθοδον περὶ ἀποικίας βουλεύεσθαι· ἀποδημήσας δὲ εἰς Δελφοὺς Βάττος ἠρώτα περὶ τῆς στάσεως, πότερον διαγωνίσονται πρὸς τὴν ἀποικίαν ἢ ἑτέρωσέ ποι ἀποικίαν στείλωνται. τὸν δὲ θεὸν χρῆσαι·

Βάττε, ⟨τὸ⟩ πρόσθε κακόν, τὸ δὲ δεύτερον ἐσθλὸν ἐρευνᾷς.
10 ἔρχεο, λεῖφ' ἁλίαν χώραν· ἤπειρος ἀμείνων
ἠῷος. πρότερον δόλον ἔκβαλε, πείθεϊ πείθων.
στέρξον γῆν ὁσίως, ἣν μισεῖ πολλὴν ἀθεμίστως.
οἷά τ' ἀνὴρ ἔρξει, τοῖον τέλος αὐτὸν ἱκάνει.

b. ἱερὰν δὲ εἶπε τὴν Θήραν ἤτοι διὰ τὸ περὶ τὴν γῆν ἰδίωμα·
15 κισσηρώδης γὰρ οὖσα πολυφόρος ἐστὶ καὶ πολύκαρπος· ἢ ὅτι Κάδμος ἐπιβαλὼν καὶ τὴν νῆσον οἰκίσας βωμοὺς ἱδρύσατο Ποσειδῶνος καὶ Ἀθηνᾶς. | Ἱεροκλῆς δέ φησι (FHG IV p. 430) **B(D)EGQ** τοὺς ἐκ Λακεδαίμονος ἐποικίσαντας Ἀπόλλωνι αὐτὴν ἀνιερῶσαι. c. ἐγχωρεῖ δὲ καὶ κόσμου χάριν κεῖσθαι τὸ ἐπίθετον. **BEGQ**
20 d. οἰκιστῆρα Βάττου: λείπει τὸ ἔσεσθαι [οἰκιστῆρα]. **B(DGQ)**
e. νᾶσον τὴν Θήραν λέγει. **B**

---

15 Herodot. 4, 147

---

1 ἐστασ. ἐν τῇ θήρᾳ **B** ‖ ἐν τῇ θ.] περὶ (τὴν) θήραν **GQ** 2 τῆς ἑτέρας στάσεως **E** 4 τὴν (alt.)] τοὺς **E** 5 βουλεύσασθαι **GQ** 7 πρὸς τὴν ἀποικίαν codd. prave: περὶ τῆς εἰς τὴν πατρίδα ἐπαναστροφῆς **r** (ad sensum recte) 9 τὸ add. **h** ‖ πρόσθε **B**: πρόσβα s. πρὸς βα **EGQ** ‖ ἐρευνᾷς **h**: ἐρεύνα 11 post ἠῷος dist. **BE** (de **GQ** n. l.) ‖ πότερον **GQ** ‖ δόμον et πείθεο μύθῳ **h**; δόλον ἐκβαλ'. ἐμοὶ δὲ πεποιθὼς C. O. Müller Orch. p. 338. Ft. λόγον ἔκβαλε, πείθεο πείθων 12 στέρξον C. O. Müller: στερρὸν **BGQ** στερὸν **E** στερρὴν **b** (male) ‖ πολλὴν corrupt.: δὴν C. O. Müller σπλὴν? I. L. Heiberg ‖ στέρξον γ. ὁσίως· στερρὴν μισεῖς ἀθ. C. Müller FHG l. l. 13 ἔρξει **BE**[1]: ἔρξεις (ἔρξ. **G**) **E**[s]**GQ**. Ft. οἷά κ' ἀνὴρ ἔρξῃ 16 οἰκήσας **B**[ac]**E** ‖ βωμὸν **GQ** 17 ἱεροκλῆς — 18. 19 ἀνιερῶσαι in sch. 14 inser. **D**; cfr. 98, 7 18 ἀποικίσαντας **B**? (legi nequit) **r** ‖ αὐτὸν **B**[ac] 18. 19 ἀνιέρωσε **DQ** 19 καὶ om. **E** ‖ ἐγκεῖσθαι **B** 20 de **DGQ** cfr. ad 96, 11 ‖ ἔσεσθαι **DGQ** 96, 11): ἔρεσθαι **B** ‖ οἰκιστῆρα om. **DGQ** (ibid.); seclusi

DEGQ f. ἱερὰν νᾶσον τὴν Θήραν οὐχ ἁπλῶς ὀνομάζει, ἀλλ' ὅτι Κάδμος κατὰ ζήτησιν Εὐρώπης τῆς ἀδελφῆς στελλόμενος προσορμισθεὶς τῇ νήσῳ ἀνέκτισε Ποσειδῶνος καὶ Ἀθηνᾶς ἱερὸν αὐτόθι, ὡς ἱστορεῖ Θεόφραστος.

BDEGQ 14. ἀργινόεντι μαστῷ: Ἀρίσταρχος μὲν τὸ Ὁμηρικὸν (I 141) οὖθαρ ἀρούρης παράγειν αὐτόν φησι πιθανῶς, ὑπαλλαξάμενον τὸν μαστόν· Ἱεροκλῆς δέ φησι τὴν πόλιν κεῖσθαι ἐπὶ λόφου μαστοειδοῦς λευκογείου. μᾶλλον δὲ ἀπὸ τῆς εὐτροφίας, ὡς Ἀρίσταρχος· καὶ γὰρ ὁ ἀργινόεις συνᾴδει τούτῳ μᾶλλον, ἀπὸ γάλακτος. 10

DEGQ 15a. καὶ τὸ Μηδείας ἔπος ἀγκομίσαι: τουτέστιν ἀνασώσειεν, οἷον ἐπὶ τέλος ἀγάγοι. ἔστι δὲ ὁ Ἀριστοτέλης ιζ´ ἀπὸ Εὐφήμου τοῦ Ποσειδῶνος καὶ Εὐρώπης τοῦ λαβόντος

BDEGQ τὴν βῶλον παρὰ Τρίτωνος. b. ἄλλως· ἀγκομίσαι: ἀνακομίσειεν, ἐπιμελείας ἀξιώσειεν. ἔχει δὲ ἡ ἱστορία οὕτως· ἡνίκα 15 εἰς τὴν Σύρτιν ἐμπεσόντες οἱ Ἀργοναῦται ἔφερον διὰ τῆς Λιβύης ἐπ' ὤμων τὴν Ἀργώ, εἶτα καθῆκαν εἰς τὴν θάλασσαν, συντυχόντες Εὐρυπύλῳ τῷ Ποσειδῶνος παιδὶ καὶ ἐπειγόμενοι πρὸς τὸν πλοῦν ἐδέξαντο ξένια τὰ παρατυχόντα. βῶλον γὰρ ἐκεῖνος δραξάμενος ἔδωκε γῆς· ὁ δὲ Εὔφημος ἐδέξατο· 20 εἶτα πρὸς τῇ Θήρᾳ ὑπερκλύσαντος τοῦ κύματος καὶ διαλυθείσης τῆς βώλου ἐμαντεύσατο ἡ Μήδεια, τοὺς ἀπ' Εὐφήμου ἑπτακαιδεκάτους ἀποικίαν στεῖλασθαι ἐκ Θήρας εἰς Λιβύην.

---

11 et 14 cfr. Hes. ἀνακομίσαι

---

1 νῆσον DQ 4 an Θεόχρηστος? 5—10 cfr. Thom. p. 21 Schn. 5 ἐν ἀργ. μ. E 6 παράγειν — 7 μαστόν om. D 6 φησὶν αὐτὸν B 7 ὑπαλλαξάμενον] + δὲ B ‖ φησι] + τοὺς λακεδαίμονας — ἀνιέρωσε καὶ (97, 17—19) D; cfr. ad 97, 17 8 λευκογαίου B?Q 9 ὡς ἀρίστ. om. B ‖ ὁ om. E 11 ἐκκομίσαι E ἀγκομίσαιτο D 12 οἷον om. b ‖ τέλος] τὸ τέλος E 14 ἄλλως· ἀγκομίσαι EQ (ἐγκ. ft. E): ἀγκομίσαιτ(ο) DG καὶ τὸ μηδείας ἔπος ἀγκομίσαι ἀντὶ τοῦ B 14. 15 ἀνακομίσαι E 15 ἐπιμελ. ἀξ. om. DEGQ 17 ἐπ' ὤμων] ἐπ' ὦμον Q ἐπώνυμον E 18 τῷ] τῷ τοῦ DGQ 19. 20 ἐκεῖνος γὰρ βῶλον λαβὼν ἀπὸ τῆς γῆς ἔδωκεν C(r) 20 δραξάμενος ἔδωκε γῆς scripsi: δεξάμενος ἔδωκε γῆς BE γῆς δεξ. ἔδ. DGQ 22 μήδεια] + ἐν τῇ Θήρᾳ ὄντων αὐτῶν Cr ‖ ἀπὸ BDG 23 ἑπτακαιδεκάτους scripsi cl. p. 109, 1: ιζ´ (s. ἑπτακαίδεκα) DEGQ ἑπτακαιδεκάτῃ γενεᾷ B

ὁ δὲ Εὔφημος γίνεται παῖς Ποσειδῶνος καὶ Μηκιονίκης τῆς Εὐρώτα θυγατρὸς, ὃς ἔγημε θυγατέρα Ἀλκμήνης Λαονόμην, ἀφ' οὗ ἑπτακαιδέκατος ὢν ὁ Βάττος [ὁ καὶ Ἀριστοτέλης] ἀποικίαν εἰς Λιβύην ἐστείλατο. κατὰ τὴν μαντείαν οὖν τῆς
5 Μηδείας ἑπτακαιδέκατος γεγονὼς ὁ Βάττος ἐδυστύχησε τὴν φωνὴν, καὶ ἐκ θεοῦ, τίς λύσις εἴη, ἀνερωτῶντι αὐτῷ ἀνείλετο οὕτω·

Βάττ', ἐπὶ φωνὴν ἦλθες· ἄναξ δέ σε Φοῖβος Ἀπόλλων
ἐς Λιβύην πέμπει μηλοτρόφον οἰκιστῆρα.

10 τὸ δὲ σημεῖον, ὅτι ἑπτακαιδεκάτῃ γενεᾷ ἀπὸ τῶν Ἀργοναυτῶν φησι γενομένους ἐκ τῶν Λημνιάδων οἰκίσαι τὴν πρότερον Καλλίστην, ὕστερον δὲ Θήραν. 24 B

17 a. ζαμενής: ἡ ἄγαν ὀργίλη καὶ πικρά. τὸ δὲ ἐπίθετον ἐκ τῆς ἱστορίας, ὅτι ὑπέμεινε καὶ τοὺς ἑαυτῆς ἀπο-
15 σφάξαι παῖδας. 22 B — BDEGQ

17 b. Θήραιον: τὸ περὶ τῆς Θήρας λεχθέν. ἢ τὸ ἐν τῇ Θήρᾳ εἰρημένον· ἐκεῖ γὰρ ὁ λόγος τῆς Μηδείας καὶ τὸ μάντευμα ἐρρέθη. — DGQ

18. ἀθανάτου στόματος: τῆς Μηδείας εἶπεν, ὡς μὲν
20 Χαῖρις, ἐκ μέρους τὴν ἀθάνατον, ἐπεὶ καὶ Ἡσίοδος ἐν τῇ Θεογονίᾳ (992 cl. 965) ἀθάνατον αὐτήν φησιν· ὡς δὲ Ἀσκληπιάδης, ὅτι οὐδὲν τῶν ῥηθέντων ὑπ' αὐτῆς ἀτελὲς γεγένηται οὐδὲ ἐφθάρη. 17 B — BDEGQ

---

1 Tzetzes ad Lyc. 886. Chil. II 614 13 EM 407, 43. EG 228, 44 (ibid. p. 625, 10). Suid. 20 cfr. Athenag. pro Christ. 14

---

1 μυκιονίκης EQ[ac] 2 εὐρώτα] ὠρίωνος Tzetzes Chil. ‖ ὃς — θυγατέρα om. D 3 ὁ καὶ ἀριστ. om. DEGQ; seclusi 4 ἐς DG 6 ἐκ B: εἰς EQ εἰ DG 8 ἄναξ — 9 μηλοτρόφον om. D 9 ἐς B: εἰς 10—12 = sch. rec. p. 21, 16 Schn. 10 ἑπτακαιδεκάτην γενεὰν (et 11 γενομένην) b 11 γενομένους BDEG sch. rec.: γενομένῃ Q ‖ οἰκίσαι et οἰκῆσαι B οἰκιστ(ὴν) E 13 ζαμενής] + παῖς BE ‖ ὀργίλος Cr(D[cp]G[cp]) 14 καὶ om. Cr 15 παῖδας] + καὶ τὸν ἀδελφὸν ἄψυρτον C(r) (cfr. Thom. p. 21 Schn.) 19 ad mg. ταῦτα πρὸ τοῦ φᾱμὶ γάρ B (B²?). Cfr. ad 101, 11 20. 21 ἐν τῇ θεογονίᾳ om. B(!)

BDGQ 22. *κέκλυτε*: ἐπακούσατε, ὦ μεγαλοψύχων τε ἀνδρῶν καὶ θεῶν παῖδες. 29d B

BDEGQ 24 a. *φαμὶ γὰρ τᾶσδ' ἐξ ἁλιπλάκτου*: τῆς Θήρας, [ἤτοι] ὅτι ἐνάλιος οὖσα πλήττεται ὑπὸ κυμάτων· ἢ τῆς βώλου τῆς διαλυθείσης ὑπερκλύσαντος τοῦ κύματος τὴν ναῦν. 25a B 5
b. ὁ δὲ νοῦς· φημὶ γὰρ ἐκ ταύτης τῆς ἁλιπλάκτου γῆς τὴν Ἐπάφου κόρην Λιβύην τῶν πόλεων τὴν ῥίζαν καὶ καταβολὴν φυτεῦσαι καὶ σπεῖραι τὴν τοῖς ἀνθρώποις ἐν ἐπιμελείᾳ οὖσαν, ἐν τοῖς τοῦ Διὸς Ἄμμωνος θεμελίοις, τουτέστι τῇ Λιβύῃ. 18 B 10

BDEGQ 25 a. *Ἐπάφοιο κόραν*: τὴν Λιβύην τὴν ἡρωΐδα, ἀφ' ἧς καὶ ἡ χώρα. Ἐπάφου γὰρ τοῦ Διὸς καὶ Ἰοῦς Λιβύη, ἧς
DEGQ καὶ Ποσειδῶνος Βῆλος. b. ἄλλως· *Ἐπάφοιο κόραν*: τὴν Λιβύην· ὅτι ἡ χώρα Λιβύης τῆς Ἐπάφου τοῦ Διὸς καὶ Ἰοῦς
BDEGQ τῆς Ἰνάχου ὁμώνυμος. | εἰώθασι δὲ οὗτοι συμπλέκειν τὰ τῶν 15 χωρῶν ἢ πόλεων καὶ τὰ τῶν ἡρωΐδων ὀνόματα διακοινοποι-
BEGQ οῦντες, | οἷον (Pind. fr. 195)· εὐάρματε χρυσοχίτων, ἱερώτατον ἄγαλμα, Θήβα. τὸ μὲν γὰρ εὐάρματε τῆς πόλεως, τὸ δὲ χρυσοχίτων τῆς ἡρωΐδος.

BDEGQ 26. *ἀστέων ῥίζαν*: τὴν Κυρήνην. ἐξ αὐτῆς γὰρ καὶ 20 Ἀπολλωνία καὶ Τεύχειρα ἐκτίσθησαν.

BDEGQ 27. *μελησίμβροτον*: τὴν μελήσουσαν πολλοῖς. βούλεται δὲ λέγειν, ὅτι ἐκ τῆς Θήρας ἡ Λιβύη μεταφυτευθήσεται πόλεων ῥίζαν. 29 DEGQ

BDEGQ 28. *Διὸς ἐν Ἄμμωνος*: Ἄμμωνα Λίβυες τὸν Δία 25

---

20 Tzetzes ad Lyc. 877 25 sch. P. IX 89d

---

1 κέκλυτε **DGQ**: εἶπε δ' οὕτως. οὕτως εἶπε τοῖς ναύταις τοῦ πολεμικοῦ ἰάσονος **B** 3 l. **E** (sed om. τᾶσδ') **GQ**: + ποτὲ γᾶς **B** φαμὶ γὰρ τᾶσδ' **D** ‖ ἀλιπλάκτου **GQ**: ἀλιπλάγκτου **B** (ft. corr. in scrib. in -πλάκτου) **E** ‖ θήρας] + φησί **B** 4 ἤτοι seclusi ‖ ὑπὸ] + τῶν **Q** 6 ἀλιπλάγκτου **E** 7 πόλεων **B**s (Lehrs): πολιτῶν 8 τὴν om. **E** 9 θεμέθλοις **CD** 11 ἐπάφοιο δὲ κόραν **B** ‖ ἀφ' om. **C** 12 ἡ om. **E** ‖ χώρα] + ὁμώνυμος **Cr** ‖ τοῦ διὸς om. **E** ‖ ἰοῦς] + τῆς ἰνάχου ὁμώνυμος **B** 16 ἢ τῶν πόλεων **B** 20 ἀστέων] + δὲ **B** ‖ κυρήνην] + φησίν **B** 21 τάχειρα **B** 22 μελησίμβροτον] + δέ φησι **B** ‖ μελήσουσαν] διὰ φροντίδος οὖσαν **Cr** 23 λέγειν **BE**: εἰπεῖν **DGQ** 24 ῥίζα **B**. Expectes ἐν τῇ λιβύῃ μ. π. ῥίζα 25 l.] + θεμέθλοις **E** om. **B** ‖ ἄμμωνα] + δὲ **B**

προσαγορεύουσι καὶ οὕτω τιμῶσι, καὶ ἔστιν αὐτοῦ μαντεῖον ἐν Λιβύῃ· καὶ γὰρ καὶ Φαῖστος ἐν τοῖς Λακεδαιμονικοῖς (FHG IV p. 472) ἐπιβάλλων φησί·

Ζεῦ Λιβύης Ἄμμων κερατηφόρε κέκλυθι μάντι.

5 ἐνταῦθα δὲ πῶς τὴν Κυρήνην τοῦ μαντείου πλησίον εἶναί φησιν; ἀπέχει γὰρ ἱκανοῖς σταδίοις· ἀλλὰ ῥητέον, ὅτι πᾶσα ἡ χώρα ἀνιέρωται τῷ θεῷ. 24b B 33 DEGQ

29 a. ὅτι αἱ παραπλεύριοι ἄκανθαι αὐτῶν πτερύγια καλοῦνται. b. τὸ δὲ ἐλαχύ πρὸς σύγκρισιν τῶν ὀρνέων. 32 B — DEGQ / BDEGQ

10 c. ἀντὶ δὲ νησιωτικῶν καὶ θαλασσίων ἔργων ἠπειρωτικὰ καὶ ἱππικὰ μεταλήψονται. 29e B d. ὁ δὲ λόγος, ὅτι νησιῶται ὄντες οἱ Θηραῖοι ἠπειρῶται γίνονται. 29c B e. ὁ δὲ νοῦς· ἀντὶ δὲ τῶν μικροπτερύγων δελφίνων ἵππους μεταλήψονται καὶ ἡνία ἀντὶ κωπῶν, καὶ δίφρους κινήσουσι κατὰ τὸν δρόμον.
15 πτέρυγας δὲ τῶν δελφίνων τὰς ἀκάνθας φησὶ τὰς ἑκατέρωθεν τῶν βραγχίων, αἷς καὶ διανήχονται καὶ διΐπτανται ὥσπερ οἱ ἰχθύες. 29b B 28 DEGQ

32. ἀελλόποδας δὲ ἀπὸ τῶν ἑλκόντων τοὺς δίφρους εἴρηκεν. B

20 33 a. κεῖνος ὄρνις: ἡ βῶλος, κεῖνο ὄρνεον· τὸ γὰρ ὄρνεον ἐπὶ τῆς βώλου λαμβάνουσιν. B(D)EGQ

33 b. ἄλλως· κεῖνος ὄρνις: ἐκεῖνος ὁ σύμβολος· τουτέστιν ἡ βῶλος παρασκευάσει τῶν μεγίστων πόλεων μητρό- BDEGQ

---

2 ἥφαιστος E 4 ζεὺς E ‖ λιβύθεν Q ‖ κερατηφόρε GQ: κερατοφόρε BE κεραφόρε D ‖ κλῦθι Q 5 πλησ. εἶναι τοῦ μαντ. B ‖ πλησίον om. Q 8 ἐλαχυπτερύγων praem. b 8. 9 καλεῖται E 9 ἐλαχῦ B ἔλαχυ DG: ἐλαχυπτερύγων EQ 10 ἀντὶ δὲ] καὶ ἀντὶ B ‖ ἱππειρωτικὰ B 11 sch. 29d ἀντὶ δελφίνων δ' ἐλαχυπτερύγων praem. B; ad mg. eiusd. ταῦτα μετὰ τὸ φαμὶ γάρ B (B²?); cfr. ad 99, 19 ‖ δὲ om. B ‖ νησιωτικοὶ GQ 12 γίνονται] γενήσονται B 13 ἵππους BQ: ἵππου DEG 14 κατὰ τὸν δρόμον ⟨ταχίστους⟩ Lehrs p. 121 15 πτερύγια B ‖ φησὶ om. B 16 βροχίων? E ‖ καὶ (pr.) om. DGQ ‖ διίπτονται E 20 sch. 33a et 33b in unum confl. D ‖ κεῖνος] ἐκεῖνος E ‖ ἡ βῶλος — ὄρνεον] ἐκεῖνο τὸ ὄρνιον (? ὄρνεον ?) τουτέστιν ἡ βῶλος B 21 τῆς βώλου B: τοῦ ὀρνέου EGQ 22 ἄλλως om. BD ‖ l. om. B ‖ ὄρνις] + ἡ βῶλος D (cfr. sch. 33a) ‖ ἐκεῖνος] ἤγουν D ‖ σύμβουλος EGQ 22. 23 τουτέστιν ἡ βῶλος] ἢ D

πολιν γενέσθαι τὴν Θήραν. ἀπὸ γὰρ ταύτης ἡ Κυρήνη ἀνακτίζεται. 36a B

BDEGQ 35. τόν ποτε: ὁ νοῦς· ὅν ποτε τὸν ὄρνιν, ὅ ἐστι τὴν βῶλον, ἐν ταῖς προχοαῖς τῆς Τριτωνίδος θαλάσσης, θεῷ ἀνδρὶ ὁμοιωθέντι καὶ ξένια παρεχομένῳ ἐκ τῆς πρώρας καταβὰς 5 ὁ Εὔφημος ἐδέξατο. 36c B

BEGQ 36 a. Τριτωνίδος ἐν προχοαῖς: Τρίτων ποταμὸς Λιβύης, ἐν ᾧ ἡ Ἀθηνᾶ ἐγεννήθη [ἀφ' οὗ καὶ Τριτογένεια ὀνο-

BDEGQ μάζεται]. b. ἄλλως· Τριτωνίδος λίμνης: οὕτω καλουμένη θάλασσα περὶ τὴν Λιβύην, καθ' ἣν συντρέχοντες τῷ 10 Εὐρυπύλῳ τὴν βῶλον ἐδέξαντο οἱ Ἀργοναῦται. 35 B c. ζητεῖται δέ, δι' ἣν αἰτίαν ὑπεδέξατο τὴν βῶλον ὁ Εὔφημος· καὶ οἱ μέν, ὅτι πρωρεὺς ἦν, φαίνεται γὰρ καὶ ὁ Εὐρύπυλος ἐπιστὰς τῇ πρώρᾳ καὶ ἐπιδιδοὺς τὸ ξένιον· οἱ δὲ διὰ τὴν συγγένειαν, ἀμφότεροι γὰρ Ποσειδῶνος, ὅ τε δοὺς καὶ ὁ λα- 15

BEGQ βών. | ὁ δὲ Ἀσκληπιάδης τὰ ἐν ταῖς μεγάλαις Ἠοίαις παρατίθεται (fr. 143)·

ἢ οἵη Ὑρίῃ πυκινόφρων Μηκιονίκη,
ἣ τέκεν Εὔφημον Γαιηόχῳ Ἐννοσιγαίῳ
μιχθεῖσ' ἐν φιλότητι πολυχρύσου Ἀφροδίτης. 20

37. ἀνέρι εἰδομένῳ: τοῦτο καινοτέρως ὁ Πίνδαρος

---

7 Sch. Ap. Rh. 4, 1311. — Tzetzes ad Lyc. 886. 11 Tzetzes ad Lyc. 890 21 Tzetzes ad Lyc. 886

---

1 ἀπὸ om. E 3 l. om. B ‖ ὁ νοῦς EQ: ὁ δὲ νοῦς B om. DG ‖ ὅν ποτε τὸν E: τόν (+ τε G) ποτε τὸν GQ τὸν D ὅνπερ B ‖ ὅ ἐστι] λέγει δὲ B 7 l.] τήν ποτε τριτωνίδος B 8 ἀφ' οὗ — ὀνομάζεται om. EGQ; seclusi 9 ἄλλως] τριτωνίδ(ος) ἐν προχοαῖς D ‖ λίμνη E? 9. 10 καλουμένη E(G^cp): καλουμένης 10 θάλασσα om. B 11 οἱ ἀργ. τ. β. ἐδέξαντο B ‖ sch. 36 c (usque ad λαβών) post 37 repet. DEG, praem. l. πρώραθεν εὔφημος καταβάς (πρώραθεν D); item Q, sed pro καὶ οἱ μὲν — λαβών hab. καὶ προείπομεν 12 δὲ om. D^b E^b G^b Q^b ‖ εὔφ. ὑπεδ. τ. βῶλον D^b E^b G^b (Q^b) ‖ ὁ εὔφημος om. E^a 13 οἱ μὲν] + φασιν D^b E^b G^b Q^b ‖ ὅτι] ὁ D ‖ γὰρ] δὲ D^b G^b 14 ἐπιστὰς] παραστὰς D^b E^b G^b ‖ καὶ — ξένιον om. D^b E^b G^b ‖ ἐπιδιδοὺς] ἐπιδοὺς D r. Ft. καὶ delend. ‖ οἱ] ὁ E^a 15. 16 λαβών] εἰληφώς D^b E^b G^b 18 ἠοίη ὑρίη codd.; corr. Ruhnken ep. cr. ad Valck. p. 109 ‖ πυκνόμορφον μηκιόνην E 19 τέκ' B ‖ ἐνοσιγαίῳ BE 21 l.] θεῷ ἀνέρι εἰδ. B ‖ εἰδομένα E

ἱστορεῖ, ὅτι θεὸς Εὐρυπύλῳ παρεικασθεὶς παρέστη τοῖς Ἀργοναύταις. (36c repet. DEGQ)

40. αἴσιον δ' ἐπί οἱ Κρονίων: αἴσιον δὲ τῇ δόσει BDEGQ βροντήσας ἐπεκτύπησεν ὁ Ζεύς (42 B), ὅτε τὴν ἄγκυραν τὴν 5 χαλκᾶς ἔχουσαν γέννς πρὸς τῇ νηὶ ἀνελκυσάντων τῶν Ἀργοναυτῶν καὶ κρημνάντων ἐπέτυχεν ὁ Εὐρύπυλος. σημαίνει δὲ διὰ τούτου τὸν ἀπόπλουν· ὅτε γὰρ πλεῖν μέλλουσιν, ἀνάγουσι τὰς ἀγκύρας. 43 B

42 a. ἀνίκ' ἄγκυραν: τὸν Τρίτωνά φησιν αὐτοῖς συν- BDEGQ 10 τετυχηκέναι ἀναγομένοις ἤδη. τότε γὰρ τὰς ἀγκύρας τοῦ βυθοῦ ἀνασπάσαντες ἐκκρεμῶσι τῆς νεώς. b. Ἀργοῦς δὲ χαλινὸν τὴν ἄγκυραν λέγει, διὰ τὸ ἐπέχειν τὰς ναῦς δίκην χαλινοῦ· πρὸς τῇ νηῒ γὰρ κρημνάντων ἐπεκύρησε, τουτέστιν ἀναγομένων. τίς δὲ ἐπεκύρησεν; ὁ ἀνδρὶ εἰκασμένος Τρί- 15 των. 40 med. B

43. ἐπέτοσσεν: ἐπέτυχεν. B

44 a. Ἀργοῦς χαλινόν: χαλινὸν νῦν τὴν ἄγκυραν λέγει B ἀπὸ μεταφορᾶς τῶν ἵππων.

44 b. τοῦτο προσειληφέναι φησὶ Δίδυμος Πίνδαρον τε- BDEGQ 20 ρατείας χάριν τῆς πρὸς ἡμᾶς, ἐπεὶ οὐδὲ πρέπον τὸ πρὸς εἰδότας λέγειν. ὁ δὲ Ἀμμώνιος περὶ τούτων οὕτω γράφει· καὶ ἑαυτὴν συμπεριλαμβάνει διὰ τὸ ταῖς αὐτῆς βουλαῖς τὴν ἔξω φυγὴν ποιήσασθαι· ἐκβιβάσαι γὰρ συνεβούλευσε καὶ διὰ τοῦ Ἀδρίου ποιῆσαι τὸν πλοῦν. τοῦτο δὲ ἐναντίον τῷ ἐκ τοῦ

---

16 cfr. sch. P. III 48a

---

1 ὅτι] + ὁ DG 3 κρονίων om. DGQ 4 ὅτε] [ὁ δὲ?] νοῦς· ὅτε B 5 ναὶ DGQ ‖ ἀνελκυσάντων — 6 κρημνάντων (κριμν. B) BE: ἀποκρημν(-κριμν-, -κριν-)άντων τῶν ἀργ. (τῶν ἀργ. om. Q) καὶ ἀνελκυσάντων DGQ 9 φασιν BG 10 τότε] ὅτε B 12. 13 δίκην χαλινοῦ ἐπέχειν τὰς ναῦς DGQ 12 παρέχειν E 13 πρὸς] γρ(άφεται) EQ ‖ γὰρ B: γοῦν DEG γῆ Q ‖ κριμνάντων BG ‖ ἐπεκύρωσε E (item 14) ‖ τουτέστιν — 14 ἐπεκύρησεν om. D 14 ἀναγομένοις B 16 ἐπέτοσσεν r: ἐπ.σσε B (med. litt. legi nequit) 19 l. omisi: δώδεκα δὲ πρότερον ἀμέρας B ναὶ κρημνάντων ἐπέτοσσε θεᾶς E ναὶ κρη(-ι-)μνάντων DGQ ‖ προσανειληφέναι B 22 ἑαυτὸν B ‖ ταῖς αὐτῆς B: τὰ κατ' αὐτῆς DG τὰ καταταυτῆς E κατὰ ταυτῆς Q 24 ἀνδρίου Q ἀνδρείου E

Ὠκεανοῦ ὑπὲρ τὴν Λιβύην κομίσαι τὴν ναῦν εἰς τὴν Τριτωνίδα· ἀλλὰ μᾶλλον ὡς διὰ τοῦ Φάσιδος εἰς τὸν Ὠκεανὸν ἐκπεπτωκότων. ς. δώδεκα δέ: οἱ λόγοι παρὰ τῆς Μηδείας· ἐν δώδεκα ἡμέραις τοπρότερον ἔξω τοῦ Ὠκεανοῦ ἐφέρομεν κατὰ τῶν νώτων τῆς ἐρήμου καὶ ὁμαλῆς γῆς τὸ θαλάττιον 5 δόρυ, τουτέστι τὴν ναῦν, τοῖς ἡμετέροις βουλεύμασιν ἀνασπάσαντες.

BDEGQ 46. νώτων ἐρήμων: ὑπὲρ τῶν ἐρήμων νώτων τῆς γῆς. παρὰ γὰρ τὸν Λιβυκὸν Ὠκεανὸν ἐλθόντες, καὶ μὴ δυνάμενοι διεξελθεῖν διὰ τὸ εἶναι τεναγώδη, συμβουλαῖς τῆς Μηδείας 10 βαστάσαντες τὴν ναῦν διεκόμισαν εἰς τὴν Τριτωνίδα λίμνην.

B 47. μήδεσσιν ἀνσπάσαντες ἁμοῖς: τὸ πρόσωπον τῆς Μηδείας μιμεῖται ὁ ποιητής.

BDEGQ 49. τουτάκι δ' οἰοπόλος: τὸ τηνικαῦτα δὲ ὁ μόνος ἀναστρεφόμενος θεὸς παρεγένετο ἀνδρὸς αἰδεσίμου καὶ ἀξιο- 15 πρεποῦς φαιδρὰν καὶ εὐπρεπῆ ὄψιν ὁμοιωθείς.

BDEGQ 51. ἀνδρὸς αἰδοίου: ὁ Τρίτων Εὐρυπύλῳ ὁμοιούμενος Κυρήνης βασιλεῖ.

BDEGQ 52. φιλίων δ' ἐπέων: λόγων δὲ προσφιλῶν καὶ φιλοφρονητικῶν κατήρχετο, ὥσπερ τοῖς ξένοις παραγεγονόσιν οἱ 20 ξενισταὶ τὰ δεῖπνα καὶ τὴν φιλοφροσύνην πρῶτον ἐπαγγέλλονται.

(B)DEGQ 53. ἅτ' ἐλθόντεσσιν: ἅ τε τοῖς ἐλθοῦσι ξένοις οἱ εὐεργέται ἐπαγγέλλονται δεῖπνα, ταῦτα ἐπηγγέλλετο. τοῦτο γὰρ δεῖ συνυπακοῦσαι.

---

17 et 105, 7 Tzetzes ad Lyc. 886. sch. Ap. Rh. 4, 1561

---

2. 3 ἐμπεπτωκότων B 3 l. DGQ: + πρότερον ἁμέρας E ἄλλως B ὁ νοῦς r ‖ παρὰ] περὶ DGQ 4 δώδεκα] + δὲ DGQ 5 τῶν νώτων BE: τὸν νῶτον GQ τοῦ νώτου D 8 νώτων ἐρ. — γῆς om B ‖ ἄλλως l. praem. E ‖ l. E: νώτων ὑπὲρ γαίας DGQ 9 λιβυακὸν E 10 τεγανώδη DG 11 τὴν (alt.) om. DEG 14 τὸ om. Q 15. 16 ἀξιοπρεπῆ DG 16 ὁμοιωθείς — 17 αἰδοίου] ἑαυτῷ περιθείς· ὅ ἐστιν B ‖ ὁμοιωθείς E: φορέσας DGQ 17 l.] + πρόσοψιν E ‖ αἰδοῖο E ‖ ὁ γὰρ τρίτων DGQ ‖ ὁμοιούμενος BE: ὡμοιώθη DGQ 18 κυρήνης] κρήτης E 19 l. E: + ἄρχετο B φιλίων DGQ 21 φιλοφρόνησιν EGQ 22 ἅτ' — 23 ἐπηγγέλλετο] ταῦτα ἐπηγγέλλετο καὶ αὐτός B 23 ἐπηγγέλλετο BG: ἐπηγγείλλετο E ἐπηγγέλετο DQ 24 δεῖ συνυπακοῦσαι] συνυπακουστέον B

56. *ἀλλὰ γὰρ νόστου*: ἀλλὰ γὰρ ἡ τῆς γλυκείας ἀνακο- **BDEGQ**
μιδῆς πρόφασις ἐκώλυεν αὐτοὺς παραμένειν καὶ τῆς θεοῦ
δεξιώσεως ἀπολαύειν.

57. *Φάτο δ' Εὐρύπυλος*: ἔλεγε δὲ ὁ Εὐρύπυλος τοῦ **BDEGQ**
5 ἀφθάρτου Ποσειδῶνος εἶναι παῖς. τοῦτον Ἀπολλώνιος (4,
1552. 1561) ποτὲ μὲν Εὐρύπυλον προσαγορεύει, ποτὲ δὲ
Τρίτωνα. Ἀκέσανδρος δέ φησιν ἀδελφὸν εἶναι τὸν Εὐρύ-
πυλον Τρίτωνος, γράφων οὕτως· Εὐρύπυλος Ποσειδῶνος καὶ
Κελαινοῦς τῆς Ἄτλαντος, Τρίτωνος ἀδελφός. οὗτος γαμεῖ
10 Στερόπην τὴν Ἡλίου, Πασιφάης ἀδελφήν, καὶ γίνονται παῖ-
δες δύο, Λυκάων καὶ Λεύκιππος.

59. *γίνωσκε δ' ἐπειγομένους*: συνεώρα δὲ καὶ αὐτὸς **BDEGQ**
ἡμᾶς ἐπειγομένους, καὶ ἀναρπάσας εὐθέως ἐκ τῆς γῆς τῇ
δεξιᾷ χειρὶ τὸ παρατυχὸν ξένιον ἐζήτει παρασχεῖν.

15 61. *Δεξιτερᾷ προτυχόν*: Χαῖρίς φησι δεῖν γράφειν **DEGQ**
προτυχόν, ἵν' ᾖ· ἀναρπάσας δὲ εὐθὺς ἐκ τῆς ἀρούρης τὸ
παρατυχόν ξένιον ἔδωκεν· ὅπερ ἦν ἡ βῶλος. | διατί δὲ Εὔ- **BDEGQ**
φημος ἐδέξατο, πολλῶν ὄντων, ζητεῖται. καὶ οἱ μέν φασι διὰ
τὸ ἐγγύς· πρωρεὺς γὰρ ἦν· διό φησι Πίνδαρος πρῴραθεν.
20 | οἱ δὲ διὰ συγγένειαν· οἱ δὲ ὅτι ὁ δοὺς τὴν βῶλον, εἴτε Τρί- **BEGQ**
των ἦν εἰκασμένος Εὐρυπύλῳ εἴτε ἦν Εὐρύπυλος, οὗτος ἦν
Ποσειδῶνος υἱός· ἄλλως δὲ καὶ ὅλη ἡ Λιβύη ἱερὰ Ποσει-
δῶνος διὰ τὸ μεμίχθαι Λιβύῃ τὸν Ποσειδῶνα· ταύτῃ οὖν
καὶ ὁ Εὔφημος διὰ τὴν οἰκειότητα ἐδέξατο. προσθείη δ' ἂν

---

17 Tzetzes ad Lyc. 890 20—24 sch. Ap. Rh. 4, 1562

---

1 l.] + πρόφασις γλυκεροῦ **B** ‖ γὰρ om. **E** ‖ ἡ om. **BQ** 2 ἐκώ-
λυσεν **B** 4 l. om. **B** ‖ ἔλεγε — 5 παῖς om. **E** 5 τοῦτον **BE**:
τοῦτον δὲ **G** τοῦτο δὲ **DQ** 8 γράφων **BE**cp: γράφει δὲ **D**cp**G**cp**Q**
10 μερόπην **E** ‖ γίνονται scripsi: γίνονται αὐτῷ **B** γρ(άφονται) **E**
γεννῶνται **DGQ** 12 l. **BE**: γίγνωσκε **DGQ** ‖ αὐτὸς] οὗτος **E**
αὐτός, φησὶν **B** 13 ἀνασπάσας **E** ‖ εὐθὺς **DGQ** 15 πρότυ-
χον **E**. Fuit olim προτυχών (Mommsen) ‖ χαῖρις **r**: χάρις **E**
χάρης **DGQ** ‖ δεῖ **DGQ** 16 παρατυχὸν **b** (perperam) ‖ ἵν'] ὅπως
DG ‖ δὲ om. **Q** ‖ τῆς] + παρατυχούσης **E** ‖ ἀρούρης omnes
18 ζητεῖται om **E** 19 πρῴραθεν Pind.: πρῴρηθεν **BDGQ**
om. **E** 20 οἱ δὲ διὰ συγγένειαν ft. delend. 22 δὲ **BE**: τε **GQ**
23 ταύτην **E** ταύτ(ῃ) τοι **G**

τις, ὅτι καὶ Ταιναρίου ἐβασίλευεν, Ποσειδῶνος δὲ αὕτη ἱερά.
BDEGQ| Ἀσκληπιάδης δέ φησιν ὅτι καὶ Περικλύμενος καὶ Ἐργῖνος καὶ Ἀγκαῖος· τί οὖν οὐδεὶς εἰλήφει τούτων; φησὶ γοῦν αὐτὸς δῶρον ἔχειν τὸν Εὔφημον παρὰ Ποσειδῶνος τὴν θάλασσαν ἀπημάντως διαπορεύεσθαι ὡς διὰ γῆς. πρὸς δὲ τοὺς λέγοντας 5 ὅτι Εὔφημος κυβερνήτης ἦν καὶ ⟨μὴ⟩ πρωρεὺς, τοῦτο γὰρ ἱστορεῖν Θεότιμον, λεκτέον ὅτι καὶ πάνυ λόγον ἔχει τὸν κυβερνήτην ὡς ἡγούμενον τῆς νεὼς τὴν βῶλον παρὰ Τρίτωνος λαβεῖν.

BDEGQ 63 a. *οὐδ' ἀπίθησέ νιν*: παθητικῶς· οὐκ ἀπειθῆ αὐ- 10 τὸν πεποίηκε πρὸς τὴν ὑποδοχήν.

BDEGQ 63 b. *ἀλλ' ἥρως*: ὁ δὲ ἥρως Εὔφημος ἐπιθορὼν ταῖς ἀκταῖς τῇ αὐτοῦ χειρὶ τὴν αὐτοῦ ἀνθαρμόσας καὶ ἐπεκτείνας χεῖρα ἐδέξατο τὴν θείαν βῶλον.

B 65. *ἀντερείσαις*: συνάψας. 15

BDEGQ 66. *βώλακα δαιμονίαν*: τὴν θείαν· καὶ ἤτοι ὅτι ἐξ αὐτῆς ἀποικίαι καὶ χρησμοὶ Ἀπόλλωνος, ἢ ὅτι θεὸς ὁ δωρησάμενος.

BDEGQ 67 a. *πεύθομαι δ' αὐτάν*: ἔτι περὶ τῆς βώλου τὸν λόγον ποιεῖται ἡ Μήδεια, ὅτι πέπυσται χθὲς αὐτὴν διατετη- 20 κυῖαν, καίπερ παρακελευομένη φυλάξαι. b. ἄλλως· μετέπεσεν ἐπὶ τὸ ποιητικὸν πρόσωπον, καὶ οὐκέτι τὸ τῆς Μηδείας ἐφύλαξε διαπαντός. c. ὁ δὲ νοῦς· κατακούω δὲ αὐτήν, τὴν βῶλον, κατακλυσθεῖσαν ἐκ τῆς νεὼς σὺν τῇ θαλάσσῃ τῆς δύσεως διενηνέχθαι καὶ διαλυθῆναι συμφερομένην τοῖς κύμασι. 67c B 25

BDEGQ 67 d. *ἐναλίᾳ βᾶμεν*: συμβεβηκέναι καὶ εἰς ταὐτὸ γε-

---

1 Ap. Rh. 1, 185 4 Ap. Rh. 1, 182. Hyg. f. 14. — Tzetzes ad Lyc. 886; Chil. 2, 618

---

1 καὶ om. E ‖ ἐβασίλευσε B?E 4 παρὰ ποσ. τὸν εὔφ. DGQ 6 μὴ addidi 7 ἱστορεῖν θεότιμον E: ἱστορεῖ θεότιμος B ἱστορεῖν ἴσμεν θεότιμον DGQ ‖ λόγον Cr: λόγος BEGQ ὁ λόγος D 8 παρὰ τρ. τὴν βῶλον DGQ 10 μεταβατικῶς Lehrs p. 122 ‖ ἀπειθῆ BEQ: ἀπειθῆσαι DG 10. 11 αὐτὸν et αὐτὸν B 11 ὑποδοχήν] + ὁ εὔφημος B 12 l.] + ἐπακταῖσι θορῶν (sic) B ‖ ἐπιθορῶν EG 13 αὐτοῦ utrob. codd. ‖ ἀπεκτείνας E ἀποκτείνας D 16 τὴν om. B ‖ καὶ om. B 23 ὁ δὲ νοῦς EGQ: ὁ νοῦς D φησὶν οὖν B ‖ κατακούων E 26 ἐναλίᾳ — ταὐτὸ] καὶ B ‖ l.] + σὺν ἅλμᾳ E

γενῆσθαι τῇ θαλασσίᾳ ἅλμῃ, ὅ ἐστι κατὰ περίφρασιν τῇ θαλάσσῃ. 68 B e. τὴν σύν οὖν πρόθεσιν συντακτέον τῷ βᾶμεν, ἵν' ᾖ συμβῆναι καὶ συνελθεῖν εἰς ταὐτό. 67d B

68. ἐκ δούρατος: ἐκ τῆς νηός. B

5 70 a. ἑσπέρας ὑγρῷ πελάγει: ἤτοι κατὰ τὸν καιρὸν BDEGQ τῆς ἑσπέρας, ἢ τῆς δυτικῆς θαλάσσης. b. ἀκολουθήσασαν.

71. ἦ μάν νιν: ναὶ μὴν αὐτήν, τὴν βῶλον, συνεχῶς τοῖς BDEGQ λυσιπόνοις οἰκέταις φυλάξαι, φησίν, [ὤτρυνον]· τούτων δὲ εἰς λήθην ἦλθον αἱ φρένες.

10 72. λυσιπόνοις: ἐπειδὴ οἱ οἰκέται τῶν δεσποτῶν τοὺς BDEGQ πόνους διαλύουσι τῇ θεραπείᾳ· ὡς Εὐριπίδης (fr. 1019)·

δούλοισι γάρ τε ζῶμεν οἱ ἐλεύθεροι.

74 a. καὶ νῦν ἐν τᾷδ': ὁ λόγος περὶ τῆς Θήρας, ὡς BDEGQ τῆς Μηδείας προσορμισθείσης κατὰ τὸ τηνικαῦτα καὶ δια-
15 λεγομένης περὶ τῆς βώλου. b. ὁ δὲ νοῦς· καὶ νῦν ἐν ταύτῃ τῇ ἀφθάρτῳ νήσῳ πρὸ τοῦ δέοντος καιροῦ διεχύθη τῆς εὐρυχώρου Λιβύης τὸ σπέρμα, τουτέστιν ἡ βῶλος.

76 a. σπέρμα πρὶν ὥρας: διχῶς τὸ σπέρμα δύναται BDEGQ νοεῖσθαι, καὶ ὅτι Λιβυκὴ ἡ βῶλος, καὶ ὅτι οἷον ἀρχὴ τῆς
20 εἰς Λιβύην ἀποικίας. b. πρὶν ὥρας: πρὸ τοῦ δέοντος BDGQ καιροῦ.

76 c. εἰ γὰρ οἴκοι νιν βάλε: εἰ γὰρ δὴ αὐτήν, τὴν BDEGQ βῶλον, ἐν τοῖς ἑαυτοῦ οἴκοις ἤγαγε παρὰ τὸ χθόνιον τοῦ Ἅιδου στόμα εἰς τὴν ἱερὰν Ταίναρον παραγεγονώς, ἐκ δὲ
25 τούτου εἰς Λακεδαίμονα ἐλθών, ὁ τοῦ ἱππικοῦ Ποσειδῶνος

---

1 θαλαττίᾳ DGQ 3 συμβῆναι EQ: συμβεβηκέναι DG συμβῆναι ἤτοι συμβεβηκέναι B ‖ εἰς ταὐτὸ συνελθεῖν B 5 l. BE: ἑσπέρας ὑγρᾶς DG ἑσπέρας Q 6 θαλάττης B?DGQ ‖ ἀκολουθήσασα B 7 l.] + ὄτρυνον E ‖ τὴν βῶλον ναὶ μήν, om. αὐτήν B 8 ὤτρυνον om. BE; seclusi; in φησὶν latere vid. paraphrasis huius voc. 10 l. om. B ‖ ἐπειδὴ] + δὲ B 11 θεραπείᾳ] + λυσιπόνους αὐτοὺς ἐκάλεσεν B 13 l. E: + ἄφθιτον B καὶ νῦν DGQ ‖ Θήρας scripsi: μηδείας 14 τῆς μηδείας] αὐτῆς D ‖ καὶ om. E 15 ὁ δὲ νοῦς] φησὶν οὖν B 16. 17 εὐχώρου GQ 18 l.] λιβύας εὐρύχωρον σπέρμα B 20 πρὶν B: τὸ δὲ πρὶν DGQ 23 ἤγαγε] ἔβαλε Lehrs p. 123

υἱός. 81a B d. Ταίναρος δὲ πόλις Λακωνική, ἐν ᾗ καὶ πύλη
DEGQ ἐστὶν εἰς Ἅιδου. | Μένανδρος (fr. 842 K.)·

πύλη τίς ἐστι Ταινάρου πρὸς ἐσχάτοις. 83 B

BDEGQ 79 a. Εὔφαμος ἐλθών: εἰ γὰρ τὴν βῶλον ἔσωσεν εἰς Ταίναρον, ἥτις Ἅιδου ἐστὶ στόμα, μετὰ τέσσαρας ἂν γενεὰς 5 ἐγενήθη ἡ ἀποικία καὶ ἔλαβε σὺν τοῖς ἄλλοις τὴν εὐρεῖαν
DEGQ ἤπειρον Λιβύην. b. γυναῖκα δὲ ἔσχεν ὁ Εὔφημος Λαονόμην Ἡρακλέους ἀδελφήν, Ἀμφιτρύωνος θυγατέρα καὶ
BDEGQ Ἀλκμήνης. c. ἐπεὶ δὲ οὐ διεσώθη, ἀλλ' ἐτάκη ἐν τῇ Θήρᾳ, οὐκέτι φησὶν ἐλεύσεσθαι ἐκ τῆς Λακωνικῆς τὴν ἀποικίαν 10 μετὰ τέσσαρας γενεάς, ἀλλὰ μετὰ ἑπτακαίδεκα ἐξ ἀλλοδαπῶν γυναικῶν γεννηθέντας τινὰς καθέξειν τῆς Λιβύης. 76d B

BDEGQ 81 a. τόν ποτ' Εὐρώπα: ὅντινά ποτε ἡ Εὐρώπη ἡ τοῦ Τιτυοῦ θυγάτηρ ἐγέννησε παρὰ ταῖς ὄχθαις τοῦ Κηφισοῦ τοῦ Βοιωτικοῦ ποταμοῦ (79a B), τετάρτων ἐξ Εὐφήμου παίδων 15 γεγονότων γένος αὐτῷ ἐκείνην ἔλαβε καὶ κατέσχε σὺν τοῖς Ἕλλησι τὴν μεγάλην καὶ πλατεῖαν ἤπειρον τῆς Λιβύης. τότε γὰρ τῆς μεγάλης Λακεδαίμονος ἀνάστατοι γίνονται καὶ τοῦ Ἀργείου κόλπου καὶ τῶν Μυκηνῶν. 85 B

BDEGQ 83. τετράτων παίδων κ' ἐπιγεινομένων: οἱ γὰρ ἐξ 20 Εὐφήμου τέταρτοι ἔμελλον ἀποικίαν στέλλεσθαι ἀπὸ Λακεδαίμονος εἰς Λιβύην· νῦν δὲ διὰ τὸ λελύσθαι τὴν βῶλον εἰς Θήραν ἐκ Λακεδαίμονος οἱ τέταρτοι ἀπὸ Εὐφήμου ἔρχονται

---

1 sch. Ar. Ach. 510. Suid. Ταίναρον. Strab. 8, 363. — Tzetzes ad Lyc. 90 7 Tzetzes ad Lyc. 886

---

1 υἱός] continuatur paraphr. sch. 81a ‖ sch. 76d praem. ταίναρον εἰς ἱεράν B ‖ δὲ om. B ‖ καὶ om. B 2 ᾅδου] + κατάγουσα καὶ (D)G + κατάγουσα Q 3 πέλη E ‖ ἐστι om. E ‖ ἐσχάταις E ἐσχάτης s. -τῃ D 4 l.] ἄλλως B 6 ἐγένετο r ‖ ἔλαβον D(G^{cp})Q 7 λιβύην E: ἤτοι λ. DG τὴν λ. B ἤτοι τὴν λ. Q 7. 8 λαονότην E ‖ καὶ om. E 9 ἐπεὶ δὲ D: ἐπειδὴ δὲ B ἄλλως· ἐπεὶ δὲ GQ ἄλλως· ἐπεὶ E 12 τὴν λιβύην B 13 l. om. B 14 κηφισσοῦ DG 15 βοιωτιακοῦ B ‖ τετάρτων e. q. s. post sch. 83 hab. B, praem. ὁ δὲ νοῦς ‖ ἐξ om. E ‖ παίδων om. E 17 τότε] ὅτε E 18 ἀνάστατοι — 21 λακεδαίμονος om. Q 20 l.] τετράτων DG ‖ τετραπόδων E ‖ κ'] οὐκ B ‖ ἐπιγειναμένων B? 22 διὰ τὸ διαλελύσθαι G 23 τέταρτοι] τέσσαρ B (sic)

καὶ ἀπὸ Θήρας οἱ ἑπτακαιδέκατοι, ὡς μετὰ τὴν τετάρτην γενεὰν Εὐφήμου τὴν ἐλθοῦσαν εἰς Θήραν ἄλλας τρισκαίδεκα γενέσθαι εἰς Θήραν. 81a med. B

85. τότε γὰρ μεγάλας: τότε γὰρ οἱ Ἡρακλεῖδαι κατελ- BDEGQ
5 θόντες μετὰ τέσσαρας γενεὰς ἐξανέστησαν τοὺς προκατέχοντας [ἀπὸ Εὐφήμου] Μυκηνῶν καὶ Ἄργους καὶ Λακεδαίμονος. ἤλλακται δὲ ὁ χρόνος· ἐξανίστανται γάρ φησιν ἀντὶ τοῦ ἐξαναστήσονται. ταῦτα γὰρ ἡ Μήδεια προλέγει ὡς ἐσόμενα ὕστερον. 88b B

10 88a. νῦν γε μὰν ἀλλοδαπᾶν: ἐπὶ δὲ τοῦ παρόντος BDEGQ τῶν ἀλλοδαπῶν καὶ ξένων γυναικῶν τὸ ἐν ταῖς κοίταις ἔκκριτον καὶ διαπρεπὲς γένος εὑρήσει τὴν ἀποικίαν· οἵτινες σὺν τιμῇ θεῶν εἰς ταύτην τὴν νῆσον παραγενόμενοι τέκωσι τὸν Βάττον τὸν τῶν τῆς Λιβύης πεδίων δεσπότην. 93a B b. ἡ
15 ἱστορία τοιαύτη· ταῖς Λημνίαις γυναιξὶν ἀσεβῶς διακειμέναις περὶ τὰς τῆς Ἀφροδίτης τιμὰς ἡ θεὸς δυσοσμίαν προσέπεμψε, καὶ οὕτως αὐτὰς οἱ ἄνδρες ἀπεστράφησαν· αἱ δὲ συνθέμεναι πρὸς ἑαυτὰς ἐξ ἐπιβουλῆς τοὺς ἄνδρας ἀνεῖλον. τηνικαῦτα δὲ οἱ Ἀργοναῦται τὸν εἰς Σκυθίαν στελλόμενοι πλοῦν προσ-
20 ωρμίσθησαν τῇ Λήμνῳ, καὶ εὑρόντες ἔρημον ἀρσένων τὴν νῆσον συνελθόντες ταῖς γυναιξὶν ἀπηλλάγησαν. οἱ δὲ φύντες ἐξ αὐτῶν ἦλθον εἰς Λακεδαίμονα κατὰ ζήτησιν τῶν πατέρων, καὶ προσδεχθέντες παρὰ Λάκωσι καὶ πολιτευσάμενοι συνέθεντο ἐπιθέσθαι τῇ Σπάρτῃ. γνωσθέντες δὲ συνελήφθησαν

14—18 cfr. sch. 449. — sch. Hom. *H* 468. Apollod. I 9, 17. sch. Ap. Rh. 1, 609 21 cfr. Her 4, 145 sqq.

---

1 οἱ ἑπτακαιδέκατοι **r**: οἱ ἑπτακαίδεκα **B** οἱ ιζʹ **DGQ** ιζʹ **E**. Cfr. p. 98, 23 2 εὐφήμου om. **B** ‖ θήραν] + τὴν εὐφήμου φημὶ **B** 3 εἰς θήραν del. **b** 4 l. om. **B** 5 ἐξαναστήσουσι Lehrs p. 123 (perperam) 6 ἀπὸ εὐφ. om. **BEQ**; seclusi 7 δὲ] γὰρ **DG** ‖ γὰρ] δὲ **B** ‖ ἀντὶ τοῦ] + ἐξαλλάσσονται καὶ **B** 8 γὰρ] δὲ **DGQ** 10 l.] ὁ νοῦς δὲ τοιοῦτός ἐστιν **B** 11 τὸ τῶν ἀλλ. κ. ξ. γ. ἐν. τ. κ. τεχθὲν ἔκκριτον Lehrs p. 123 13 τὴν νῆσον om. **B** 14 τὸν — δεσπότην **b**: τὸν τῆς λ. π. δ. **B** τῆς λ. π. δ. **E** τὸν δ. τῶν τῆς λ. π. **DGQ** 14—110, 10 cfr. sch. rec. p. 22 Schn. 14 l. nullum **DG**: νῦν γε μὰν ἀλλοδαπᾶν **B** ἄλλως **EQ** 19 δὲ] γὰρ **DG** ‖ τὸν εἰς] εἰς τὴν **E** 23 παρὰ τοῖς λάκ. **b** 24 ἐπισπᾶσθαι **E**

καὶ καθείρχθησαν ἐν εἱρκτῇ· κατὰ δέ τινας αἱ μητέρες ἐλθοῦσαι πρὸς αὐτοὺς τὰς μὲν αὐτῶν ἐσθῆτας ἐκείνοις περιέθεσαν καὶ αὐτόθι ἔμειναν, ἐκείνους δὲ ὡς γυναῖκας ἀποπέμψασαι κατακαλυψαμένους ἔσωσαν, οἱ δὲ παῖδες τῷ μηχανήματι λαθραίως ἀπέφυγον. τῶν δὲ Λακώνων βουλομένων 5 αὐτοὺς ἀνελεῖν, Θήρας ὁ Αὐτεσίωνος κατὰ συντυχίαν τότε ἀποικίαν στέλλων καθικέτευσε τοὺς Λάκωνας εἰς τὴν ἀποικίαν αὐτῷ τοὺς ἄνδρας παρασχεῖν, καὶ δεξάμενος εἰς τὴν Θήραν ἐκτοπίζει. συνῆν δὲ αὐτῷ καὶ Σάμος, οὗ ἀπόγονος Βάττος, ὃς πρῶτος ἀποικίαν εἰς Κυρήνην ἔστειλεν. c. ἄλλως· 10 ζητεῖται τίνες εἰσὶν ἀλλοδαπαὶ γυναῖκες, ἐξ ὧν φησι τοὺς φύντας καθέξειν τὴν Κυρήνην, πότερον ἐπειδή τινες ἐν Θήρᾳ ᾤκησαν μετὰ Κάδμου συνεξορμήσασαι, ὅτε ἐπὶ τὴν τῆς Εὐρώπης ζήτησιν ἀπῆρεν ἐκ Φοινίκης· ὑπέμειναν γὰρ ἐν Θήρᾳ μετὰ Μεμβλιάρεω τοῦ Κάδμῳ συνεξορμήσαντος Φοίνισσαί 15 τινες γυναῖκες· ἢ ἀλλοδαπὰς γυναῖκας τὰς Λημνίας λέγει, [περὶ ὧν ἡ ἱστορία προείρηται]. 88a B

B 89. κριτὸν εὑρήσει: τίς εὑρήσει; ἡ προκειμένη ἤπειρος ἡ Λιβύη.

B 90. οἵ κεν τάνδε: ἔδει εἰπεῖν, ὅπερ γένος. 20

BDEGQ 91. τάνδε σὺν τιμᾷ: ἐν ταύτῃ τῇ νήσῳ τῇ Θήρᾳ· ἐν αὐτῇ γὰρ διελέγετο ἡ Μήδεια. 94c E

B 92. τέκωνται: ἀντὶ τοῦ τέξονται. 94 B

BDEGQ 93a. κελαινεφέων πεδίων: τῶν τῆς Λιβύης· καὶ οἱ

1 καθήρχθησαν DE κατείρχθησαν GQ ‖ εἱρκτῇ codd. ‖ κατὰ — μητέρες] αἱ δὲ μητέρες B, sch. rec. 1. 2 ἐλθοῦσαι BDQ[1]: εἰσελθοῦσαι EGQ[s] sch. rec. συνελθοῦσαι Cr 2 αὐτῶν codd. ‖ ἐκείνους DGQ 3 καὶ — 4 ἔσωσαν hic. om. DG; cfr. ad 5 4 ἔσωσαν] ἔπεμψαν Q 5 ἀπέφυγον] + αἱ γὰρ γυναῖκες αὐτόθι μείνασαι, ἐκείνους ὡς γυναῖκας ἀποπέμψασαι κατακαλυψαμένους διέσωσαν DG; cfr. ad 3 8 παρέχειν B 9 θήραν] + κομίζει καὶ B ‖ Σάμος] cfr. sch. 455e. Σήσαμος sch. Ap. Rh. 4, 1750 11 ἀλλοδαπαὶ] αἱ ἀλλοδ. B 12 ἐπειδή τινες] αἳ B 13 συνεξορμ. μετὰ κάδμου B ‖ τῆς om. DEG 15 μεμβριάρεω B ‖ κάδμου DE 17 περὶ — προείρηται om. DEGQ; seclusi 21 l.] τῶν δὲ σὺν τιμᾷ θεῶν E ‖ εἰς ταύτην τὴν νῆσον τὴν θήραν B 24 l. DG: κ. δὲ π. B πεδίων E κελαινεφέων Q ‖ λιβύης] + φησίν B ‖ καὶ om. B

μὲν διὰ τὸν αὐτόθι συνεχῆ ὄμβρον καὶ τοὺς χειμῶνας, διὸ καὶ εὔκαρπος ἡ Κυρήνη διὰ τὸ συνεχῶς δεύεσθαι· τινὲς δὲ διὰ τὸ τῶν πεδίων μέγεθος. b. ἄλλως· Ἀμμώνιός φησι διὰ τὸ περὶ τὴν Κυρήνην μόνον ἵστασθαι νέφος παρὰ τὴν ἄλλην
5 Λιβύην. ἢ μᾶλλον μεγέθους τις ἔμφασις δηλοῦται διὰ τὸ ἀποσκοτοῦσθαι τὰς ὄψεις τοῦ πέρατος μὴ ὁρωμένου. 89 B 96a E

94 a. τὸν μέν: τὸν Βάττον. b. πολυχρύσῳ: τῇ Πυθοῖ. ὅτι δὲ πολυχρήματος, καὶ Ὅμηρός φησι (I 404 sq.). E
c. ὅντινά ποτε τὸν Βάττον ἐν τῷ πολυχρύσῳ οἴκῳ ὁ Ἀπόλλων BDEGQ
10 ἀναμνήσει τοῖς ἑαυτοῦ χρησμοῖς εἰς τὸν Πυθικὸν νεὼν παραγενόμενον οἰκιστὴν τῆς Κυρήνης γενέσθαι. 97b B 93a E 97a DGQ

96 a. θέμισσι: τοῖς χρησμοῖς. BDEGQ
b. ἀναμνήσει τὰ ἑξῆς ἐπιφερόμενα. 100 B BE
c. τί δὲ ἀναμνήσει; οἰκιστὴν τῆς Κυρήνης γενέσθαι. 99 DGQ DGQ

15 97 a. καταβάντα χρόνῳ: χρόνῳ δὲ ὕστερον ταῖς ναυσὶ DEGQ πολλοὺς ἀγαγεῖν πρὸς τὸ τοῦ Κρονίδου Νείλου λιπαρὸν τέμενος· φησὶ δὲ τὴν Λιβύην. b. τέμενος [γὰρ] Νείλου Διὸς BDEGQ τὴν Λιβύην φησίν. καὶ ἤτοι τὸν Νεῖλον ἀντὶ τοῦ Διός φησιν, ἐπειδὴ παρὰ τοῖς Αἰγυπτίοις τιμᾶται ὡς θεός· ἢ παρὰ
20 τὸ Ὁμηρικόν (δ 581)·

ἂψ δ' εἰς Αἰγύπτοιο διιπετέος ποταμοῖο. 99 B

97 b. χρόνῳ δ' ὑστέρῳ: ὁ δέ ἀντὶ τοῦ δή, ἵν' ᾖ· χρόνῳ BDEGQ

---

12 Hes. θέμιστες

---

1 διὰ] περὶ (h. e. παρὰ) DGQ ‖ τὸν] τὸ E ‖ συνεχῶς E
2 διὰ B: ἢ διὰ ‖ τινὲς — 3 ἄλλως om. B ‖ δὲ om. E 3 διὰ om. DGQ ‖ τὸ τῶν] τόπων E ‖ ἄλλως om. D del. Lehrs ‖ ἀμμώνιος] ἀμώνιος δὲ B 4 μόνην B 5 διὰ] καὶ διὰ Q 6 ἀποσκοτοῦσθαι B: ἀποσκοπεῖσθαι 9 sch. 94c l. nullum E: τὸν μὲν πολυχρύσῳ πότ' ἐν δώματι B τὸν μὲν πολ. DGQ ‖ τῷ βάττῳ E
10 νεὼ[ν] B νέον E: ναὸν DGQ 12 l. DEGQ (θέμισι DQ[1]): φοῖβος ἀμμνάσει θέμισι B 15 l. E: πύθιον ναόν (G)Q om. D ‖ δὲ] δὴ Q 16 πρὸς — 17 λιβύην in sch. 97 inser. B; cfr. ad 112, 1 17 δὲ om. E ‖ διὸς] διὸ E 18 καὶ ἤτοι τὸν E ἤτοι τὸν B τὸν δὲ GQ ‖ καὶ — 18. 19 φησιν om. D ‖ τοῦ om. E
19 ἢ scripsi: καὶ 22 l. sch. 97b ἄλλως praem. DGQ ‖ ὕστερον DGQ

δὴ ὑστέρῳ διὰ νεῶν πολλοὺς ἄνδρας ἀγαγεῖν ἀπὸ Θήρας εἰς τὴν Λιβύην. 97a B 96a DGQ

BDEGQ 99. *τέμενος Κρονίδα*: τὸν Νεῖλον Κρονίδαν [φησίν], ὡς Παρμένων· Αἰγύπτιε Ζεῦ Νεῖλε. ἀναλογεῖν γὰρ τοῖς τοῦ Διὸς ὄμβροις τὸ τοῦ Νείλου ὕδωρ, καὶ ὥσπερ ἀντίστροφόν 5 τινα τοῦτον τῷ Διῒ εἶναι. 96a B

BDEGQ 100 a. *ἦ ῥα Μηδείας ἐπέων στίχες*: ἔφη ἡ τῆς Μηδείας στιχομυθία. συνήθως δὲ ὁ Πίνδαρος πληθυντικοῖς ἑνικὰ ἐπήνεγκεν. b. ὁ νοῦς· οὕτως εἰρήκασιν οἱ τῆς Μηδείας λόγοι, οἱ δὲ ἰσόθεοι ἥρωες κατεπλάγησαν σιωπῇ τὴν 10 πυκνὴν καὶ συνετὴν συμβουλὴν τῆς Μηδείας κατακούσαντες.

BDEGQ 104 a. *ὦ μάκαρ υἱὲ Πολυμνάστου*: ὦ Ἀριστότελες. ὁ γὰρ αὐτὸς Βάττος καὶ Ἀριστοτέλης. b. ὁ δὲ νοῦς· ὦ μακάριε υἱὲ τοῦ Πολυμνήστου Ἀριστότελες, σὲ ἐν τῷ τῆς Μηδείας λόγῳ ὁ χρησμὸς ὤρθωσε καὶ ἀπέδειξε τῆς Δελφικῆς ἱερείας 15 αὐτομάτῳ φθόγγῳ. 106b B

BDEGQ 106 a. *χρησμὸς ὤρθωσε μελίσσας*: τὰς περὶ τὰ θεῖα καὶ μυστικὰ μελίσσας καὶ ἑτέρωθι (fr. 158)· ταῖς ἱεραῖς μελίσσαις τέρπεται. ὅτι δὲ τὰς περὶ τὰ ἱερὰ διατελούσας καὶ Μελίσσας ἔλεγον, Μνασέας ὁ Παταρεὺς (FHG III p. 150) ἀφη- 20 γεῖται λέγων, ὡς κατέπαυσαν αὗται σαρκοφαγοῦντας τοὺς ἀν-

1 ὕστερον GQ ‖ ἀγαγεῖν] + πρὸς τὸ τοῦ κρονίδου νείλου λιπαρὸν τέμενος· φησὶ δὲ τὴν λιβύην· τουτέστιν B (ex sch. 97 a; cfr. ad 111, 16) 2 τὴν om. E 3 l.] ἢ B ‖ κρονίδην (sic) τὸν ν. B ‖ τὸν] + δὲ E ‖ φησὶν om. DEGQ; seclusi 4 ὡς] ὡς καὶ DGQ ‖ παρμένων] + φησίν DGQ ‖ ἀναλογεῖν E: ἀναλογεῖ BDGQ 7 l. B: ἦ ῥα μ. ἐπέων E ἦ ῥα μηδ. DGQ 9 ἐπήνεγκεν DEG: ἐπήγαγεν BQ ‖ sch. 100b l. nullum B: ἔπταξαν DG(Q) ἔπταξαν δ' ἀκίνητοι E ‖ ὁ δὲ νοῦς B 10 ἥρωες] ἄνδρες ἥρωες DG 11 συμβουλὴν συνετὴν E 12 l. B: ὦ μ. υἱέ E ὦ μ. DGQ ‖ ὦ (alt.) om. E 13 μάκαρ DGQ 14 σὲ] σὲ δ' B ‖ τῷ] τῷδε r (B l. n.) ‖ τῆς om. DG 15 λόγῳ ὁ χρησμὸς] χρησμῷ ὁ λόγος B[1] 16 φθόγγῳ] φωνῇ D λόγῳ· λέγει δὲ τῆς πυθῶνος B (ex sch. 106 b) 17 l. E: χρησμὸς ὤρθ. DGQ om. B ‖ τὰς — 18 ἑτέρωθι DEGQ prave: ὅτι δὲ τὰς περὶ τὰ θεῖα καὶ μύστιδας μελίσσας φασίν, ἑτέρωθι ὁ αὐτός φησι B τὰς π. τὰ θ. κ. μυστικὰ διατελούσας νύμφας καὶ μελίσσας ἔλεγον. καὶ ἑ. ὁ αὐ. φ. CPX (cfr. Schroeder ad fr. 158) 18 μελίσσας BE: γράφει μελίσσας DGQ ‖ ἱεραῖσι Schroeder 19 ὅτι δὲ] ἔνιοι δὲ καὶ B ‖ καὶ om. B 21 κατέπαυσαν αὗται] αὗται κατ. B ‖ τοὺς om. DEG

θρώπους πείσασαι τῇ ἀπὸ τῶν δένδρων χρῆσθαι τροφῇ, καθ' ὃν καιρὸν καὶ Μέλισσα μία τις αὐτῶν κηρία μέλιτος εὑροῦσα πρώτη ἔφαγε καὶ ὕδατι μίξασα ἔπιε, καὶ τὰς ἄλλας δὲ ἐδίδαξε, καὶ τὰ ζῷα μελίσσας ἐξ ἑαυτῆς ἐκάλεσε, καὶ φυλακὴν 5 πλείστην ἐποιήσατο· ταῦτα δέ φησιν ἐν Πελοποννήσῳ γενέσθαι. | ἄνευ γὰρ Νυμφῶν οὔτε Δήμητρος ἱερὸν τιμᾶται διὰ **BEGQ** τὸ ταύτας πρώτας καρπὸν ἀποδεῖξαι καὶ τὴν ἀλληλοφαγίαν παῦσαι καὶ περιβλήματα χάριν αἰδοῦς ἐξ ὕλης ἐπινοῆσαι, οὔτε γάμος οὐδεὶς ἄνευ Νυμφῶν συντελεῖται, ἀλλὰ ταύτας 10 πρῶτον τιμῶμεν μνήμης χάριν· ὅτι τε εὐσεβείας καὶ ὁσιότητος ἀρχηγοὶ ἐγένοντο. 107a B b. ἄλλως· χρησμὸς μελίσσας: **(B)DEGQ** τῆς Δελφικῆς ἱερείας· φησὶ δὲ τῆς Πυθῶνος. c. μελίσσας **BDEGQ** δὲ τὰς ἱερείας, κυρίως μὲν τὰς τῆς Δήμητρος, καταχρηστικῶς δὲ καὶ τὰς πάσας, διὰ τὸ τοῦ ζῴου καθαρόν. 106a B

15 107 a. Δελφίδος αὐτομάτῳ κελάδῳ: ἤτοι αὐτοκελεύ- **BDEGQ** στῳ· οὐ γὰρ κατὰ ἐπίταγμα τῶν χρησμῳδουμένων ἡ προφῆτις τοὺς χρησμοὺς ἐκφέρει, ἀλλ' ἐπιπνοίᾳ· ἢ τῷ μὴ ἐκ συντάξεως φερομένῳ, ἀλλ' ἀπαυτοματιζομένῳ· καὶ ἰδίως· οὐκ ἐρωτηθεῖσ' ὑπὸ τοῦ Βάττου περὶ τῆς ἀποικίας, ἀλλὰ περὶ τῆς φωνῆς· 20 ἔνθεν δὴ καὶ αὐτώρης ὁ τρίπους. Καλλίμαχος (fr. 264)· αὐτώρης ὅτε τοῖσιν ἐπέφραδε. καὶ τότε αὐτώρης ἡ μάντις λέ-

---

12 sch. Eur. Hipp. 73 (p. 14, 18 Schw.)

---

1 πείσασθαι **E** 2 μία τις αὐτῶν μέλισσα **DGQ** ‖ μέλιτος] μελισσῶν **B** 4 ἑαυτῆς **B**: αὐτῆς ‖ ἐκάλεσε] ἐδίδαξε καὶ ἐκάλεσε **D** 7 ταύτας **B**: om. **EGQ** 8 ἐξ ὕλης om. **G** ὕλης om. **Q** 9 οὔτε **B**?**r**: οὔτε δὲ **CEG** οὔτε γὰρ **Q** ‖ γάμος **B**?**Cr**: γάμους **EQ**(**G**cp) ‖ οὐδεὶς **BE**: om. **G** τις **Q** ‖ ταύτας om. **Q** 10 μνήμης χάριν τιμῶμεν **GQ** ‖ τιμῶ μὲν **B** τιμῶσι **r** ‖ τε εὐσ. **EG** δὲ εὐσ. **Q**: εὐσ. τε **B** 11 sch. 106b om. **B** praeter verba λέγει δὲ τῆς πυθῶνος (cfr. ad 112, 16 ‖ ἄλλως om. **Q** 12 φησι **DGQ**: φασι **E** (λέγει **B**, cfr. ad 11) ‖ πυθίας **h** (prob. **b**, Lehrs) 12. 13 μελίσσης δὲ τῆς **B**i 13 κυρίως] μελίσσας κυρίως **r** ‖ δήμητρος] + ἱερείας φασί **r** 15 l. **E**: δελφίδος αὐτ. **DGQ** αὐτομάτῳ δὲ κελάδῳ φησὶν **B** 16 τῶν χρησμῳδουμένων] τῷ χρησμῷ δοῦναι **B** ‖ οἱ προφῆται et 17 ἐκφέρουσιν **Q** 18 ἰδίῳ **b** ‖ ἐρωτηθεὶς (sic) ὑπὸ **DEGQ**: ἠρωτήθη γὰρ παρὰ **B** 20 ἔνθεν δὴ **DGQ**: ἐνθένδε **B** ἔνθα δὲ **E** ‖ αὐτῶρ' ὁ **E** ‖ ὡς καλλίμ. **G** ὁ καλλίμ. **D**

γεται, ὅταν μὴ βουλομένου τινός, περὶ ὅτου ἥκει μαντευσό-
BEGQ μενος, ἀπαυτοματίσῃ. | τοιοῦτον οὖν ἐστι καὶ τὸ αὐτομάτῳ
BDEGQ κελάδῳ, ὃν προήκατο οὐδενὸς πυθομένου. b. ἄλλως· αὐ-
τομάτῳ κελάδῳ· παρόσον ἐκ ταὐτομάτου ἔχρησεν ἡ Πυθία
περὶ τῆς ἀποικίας, τοῦ Βάττου περὶ φωνῆς ἐρωτῶντος. 5

BDEGQ 108. ἅ σε χαίρειν: ἥτις σε περὶ τῆς κακοφωνίας καὶ
τραχείας φωνῆς ἀνερωτῶντα τίς παρὰ θεῶν λύσις γένοιτο,
χαίρειν τρὶς προσειποῦσα εἱμαρμένον βασιλέα διὰ τῶν χρη-
σμῶν ἀπέφηνε τῇ Κυρήνῃ.

BDEGQ 111. φωνᾶς ἀνακρινόμενον: ἀνερευνῶντα, τίς ἔσται 10
τῆς φωνῆς ποινή, τουτέστιν ἀπόλυσις· ἐπεὶ ἡ ποινὴ ἀπολύ-
σεως ἕνεκεν γίνεται.

B 112. ποινὰ τίς: ἀμοιβὴ ἢ λύσις.

BDEGQ 113 a. ἦ μάλα δή: ὁ νοῦς· ναὶ δὴ λίαν καὶ ἐπὶ τοῦ
παρόντος, ὥσπερ ἐν τῇ τοῦ φοινικοῦ καὶ ἀνθηροῦ ἔαρος ἀκμῇ 15
καὶ ὥρᾳ, ἀπὸ κοινοῦ θάλλει τὸ μέρος καὶ τὸ ἄνθος, οὕτω
καὶ ἐν τούτοις τοῖς παισὶν ὄγδοον μέρος ὢν θάλλει καὶ βλα-
στᾷ ὁ Ἀρκεσίλαος.

BDGQ 113 b. τὸ μετά συντακτέον τῷ παισί.

BDGQ 115 a. τούτοις ὄγδοον: τὰ ῥηθέντα ὑπὸ τῆς Πυθίας 20
νῦν θάλλει ὡς ἐν ἔαρι ἐπὶ τοῦ ὀγδόου γένους. ὄγδοος γὰρ
BDEGQ Ἀρκεσίλαος | ἀπὸ Βάττου τοῦ πρώτου, ᾧ γράφει νῦν ὁ Πίν-
BDGQ δαρος. b. ἄλλως· μετὰ τοὺς ἀπὸ Εὐφήμου ἑπτακαίδεκα
καὶ νῦν ὁ Ἀρκεσίλαος ὄγδοός ἐστιν.

---

1 βουλευομένου B[s] || τινὸς ⟨περὶ ἄλλου ἢ⟩ περὶ ὅτου O. Schneider ad Callimachi fr. 264; potius ἀποφαίνεσθαι vel simile quid excidit || ἥκοι DEG 2 οὖν om. B 3 ὃν — πυθομένου post 5 ἀποικίας trp. B || ὃν] ὧν B || ἄλλως et l. om. B 6 l.] + ἐστρίς· ὁ νοῦς οὕτ[ω]ς B || σε om. E || κακοφώνου B 7 ἀνερωτῶντα] + σε E 8 χαίρειν — 9 κυρήνῃ post 12 γίνεται trp. B || χαίρειν] + φησὶ B 10 l.] τουτέστιν B || ἀνερωτῶντα Q 11 τουτέστιν] ἤτοι B 12 ἕνεκε E 14 l.] + μετὰ καὶ νῦν B + μετὰ καί Q || ὁ νοῦς om. B 15 καὶ] κὰν E || εἴαρος E 17 τούτοις τοῖς] τοῖς τούτου B[1] (corr. m. 1) || ὢν] ὃν Er (B legi nequit) 17. 18 βλαστεῖ DQ 19 sch. 113 b (inde a συντακτ.), 115, 116 a in mg. ext. scr. B || sch. 113 b l. nullum DGQ: [μετὰ] καὶ νῦν B || τὸ B?r: τὸ δὲ GQ τῷ D 20 l. DGQ: ἦ μάλα δὴ μετὰ καὶ νῦν B 21 ὡς om. B 23 ἄλλως DGQ: μετὰ καὶ νῦν B || ἀπὸ B: om. DGQ 24 ὄγδοός ἐστι DGQ: ἔσται ὄγδοος B

115 c. *παισί*: τοῖς Κυρηναίοις. BDGQ

116 a. *τῷ μὲν Ἀπόλλων*: τῷ Ἀρκεσιλάῳ. B

116 b. *τῷ μὲν Ἀπόλλων*: τούτῳ μὲν τῷ Ἀρκεσιλάῳ ὅ BDEGQ
τε Ἀπόλλων καὶ ἡ Πυθὼ ἐκ τῆς ἱπποδρομίας δόξαν καὶ
5 μνήμην ἐκ πάντων τῶν περιοίκων δεδώκασιν.

118. *ἀμφικτυόνων*: ἀμφικτύονες καλοῦνται οἱ ἀγωνο- BDEGQ
θέται τῶν Πυθίων ἐκ δώδεκα ἐθνῶν τῆς Ἑλλάδος ὄντες.

119. *ἀπὸ δ' αὐτὸν δώσω*: ἀποδώσω δὲ αὐτὸν ἐγὼ BDEGQ
ταῖς Μούσαις, ἀντὶ τοῦ ὑμνήσω νενικηκότα· ἀνυμνήσω δὲ
10 καὶ τὸ χρυσοῦν δέρας. ζητεῖται δέ, δι' ἣν αἰτίαν καὶ Ἰάσονος
ἐμνήσθη καὶ τοῦ εἰς Σκυθίαν ἀπόπλου· καί φαμεν ὅτι Ἀρ-
κεσίλαος εἰς Εὔφημον ἀνάγει τὸ γένος τὸν τὴν βῶλον ὑπο-
δεξάμενον καὶ συσταλέντα τοῖς Ἀργοναύταις. 121c

121 a. *χρύσεον νάκος κριοῦ*: κατὰ κοινοῦ τὸ Μοί- BDEGQ
15 σαισι δώσω. 122 B b. διὰ τί δὲ συγκαταπέπλοχε ταῖς εἰς τὸν DEGQ
Ἀρκεσίλαον ᾠδαῖς τὰ περὶ τὸν πλοῦν τῶν Ἀργοναυτῶν τὸν
ἐπὶ τὸ χρυσοῦν δέρος τοῦ κριοῦ; ὅτι τὸ γένος τῶν περὶ τὸν
Ἀρκεσίλαον τὴν ἀρχὴν εἶχεν ἀπὸ Εὐφήμου, ᾧ καὶ ἡ βῶλος
ἐδόθη. 122

20 121 c. *μετὰ γὰρ κεῖνο πλευσάντων Μινυᾶν*: ἐπ' BDEGQ
ἐκεῖνο γὰρ τὸ δέρος. d. ὁ δὲ νοῦς· ἐπὶ γὰρ τοῦτο τὸ δέρος
πλευσάντων τῶν Ἀργοναυτῶν θεῖαι τιμαὶ τοῖς Κυρηναίοις
ἐφυτεύθησαν. 121a

122. *πλευσάντων Μινυᾶν*: τῶν Μινυῶν· φησὶ δὲ BDEGQ
25 τῶν Ἀργοναυτῶν, ὅτι οἱ πλείους αὐτῶν εἰς Μινύαν τὸν Πο-

---

24 Tzetzes ad Lyc. 874.

---

1 *παισὶ*] + *τούτοις· ἐν* B 4 *τοῦ ἱπποδρόμου* DGQ 5 *μνή-
μην*] *φήμην* Lehrs p. 124 6 l. om. B ‖ *ἀμφικτύονες*] + *δὲ* B
6. 7 *οἱ τῶν π. ἀγ.* DGQ 8 l. E: *ἀπὸ δ' αὐτὸν ἐγώ* DGQ *ἀπὸ
δ' αὐτὸν ἐγὼ μοίσαισι δώσω* B 9 *ὑπομνήσω καὶ νενικ. ἀνυμν.*,
om. *δὲ* B ‖ *ὑμνήσω* Q (Lehrs): *ὑπομνήσω* ‖ *ἀνυμνήσω*] *ἀναμνήσω*
DG ‖ *δὲ* om. BE 10 *δέρος* Q ‖ *καὶ* (alt.) om. D 15 *δὲ* om. Q
17 *τῶν* EG: *τὸν* D *τὸ* Q 18 *καὶ* E: om. DGQ 20 l. B:
καὶ τὸ πάγχρυσον νάκος E *καὶ τὸ π.* DGQ ‖ *ἐπ'* — 21 *δέρος*]
om. B *τὸ χρύσεον δέρας τοῦ κριοῦ* Γ 21 *ὁ δὲ νοῦς* om. B
24 l. om. B ‖ *τῶν* — 25 *ἀργοναυτῶν* DEGQ (*δὲ* om. Q): *μινυῶν
δὲ τῶν ἀργ. φησιν* B 25 *ὅτι* B: *ὅτι δὲ* DEG *ὅτι καὶ* Q

σειδῶνος καὶ Τριτογενείας τῆς Αἰόλου τὸ γένος ἀνῆγον. καὶ Ἀπολλώνιός φησιν (I 230)·

ἐπεὶ Μινύαο θυγατρῶν
οἱ πλεῖστοι καὶ ἄριστοι ἀφ' αἵματος εὐχετόωντο.

BDGQ 123. σφισίν: αὐτοῖς, τοῖς Κυρηναίοις τοῖς εἰς Θήραν 5 τὴν ἀποικίαν στειλαμένοις.

BDEGQ 124 a. τίς γὰρ ἀρχὰ δέξατο ναυτιλίας: ὁ λόγος ἐρωτηματικὸς πρὸς τὴν Μοῦσαν· τίς γὰρ ἀρχὴ τοῦ πλοῦ; ποῖος δὲ κίνδυνος ἐν τοῖς ἰσχυροτάτοις τοῦ ἀδάμαντος ἔδησεν ἥλοις; τουτέστι ποία ἰσχυρὰ καὶ κινδυνώδης ἀνάγκη παρώρμησε τοὺς 10 Ἀργοναύτας; εἶτα Ὁμηρικῷ ζήλῳ μετὰ τὴν ἐρώτησιν ἐπάγει τὸ αἴτιον· μεμοιραμένον ἦν τὸν Πελίαν ἐκ τῶν ἄγαν διαφανῶν Αἰολιδῶν τελευτῆσαι τὸν βίον, ἢ καὶ γνώμαις ἢ καὶ DGQ πράξεσιν ἀκαταμαχήτοις καὶ σκληραῖς. b. ἄλλως· χρῆται ὁ ποιητὴς ζήλῳ Ὁμηρικῷ· μετὰ γὰρ τὴν πρὸς τὴν Μοῦσαν 15 BDGQ ἐρώτησιν τὴν αἰτίαν ἐπάγει. | ἄρχεται δὲ τῆς ἱστορίας, δι' ἣν DGQ ἔπλευσαν οἱ Ἀργοναῦται. c. θέσφατον δὲ μεμοιραμένον, χρησμῳδηθέν.

BDEGQ 127. ἐξ ἀγαυῶν Αἰολιδᾶν: Αἰολίδης ὁ Ἰάσων· Αἴσονος γὰρ τοῦ Κρηθέως [γίνεται] τοῦ Αἰόλου υἱός· 20

ἔνθ' ἦτοι πρῶτον Τυρὼ ἴδον εὐπατέρειαν,
ἣ φάτο Σαλμωνῆος ἀμύμονος ἔκγονος εἶναι·
φῆ δὲ Κρηθῆος γυνὴ ἔμμεναι Αἰολίδαο (λ 235)·

εἶτα τὸ ἑξῆς·

τοὺς δ' ἑτέρους Κρηθῆϊ τέκεν βασίλεια γυναικῶν 25
Αἴσονά τ' ἠδὲ Φέρητα (λ 258).

---

11 cfr. sch. Α 8. Eust. Il. Α 1 (p. 9, 44); Λ 220 (p. 840, 1) 19 sch. λ 237

---

1 καὶ (alt.)] ὡς καὶ r (ft. recte) 3 μινύας B[1] μινύα? B[2] 5 l. DGQ: θεοπόμποισιν B ‖ ἐς B 7 ἀρχὰ δέξατο E: ἀρχ' (ἄρχ' B) ἐδέξατο BDG ἀρχή Q ‖ ναυτιλίας om. DQ 9 κίνδυνος ἐν] B l. n., sed aliud habuisse vid. 12 ἦν om. BE 12. 13 ἀφανῶν E 13 τὸν βίον om. E 14 καὶ] ταῖς E (B legi nequit) 19 l. DGQ: ἐξ αἰολιδᾶν E om. B 19. 20 αἴσωνος DG 20 γὰρ om. B ‖ γίνεται B: τοῦ DGQ om. E. Seclusi 21 πρώτην codd. Hom. plerique 22 σαλμονῆος B σαλμονῆς E 23 φῆ] φὴ D φησὶ BQ 25 κρηθῆι B: κρηθῆις DEG κρηθεῖ? Q ‖ τέκε codd.; corr. r 26 ἠδὲ BE: ἢ DGQ ‖ φέρητα] + καὶ τὰ ἑξῆς B

129. *Ἦλθε δέ οἱ κρυόεν*: ἦλθε δὲ καὶ ἀνεδόθη τὸ φρικτὸν τοῦτο μάντευμα τῷ συνετῷ αὐτοῦ θυμῷ, τὸ κατὰ τὸν μέσον ὀμφαλὸν ῥηθὲν [τουτέστι κατὰ τὸ Δελφικὸν χρηστήριον τὸ ἐν μέσῳ τῆς οἰκουμένης] τῆς εὐδένδρου γῆς· λέγει δὲ τῆς 5 Πυθῶνος. BDEGQ

132. *ῥηθὲν ματέρος*: τῆς γῆς. B

133 a. *τὸν μονοκρήπιδα*: ἡ ἱστορία παρὰ Φερεκύδει (FHG I p. 87). ἔθυε τῷ Ποσειδῶνι, φησίν, ὁ Πελίας, καὶ προεῖπε πᾶσι παρεῖναι· οἱ δὲ ἦσαν οἵ τε ἄλλοι πολῖται καὶ ὁ 10 Ἰήσων· ἔτυχε δὲ ἀροτρεύων ἐγγὺς τοῦ Ἀναύρου ποταμοῦ, ἀσάμβαλος δὲ διέβαινε τὸν ποταμόν, διαβὰς δὲ τὸν μὲν δεξιὸν ὑποδεῖται πόδα, τὸν δὲ ἀριστερὸν ἐπιλήθεται, καὶ ἔρχεται οὕτως ἐπὶ δεῖπνον. ἰδὼν δὲ ὁ Πελίας συμβάλλει τὸ μαντήϊον, καὶ τότε μὲν ἡσύχασε, τῇ δ' ὑστεραίᾳ μεταπεμψάμενος 15 αὐτὸν ἤρετο ὅ,τι ποιοίη εἰ αὐτῷ χρησθείη ὑπό του τῶν πολιτῶν ἀποθανεῖν· ὁ δὲ Ἰήσων, πέμψαι ἂν εἰς Αἶαν αὐτὸν ἐπὶ τὸ κῶας τὸ χρυσόμαλλον, ἄξοντα ἂν ἀπὸ Αἰήτεω. ταῦτα δὲ τῷ Ἰήσονι Ἥρη ἐς νόον βάλλει, ὡς ἔλθοι ἡ Μήδεια τῷ Πελίᾳ κακόν. 133c B BDEGQ

b. *μονοκρήπιδα*, τὸν μονοσάμβαλον· 20 κρηπὶς γὰρ τὸ βῆμα, καὶ εἴρηται παρὰ τὴν βάσιν. 134 B BEGQ

c. ἄλλως· ὅτι ἐκ τοῦ Ἀναύρου ποταμοῦ μόγις τὸ δεξιὸν πέδιλον ἔσωσεν, ἱστορεῖ καὶ Ἀπολλώνιος (I 10)·

> ἄλλο μὲν ἐξεσάωσεν ὑπ' ἰλύος, ἄλλο δ' ἔνερθε
> κάλλιπεν αὖθι πέδιλον ἐνισχόμενον προχοῇσιν.

7—19 cfr. Apollod. I 9, 16, 2—4 7 Tzetzes ad Lyc. 175 10 id. ibid.

---

1 κρυόεν om. E 3 ὀμφαλὸν] ὀφθαλμὸν E ‖ τουτέστι — 4 οἰκουμένης om. DEGQ; seclusi 7 φερεκύδη B(D) 8 τῷ — πελίας BE: φησὶν ὁ πελ. τῷ ποσ. DGQ 10 ἰήσων DEG: ἰάσων BQ 11 ἀσάνδαλος E 12 καὶ — 13 δεῖπνον om. G 12. 13 καὶ ἔρχεται bis E 13. 14 μαντήιον B: μαντεῖον 15 ποιοίη] ποι... (lac.) E ‖ ὑπό του B: ὑπὸ DGQ ὑπὲρ E ‖ post τῶν ras. E 16 ἰήσων b: ἰάσων ‖ εἰς αἶαν αὐτὸν] αὐτῶν εἰς αἶαν E 17 χρυσόμαλον B ‖ ἂν] ὢν E. Ft. μιν scribend. ‖ αἰήτου B 18 ἰήσονι b: ἰάσονι ‖ ἐς νόον] ἐν νόῳ E ἐν νόον Q ‖ ὡς om. E 19 μονοσάνδαλον EQ[1] 20 καὶ om. EQ 21 ἄλλως ὅτι] ὅτι δὲ B ‖ μόλις Q μό[γ?]ις E 22 ἀπολλώνιος] + λέγων GQ 23 ἀλλ' ὃ μὲν B ‖ ὑπ'] ἀπ' E

εἰσὶ δὲ καὶ Αἰτωλοὶ πάντες μονοκρήπιδες διὰ τὸ πολεμικώτατοι εἶναι. ἦν δὲ τὸ μάντευμα τοιοῦτον· [τὸν μονοκρήπιδα πάντως ἐν φυλακῇ σχεθέμεν μεγάλᾳ καὶ τὰ ἑξῆς.] 133b B

B 134. ἐν φυλακῇ σχεθέμεν: ἀντὶ τοῦ φυλάσσεσθαι.

DEGQ 135 a. αἰπεινῶν σταθμῶν: ἀπὸ τῶν ὑψηλοτάτων ἐν- 5
BDEGQ αύλων, λέγει δὲ τοῦ Χειρωνείου σπηλαίου. b. σταθμῶν ἐς εὐδείελον: τὴν εὖ πρὸς ἑσπέραν κειμένην. ἢ τὴν διαφανῆ καὶ ἐπίσημον. c. ὁ δὲ νοῦς· ὅταν ἀπὸ τῶν ὑψηλοτάτων ἐπαύλεων τοῦ Χείρωνος (παρὰ γὰρ αὐτῷ ἐπαιδεύθη) εἰς τὴν πρὸς τῇ ἑσπέρᾳ γῆν τῆς εὐδόξου Ἰωλκοῦ παραγένηται 10 ξένος ὢν καὶ πολίτης. 138 B d. τὸ δὲ σημεῖον χ, ὅτι σταθμοὺς τὰς κατ' ἀγροὺς ἐπαύλεις ἔλεγον, καὶ ὅτι εὐδείελον τὸ εὔδηλον προσονομάζεται (ν 234)·

ἤ πού τις νήσων εὐδείελος ἠέ τις ἀκτή. 145 B

BDEGQ 138 a. ξεῖνος αἴτ' ὢν ἀστός· καὶ ξένος ὢν καὶ πολίτης 15 ὁ Ἰάσων, πολίτης μὲν ὅτι Ἰωλκίους εἶχε τοὺς γονεῖς, ξένος δὲ ὅτι τεχθεὶς παρὰ τῷ Χείρωνι ἀνετράφη. b. ὁ δὲ Ἰάσων χρόνῳ παρεγένετο, δύο δόρασι θαυμαστὸς καὶ ἐκπληκτικός.

BDEGQ 140 a. ἐσθὰς δ' ἀμφότερόν μιν ἔχεν: ἐσθὴς δὲ διπλῆ συνεῖχεν αὐτόν, ἥ τε τῶν Μαγνήτων ἐπιχώριος, ἁρμο- 20 ζομένη τοῖς θαυμαστοῖς μέλεσι, καὶ ἡ παρὰ Χείρωνι παρ-

---

7 et 12 sch. ι 21. Eust. ibid. p. 1613, 32. Ap. soph. p. 78, 25. Hes. εὐδείελον. EM 389, 40

1 καὶ om. Q ‖ αἰτωλεῖς G 1. 2 πολεμικώτατ(οι) BG: -τατον E -τάτους Q 2 δὲ BE: γὰρ GQ ‖ τοιοῦτο B ‖ τὸν — 3 ἑξῆς B: om. EGQ. Seclusi 5 l. E: εὖτ' ἂν αἰπεινῶν DGQ 5. 6 ἐπαύλων Q 6 χειρωνίου E 6. 7 l. EGQ: σταθμὸν εὐδείελον D εὖτ' ἂν ἀπὸ αἰπεινῶν σταθμῶν εἰς εὐδείελον B 7 τὴν (pr.)] τουτέστι τὴν B ‖ ἢ — 8 ἐπίσημον B: om. DEGQ 8 νοῦς] + οὕτως B 8. 9 ὑψηλῶν DGQ 9 παρὰ — ἐπαιδεύθη B: om. DEGQ 11 τὸ δὲ σημεῖον χ DGQ τὸ δὲ χ E: σημειωτέον δὲ B 12 τὰς ἐπ. τὰς κατ' ἀγροὺς B ‖ ἔλεγε b 13 εὔδηλον B: εὔδειλον 14 om. D ‖ ἠέ] ἢ B 15 ξεῖνος — πολίτης om. B, qui h. sch. cum 135c contin. 16 ὁ om. E ‖ ἰάσων] + δηλονότι καὶ B ‖ ἰωλκείους E 17 τεχθεὶς ⟨ἐκεῖ⟩ Lehrs p. 125 ‖ ἀνετράφη EGQ: ἐτράφη D ἐτράφη καὶ ἀνετράφη B ‖ l. omisi: ὁ δ' ἄρα χρόνῳ [ἵκετο?] B ἢ οὕτως DEGQ 18 παρεγένετο DEG: παραγένετο Q παραγέγονε B ‖ θαυμαστὸς BE: ἀγαθὸς DGQ 19 l. E: ἐσθὰς δ' ἀμφότερον DGQ om. B 21 χείρωνι r: χείρωνος Q -να E cp. BDG

δαλέα, ἣ ἔσκεπε καὶ ἀπήλεξε τοὺς φρίσσειν παρασκευάζοντας ὄμβρους. b. *ἄλλως· ἠμφίεστο γὰρ δύο σχήματα, τό τε παρὰ Χείρωνι καὶ τὸ Μαγνήτων, καὶ ἡ μὲν ἦν στολή, ἡ δὲ παρὰ Χείρωνι δορὰ παρδάλεως.* DEGQ

5 144. *φρίσσοντας ὄμβρους: οὐκ αὐτοὺς φρίσσοντας, ἀλλὰ φρίσσειν ποιοῦντας. καὶ Ὅμηρος* (Z 132)· BDEGQ

ὅς ποτε μαινομένοιο Διωνύσοιο τιθήνας,

οὐκ αὐτοῦ μαινομένου, ἀλλὰ τοῦ μανιοποιοῦ. καὶ χλωρὸν δέος (*H* 479), *τὸ χλωροποιόν. διὸ καὶ τὸ σημεῖον.* 135ᵈ B

10 145. *οὐδὲ κόμαν πλόκαμοι: οὐδὲ τὴν πρώτην κόμην εἰς ἀπαρχὴν τοῖς θεοῖς ἐκείρατο, ἀλλ' ὡς Ἀχιλλεὺς νέος ἦν πρωτοκόμης* (*Ψ* 144)· BDEGQ

| *Σπερχεῖ', ἄλλως σοί γε πατὴρ ἠρήσατο Πηλεύς.* BEGQ

καὶ παρ' Αἰσχύλῳ (Choeph. 6)·

15 *πλόκαμον Ἰνάχῳ θρεπτήριον,*
τὸν δεύτερον δὲ τόνδε πενθητήριον,

Ὀρέστης φησὶ τῷ Ἀγαμέμνονι. τὰς γὰρ πρώτας κόμας τοῖς ποταμοῖς οἱ ἀρχαῖοι ἀπεκείροντο, σύμβολον τοῦ ἐξ ὕδατος εἶναι πάντων τὴν αὔξησιν.

20 148 a. *τάχα δ' εὐθὺς ἰών: ὁ νοῦς· ταχέως δὲ εὐθὺ πορευόμενος τῆς ἑαυτοῦ γνώμης τῆς ἀφόβου καὶ ἀταράχου ἔστη διάπειραν λαμβάνων. ὃ δὲ λέγει τοιοῦτόν ἐστιν, ὅτι καὶ πολλοῦ ὄχλου ὄντος ἐν τῇ πόλει πρὸς παρρησίαν ὅλον ἑαυτὸν* BDEGQ

---

6 sch. A Z 132. Eust. ibid. (p. 629, 26) 8 Eust. ad *λ* 632, p. 1704, 20. Ap. soph. p. 168, 10. Hes. s. v. EM p. 813, 3 18 sch. *Ψ* 142. Eust. ibid., p. 1293. id. ad *B* 6, p. 165, 4

---

1 *ἣ*] + *καὶ* **E** ‖ *ἔσκεπε*] in **B** l. n., sed non fuit *ἔσκεπε*; *ἔσκεπε* **B**ˢ (**B**²?) ‖ *ἀπήλεξε* **EGQ** (cj. **b**): *ἀπήλεγε* **D** *ἀπήλυγε* **B** 2 *ὄμβρους*] *τοὺς ὄμβρους* **E** 5 sq. cfr. rec. p. 23 Schn. 5 l. om. **B** 6 *ποιοῦντας*] + *ὄμβρους* **B** ‖ *καὶ* **EGQ**: *ὡς* **D** *ὡς καὶ* **B** 8 *τοῦ* om. **B** 9 *διὸ — σημεῖον* om. **BE** 10 *πλόκαμοι* om. **Q** ‖ *οὐδὲ*] *οὐ* **B** 11 *ἐκείρατο*] *ἀνείρατο* **Q** ‖ *ἀχιλεὺς* **B** ‖ *νέος ἦν* **BE**: *ἦν νέος* **DG**(**Q**) 12 *πρωτοκόμης*] + *ὅμηρος* **B** 18 *ἀπεκείραντο* **EGQ** 19 *αὔξησιν* Beck: *ἄσκησιν* 20 *ὁ νοῦς* om. **B** 20. 21 *εὐθὺ πορευόμενος* **E**: *εὐθὺς πορ.* **B** *πορ. εὐθὺς* **DGQ** 20 *τῆς* (alt.) om. **E**

παρεσκεύαζεν. b. ἄλλως· εὐθύς: [ἀντὶ τοῦ εὐθέως. ἢ] ἐπ' εὐθείας πορευθείς. τὸ δὲ σφετέρας οὐχ ὑγιῶς· ἔδει γὰρ ἑᾶς· περὶ ἑνὸς γὰρ ὁ λόγος.

DEGQ 149 a. γνώμας ἀταρβάκτοιο: οἷον πρὸς παρρησίαν ὅλον ἑαυτὸν παρεσκεύαζε. b. τὸ δὲ σημεῖον χ', ὅτι ἀταρβήκτοιο εἶπεν ἀντὶ τοῦ ἀκαταπλήκτου, καὶ ὅτι γνώμας ἀντὶ τοῦ διανοίας. c. τὸ δὲ ἑξῆς· ἐστάθη ἐν ἀγορᾷ πλήθοντος ὄχλου. 5

BDEGQ 152 a. τὸν μὲν οὐ γίνωσκον: τοῦτον μὲν οὖν νεωστὶ τῇ Μαγνησίᾳ ἐπιδημήσαντα οἱ ἐνοικοῦντες οὐκ ἐγίνωσκον. 10 b. ὀπιζομένων: ἐπιστρεφομένων εἰς αὐτὸν καὶ τοὺς ὦπας ἐπιβαλλόντων. c. ἢ οὕτως· ἐπεὶ ὄπις ἐστὶν ἡ τοῦ μέλλοντος ἐπιστροφή, τὸ ἐσόμενον ὕστερον προλαβών τις εἶπεν. d. ἢ ὀπιζομένων, τῶν τοὺς θεοὺς πρὸ ὀφθαλμῶν ἐχόντων καὶ εὐλαβῶν. 15

BDEGQ 154 a. οὔτι που οὗτος Ἀπόλλων: ἐχρήσατο τῷ λόγῳ πάνυ κεκολασμένως τὸ οὔτι προσθείς, καὶ ἔδωκε διὰ μὲν τὸ κάλλος ὅμοιον εἶναι τοῖς θεοῖς τὸν Ἰάσονα, διά γε μὴν τὸ τῆς φύσεως φθαρτὸν ἀμφιβάλλων ἀπαρνεῖται. b. ὁ δὲ νοῦς· οὐδαμῶς οὗτός ἐστιν ὁ Ἀπόλλων, οὐδὲ μὴν ὁ ἱππικώτατος 20 Ἄρης ὁ πόσις τῆς Ἀφροδίτης. τοῦτο δέ φησι διὰ τὸ ἄγαν ἀνθηρὸν καὶ ὡραῖον τοῦ Ἰάσονος. χαριέστατα δὲ παρέλαβεν Ἄρεα καὶ Ἀπόλλωνα.

BDEGQ 156 a. ἐν δὲ Νάξῳ φαντὶ θανεῖν: ἐν δὲ τῇ εὐδαί-

---

2 sch. O. IX 118a 11—15 cfr. sch. P. II 34

---

1 ἀντὶ — ἢ B: om. DEGQ. Seclusi 2 οὐχ ὑγιῶς· ἔδει γὰρ DEGQ: ἀντὶ τοῦ B 3 γὰρ] + ἐστιν B 4 ἀταρβύκτου E 5 παρεσκεύασε E ‖ cfr. rec. p. 24 Schn. ‖ σημεῖον om. E 5. 6 ἀταρβύκτοιο E ἀταρβάκτοιο Q, rec. 6 καταπλήκτου Q καταπληκτικοῦ E 9 οὐ γίνωσκον E: οὐ γιγν. GQ οὐκ ἐγίν. BD 11 ὀπιζομένων] + δὲ ἀντὶ τοῦ B ‖ εἰς] πρὸς B ‖ αὐτὸν BE: ἑαυτὸν DGQ 15 εὐλαβῶν BE: εὐσεβῶν DGQ 16 l. BE: οὔτι που DGQ 17 μὲν τὸ BE: τὸ μὲν DGQ 18 γε BE: δέ γε DG δὲ τί Q 19 φθαρτὸν B: ἄφθαρτον ‖ ἀμφιβάλλων BGQ ἀμφιβαλὼν D: τὸ ἀμφιβάλλον E ἀμφιβάλλον Beck 20 μὴν om. DGQ 22 δὲ om. E 24 l. B: ἐν δὲ ν. φ. E ἐν δὲ ν. DGQ ‖ εὐδαίμονι] + νήσῳ DGQ

μονι Νάξῳ φασὶ τεθνηκέναι τὸν τῆς Ἰφιμεδείας παῖδα Ὦτον καὶ σέ, ὦ τολμηρότατε Ἐφιάλτα. Ἰφιμεδείας δὲ καὶ Ἀλωέως γεγόνασι παῖδες Ὦτος καὶ Ἐφιάλτης. οὗτοι δὲ ἀσεβῶς διετέθησαν περὶ τὴν Ἄρτεμιν, καί ποτε εἰς ἔλαφον ἑαυτὴν ἡ θεὸς
5 μεταποιήσασα θηρεύουσιν αὐτοῖς κατὰ τὴν Νάξον ἐν μέσῳ ὤφθη. οἱ δὲ κατατοξεύειν τὴν ἔλαφον ὑπολαμβάνοντες ἔλαθον ἀλλήλους τιτρώσκοντες. τούτους οὖν ἐπὶ τοῦ ἐκτραπέλου τοῦ Ἰάσονος σώματος παρείληφεν. b. ἄλλως· ἐν τῇ Νάξῳ τεθνήκασιν οἱ Ἀλωεῖδαι, οἱ καλοὶ ἐκεῖνοι. μέμφεται δὲ Χαῖ-
10 ρις ἐπὶ τῇ παραλήψει τῶν Ἀλωειδῶν· ἀρκεῖ γὰρ ὁ Ἀπόλλων καὶ ὁ Ἄρης. θεοῖς μὲν γὰρ εἰκάζομέν τινας, ἀνθρώποις δὲ ὑπερφυέσι καὶ τερατώδεσιν οὐκέτι. ὅτι δὲ εὐπρεπὴς ἦν ὁ Ἰάσων, δῆλον ἐκ τοῦ καὶ τὴν Ἥραν κατά τινας αὐτῷ ἐπιμανῆναι.

15 160a. *καὶ μὰν Τιτυόν*: ἀλλὰ μὴν τὸν Τιτυὸν τὸ τῆς **BDEGQ** Ἀρτέμιδος βέλος ἐθήρευσε καὶ ἀνεῖλεν ἐκ τῆς ἀνικήτου βελοθήκης ὁρμώμενον. ἀκύρως δὲ τὸν Τιτυὸν ἐνταῦθα παρατίθησι τερατώδη ὄντα τὸ σῶμα καὶ ἄλλως ἀσεβῆ. b. ἄλλως· ὁ μὲν Τιτυὸς μέγας ἦν, καλὸς δὲ οὔ. ὅτι δὲ ὑπὸ Ἀπόλλωνος
20 καὶ Ἀρτέμιδος ἐτελεύτησε, Φερεκύδης (FHG I p. 71) φησίν.

163. *ὄφρα τις τᾶν ἐν δυνατῷ*: τοξευθείς, φησίν, ὁ **BDEGQ** Τιτυὸς ὑπὸ τῆς Ἀρτέμιδος καὶ ἀναιρεθεὶς παράδειγμα τοῖς μετὰ ταῦτα γέγονεν, ὅπως ἄν τις τῶν δυνατῶν ἐπιθυμιῶν ὀρέγηται.

3—7 Apollod. 1, 7, 4, 4. sch. Hom. E 385. λ 318. Hyg. fab. 28. — (Cfr. sch. λ 308 Ἐφιάλτην: περιβόητον ἐπὶ ἀνδρείᾳ ἢ ἐπὶ βλασφημίᾳ. διὰ δὲ τοῦ π̄ τὸ ὄνομα. Eust. ad E 387, p. 561, 9. ad λ 315, p. 1687, 52.)

---

2 σὲ] σὺ **E** ‖ ἀλωέως **BE** 3 δὲ om. **B** 4 ἡ θεὸς ἑαυτὴν **B** 6 κατατοξεύσειν **B** 6. 7 ἐλάνθανον **E** 7 ἐκτραπέλου **BE**: εὐτρ. **DGQ** 8 σώματα **E** ‖ παρείληφεν] ἔλαβεν **B** 9 ἀλωεῖδαι **DGQ**: ἀλωίδαι **E** ἀ(et ἀ)λωάδαι **B** (ά incertum) 10 ἀλωειδῶν **DGQ**: ἀλωιδῶν (-ίδων **E**) **BE** 11 εἰκάσομεν **B** 13. 14 ἐπιμανῆναι αὐτῷ **DGQ** 15 l. **DEGQ**: + βέλος ἀρτέμιδος **B** ‖ μὴν] + καὶ **B** ‖ τὸ **BD**: om. **EGQ** 20 ἐτελεύτησε] + τοξευθεὶς **B** ‖ φερεκύδης] καὶ φερ. **GQ** 21 l. **E** (sed τῶν): ὄφρα τις τᾶν **DG** ὄφρα τις **Q** ἐπάγει δὲ καὶ αὐτὸς ὅτι **B** ‖ φησὶν om. **B** 22 ἀναιρεθεὶς] φονευθεὶς **B**

BDEGQ 165. *τοὶ μὲν ἀλλάλοισιν*: τοιαῦτα μὲν οἱ κατὰ τὴν ἀγορὰν Μάγνητες ὄντες ἀλλήλοις διαλεγόμενοι ἔλεγον.

BDEGQ 166 a. *προτροπάδαν*: ἀντὶ τοῦ ἐπτοημένως. b. ὁ δὲ νοῦς· ἐν δὲ τοῖς ἡμιόνοις καὶ τῇ ἐνδόξῳ ἀπήνῃ ἐπτοημένως DGQ παρεγένετο σπεύδων ὁ Πελίας. 168c B c. ἢ προτροπάδην τὸ 5 προτετραμμένος ἐπ' εὐθείας.

BDEGQ 168 a. *τάφε δ' αὐτίκα*: ἐξεπλάγη δὲ ἰδὼν τὸν μονοκρήπιδα, ὡς κατ' αὐτοῦ τι δράσοντος τοῦ Ἰάσονος, καὶ τοῦ χρησμοῦ νῦν ἀποτελουμένου. 172 B b. *πέδιλον* δὲ νῦν εἶπε τὴν κρηπῖδα· πάντα γὰρ τὰ τοῖς ποσὶ περιειλούμενα πέδιλα 10 BEGQ καλεῖται. 168a B c. ἄλλως· εὐθέως δὲ κατεπλάγη θεασάμενος τὸ ἄγαν αὐτῷ διὰ τὸν χρησμὸν εὔγνωστον ὑπόδημα τοῦ Ἰάσονος τῷ δεξιῷ αὐτοῦ περικείμενον ποδί.

DEGQ 169. *ἀρίγνωτον*: τὸ ἄγαν αὐτῷ διὰ τὸν χρησμὸν εὔγνωστον. 15

BDEGQ 171 a. *κλέπτων δὲ θυμῷ*: ὑποκλέπτων δὲ τῇ ψυχῇ DEGQ τὸν φόβον τὸν κατὰ τὸν χρησμὸν προσεῖπεν. 168b B b. ἀντὶ τοῦ οὐκ ἀναγυμνῶν αὐτοῦ τὴν εὐλάβειαν.

BDEGQ 172. *ποίαν γαῖαν, ὦ ξεῖν', εὔχεαι*: ποίαν γῆν, ὦ ξένε, καυχᾷ ἔχειν πατρίδα, καὶ τίς σε τῶν χαμαιγενέων ἀν- 20 θρώπων ἐκ τιμίας ἀνῆκε γαστρός; εἰπέ, μὴ τοῖς ἐχθροῖς ψεύδεσι τὴν τιμίαν καταμιάνῃς γένναν. 177 B

---

10 EM 658, 51. EG 456, 40. Zon. 1535. Ap. soph. 129, 9. Eust. ad ε 44 p. 1521, 64, al.

---

1 l.] + [ἀμειβόμενοι] B ‖ τὴν om. DGQ 3 προτροπάδαν — 4 νοῦς om. B 4 τοῖς] ταῖς DG ‖ ἐνδόξῳ B εὐξέστῳ Lehrs p. 127 5 σπ. ὁ π. παρεγένετο DGQ 7 l. DEGQ: ἄλλως B ‖ δὲ om. B 8 δράσοντος] δράσω E 9 ἐπιτελουμένου DG 11 καλεῖται BE: καλοῦνται DGQ ‖ ἄλλως om. B 16 l. E: κλέπτων δέ DGQ om. B 17 κατὰ] περὶ B 18 ἀπογυμνῶν b ‖ αὐτοῦ b: αὐτοῦ 19 l. B (? ἶν' εὔχεαι l. n.) r: π. γ. ὦ ξεῖνε E π. γ. DGQ 21 γαστρός in B aut ante ἀνῆκεν lac. haustum aut om. ‖ ἐχθροῖς BE: ἐχθίστοισ(ι) DGQ 21. 22 ψεύδεσι] κέρδεσι E 22 τὴν — γένναν codd. (γένναν in B l. n.): τὴν τιμίαν καταμιάνῃς r τὴν γένναν καταμιάνῃς b. Ft. τὴν ἰδίαν κ. γ. ‖ post γένναν add. οἷον πρὸς τὸ εἶδος καὶ ἐλευθερίως φθέγγου EG(Q); id. post. sch. 177 repet. iid.

174 a. *ἀνθρώπων χαμαιγενέων*: τὸ ἀνθρώπων ἥρ- BDEGQ μοζε τῷ ἔτεκεν, ὃ καὶ ἐπ' ἀρσένων τίθεμεν· τὸ δὲ γυναικῶν τῷ νῦν κειμένῳ ἐξανῆκε γαστρός· ἴδιον γὰρ τῶν γυναικῶν τοῦτο. b. *πολιᾶς* δὲ νῦν λέγει τῆς τιμίας, παρὰ τὸ τοῦ
5 γήρως ἔντιμον. 180 B

177. *μὴ ψεύδεσι καταμιάνας*: λείπει ἤτοι τὸ εἶδος ἢ BDEGQ τὸν λόγον. μὴ μολύνας τοῖς ψεύδεσι τὴν μορφὴν καὶ τὸ εἶδος, εἰπὲ πόθεν γεγέννησαι· οἷον πρὸς τὸ εἶδος καὶ ἐλευθερίως φθέγγου. 174 B

10 180 a. *φαμὶ διδασκαλίαν Χείρωνος οἴσειν*: φημὶ BDEGQ καὶ διαβεβαιοῦμαι τὴν Χείρωνος διδασκαλίαν κομίζειν, ἀντὶ τοῦ γνώσῃ διὰ τῶν λόγων οὐ ψευδόμενόν με, ὡς τοῦ Χείρωνος ἐλευθερίως αὐτὸν ἀναθρέψαντος καὶ διδάξαντος μὴ ψεύδεσθαι. b. ἄλλως· διδασκαλία τοῦ Χείρωνος, ἡ ἀλή-
15 θεια· οἷον, οὐ ψεύσομαι ἀλλὰ τὴν ἀλήθειαν ἐρῶ, ἣν ἔμαθον παρὰ Χείρωνος δικαίου τυγχάνοντος.

181. *ἄντροθε γὰρ νέομαι*: ἔθος αὐτῷ τῶν τοπικῶν τὸ BDEGQ ν̄ ἀφαιρεῖν. ὁ δὲ νοῦς· ἐκ γὰρ τοῦ Χειρωνίου σπηλαίου παραγίνομαι ἀπὸ τῆς Χαρικλοῦς καὶ Φιλύρας, ἔνθα με αἱ
20 τοῦ Κενταύρου ἁγναὶ κόραι ἀνέθρεψαν.

182. *πὰρ Χαρικλοῦς*: Χαρικλὼ γυνὴ Χείρωνος, θυγά- BDEGQ

---

1 l. DEGQ: ἄλλως B ‖ ἀνθρώπων (alt.)] + χαμαιγενέων DG 1. 2 ἥρμοσε B[1] ἅρμοζε B[s](B[2]?) ‖ ἀρσένων] εὐγενῶν B 4 νῦν — 5 ἔντιμον] τὸ ἔντιμον ὡς πὰρ τὸ τοῦ γέρως(?) D ‖ λέγει] + ἀντὶ τοῦ B 6 l. E: καταμιάνας B?(l. n.) DGQ ‖ λείπει] + τὸ B ‖ ἢ — 7 ψεύδεσι om. D 7 μὴ EGQ: οἷον μὴ B ‖ μολύνας EG: μολύνῃς B? Q ‖ τὴν — εἶδος] καὶ τὴν μορφὴν D 8 εἰπὲ] ἐπεὶ B ‖ γεγένησαι BDG ‖ οἷον — καὶ om. D ‖ οἷον EGQ: ἤτοι B 8. 9 ἐλευθερίως DQ (B l. n.): ἐλευθέρως EG 9 φθόγγου E 10 l. B: φαμὶ διδασκαλίαν (D)EQ φαμί G ‖ φημὶ] + καὶ διανοοῦμαι DGQ 13 ἐλευθερίως (-έρως ?) αὐτὸν B 14 ἄλλως — 15 ψεύσομαι om. D 15 ἐρῶ] ἐρῶντ(ος) D ‖ ἣν — 16 τυγχάνοντος om. D ‖ ἣν] + καὶ E 17 l. D (sed ἄνθροθεν) E: ἄντροθε GQ om. B ‖ ἔθος] + δὲ B 17. 18 τὸ ν̄ ἀφαιρεῖν Cr: τὸ νᾶ φέρειν E τὸν λόγον ἀφαιρεῖν B προφέρειν τὸν β' D? προφέρειν τὸν α' (corr. ex ᾱ) G προφέρειν τὸν πρῶτον Q 18 χειρωνίου B[cp] EG[cp]: χείρωνος DQ 21 l. EG: πὰρ χ. καὶ φιλύρας D χαρικλοῦς Q om. B ‖ χαρικλὼ DEGQ: φιλύρα δὲ μήτηρ χείρωνος, χαρικλὼ δὲ B

τηρ Ἀπόλλωνος ἢ ὥς τινες Πέρσου ἢ Ὠκεανοῦ, ἐξ ἧς καὶ Χείρωνος Κάρυστος. ὁ δὲ Ἡσίοδος (fr. 124) Ναΐδα φησὶ τὸν Χείρωνα γῆμαι.

BDEGQ 184. εἴκοσι δ' ἐκτελέσαις ἐνιαυτούς: εἴκοσι δὲ ἐκπληρώσας ἐνιαυτοὺς παρὰ Χείρωνι οὔτε ἔργον οὔτε λόγον 5 ἐκείνοις ἀπαίδευτον εἰπὼν παρεγενόμην εἰς τὰ οἰκεῖα, τὴν ἀρχὴν καὶ βασιλείαν ἀναλαμβάνειν σπεύδων τοῦ πατρὸς Αἴσονος ὑπ' ἄλλῳ νῦν οὐ κατὰ τὸ δίκαιον οὖσαν.

DEGQ 186 a. ἐντράπελον: ἀπαίδευτον, αἰσχρὸν, ὃ ἐκτρέψαιτο ἄν τις. b. ἢ οὕτως· ἐναντίον καὶ αἰσχρὸν, ὃ ἄν τις ἐν- 10 τραπείη.

BDEGQ 188 a. οἶκαδ' ἀρχαίαν κομίζων: παραγώγως ἐξήγαγε τὴν ἀρχὴν, ὡς καὶ Ὅμηρος (τ 73) τὴν ἀνάγκην· ἀναγκαίη γὰρ ἐπείγει. b. ἄλλως· Χαῖρις γράφει ἀρχὰν ἀγκομίζων, ἵν' ᾖ, τὴν ἀρχὴν ἀνακομιούμενος τοῦ ἐμοῦ πατρὸς, ἥτις βα- 15 σιλεύεται παρὰ πάντα τὰ δίκαια. ὁ γὰρ Πελίας ἀφείλετο τὸν Αἴσονα τὴν ἀρχήν.

BDEGQ 190. τάν ποτε Ζεὺς ὤπασεν: ἥντινά ποτε βασιλείαν ὁ Ζεὺς ἐχαρίσατο τῷ Αἰόλῳ καὶ τοῖς αὐτοῦ παισίν. ἡ δὲ γενεαλογία οὕτω· Προμηθέως Δευκαλίων, οὗ Ἕλλην, οὗ Αἴολος, 20 οὗ Κρηθεὺς καὶ Ἀθάμας καὶ Σαλμωνεύς· καὶ Κρηθέως μὲν

---

12 sch. P. IV 499. Eust. ad Il. p. 474, 44, al. Cramer. Anecd. Ox. I p. 104. Draco Strat. p. 20. Bk. Anecd. I p. 22, 28. Apoll. de adv. p. 598, 14

---

1 πέρσου **B**: περίον **DG** περὶ οὗ **E** πρίον **Q** ‖ ἢ **DGQ**: ἡ **E** καὶ **B** ‖ ἧς] ἡ **E** 2 κάριστος **E** 4 l. **B**: εἴκοσι ἐκτελέσας **E** om. **DGQ** 6 ἀπαίδευτον om. **DEGQ**; fuit ft. ἐναντίον ‖ τὰ οἰκεῖα **Er** (**B** l. n.): τὴν οἰκείαν **DG**ac τὸ (τὸν **G**) οἰκεῖον **G**pc**Q** ‖ τὴν om. **DG** 7 σπεύδων ἀναλαβεῖν **B** 9 l. **DGQ**: οὔτ' ἔπος ἐντράπελον **E** ἐκτράπ. Schneider 10 ἐναντίον] ἐντράπελον Schneider (perperam) ‖ αἰσχρὸν] ἐχθρὸν Schroeder 10. 11 ἐκτραπείη **Q** 12 l. **E**: οἶκαδ' ἀρχαίαν **DGQ** om. **B** ‖ παραγώγως] + δὲ **B** 13 καὶ om. **DGQ** 14 γὰρ] + φησὶν **B** ‖ ἀγκομίζων **DGQ**: ἐγκομίζων **E** ἀγκ. πατρὸς ἐμοῦ **B** ἀγκομίξων Bergk 16 πάντα τὰ δίκαια **BEQ**: πάντ(ων) δικαίου λόγον **DG**cp ‖ ἀφείλατο **EG** 18 l. **BD**: τάν ποτε ζεύς **E** τάν ποτε **GQ** ‖ ποτε (alt.)] + φησι **B** 19 αὐτοῦ **BQ**i: ἑαυτοῦ **DEGQ**s

παῖς Αἴσων, Αἴσονος δὲ Ἰάσων· Σαλμωνέως δὲ Τυρώ, ἧς καὶ Ποσειδῶνος Πελίας καὶ Νηλεύς.

193. πεύθομαι γάρ μιν Πελίαν ἄθεμιν: κατακούω δὲ τὸν ἄδικον Πελίαν ταῖς ἀνοήτοις πεισθέντα φρεσὶ τῶν 5 ἡμετέρων γονέων ἀποσυλῆσαι τὴν βασιλείαν. BDEGQ

194 a. λευκαῖς πιθήσαντα φρασίν: λευκὰς εἶπε φρένας κατὰ τὸ ἐναντίον ταῖς παρ' Ὁμήρῳ μελαίναις, ἃς ἐκεῖνος ἀπὸ τῶν ἐν βάθει διαφαινομένων ὑδάτων κατὰ μεταφορὰν ὠνόμασε. τὰ μὲν γὰρ ἐπιπόλαια τῶν ὑδάτων διαυγῆ καὶ 10 λευκά, τὰ δὲ ἐν βάθει μέλανα· διόπερ τὰς μὲν ἐπιπολαίους λευκὰς φρένας εἶπε, τὰς δὲ ἐν βάθει μελαίνας Ὅμηρος. BDEGQ

b. ἄλλως· σημειωτέον ὅτι τὰς κενὰς οὕτως εἶπεν. DGQ

195 a. ἀμετέρων ἀποσυλᾶσαι: Χαῖρις γράφει ἀμετέρων, καὶ περισπᾷ τὸ ἀρχεδικᾶν, ἵν' ᾖ, τῶν ἡμετέρων πατέρων 15 τῶν ἀρχεδικῶν ἀποσυλῆσαι αὐτὸν πεύθομαι. ἐὰν δὲ ἀρχεδίκαν, τὴν ἀρχήν, ἣν κατὰ δίκην, τουτέστι κατὰ τὸ δίκαιον εἶχον οἱ ἐμοὶ γονεῖς. βιάζεται δὲ μεταγράφων. προτέταχε γὰρ τὴν ἀρχήν· ἱκόμαν οἴκαδε ἀρχαίαν κομίζων· διόπερ ἀκολούθως ἐπήνεγκεν· ἀμετέραν ἀποσυλῆσαι. ἐὰν δὲ περισπωμένως 20 ἀναγινώσκωμεν ἀρχεδικᾶν, οὐκ ἐκκόπτει ἡ γραφή· ἔσται γὰρ ὁ λόγος τοιοῦτος· τὴν ἡμετέραν ἀρχὴν τῶν ἀρχεδικῶν μου γονέων πεύθομαι τὸν Πελίαν ἀποσυλῆσαι. BDEGQ

b. ἄλλως· ἀρχεδικᾶν ἐὰν περισπωμένως, τῶν δικαίων βασιλέων· ἐὰν δὲ βα- EGQ

---

7 cfr. sch. Hom. γ 6. Α 103. Ap. soph. 110, 22. Hes. μέλαιναι φρένες, al. sch. 194c (?). (Phot.,) Suid.: λευκαὶ φρένες: μαινόμεναι· ἢ λαμπραὶ καὶ ἀγαθαί· ἢ ἥμεροι

---

1 αἴσονος δὲ] οὗ DGQ 3 l. B: π. γάρ μιν π. D π. γάρ μιν EGQ 4 δὲ] + φησὶ B 4. 5 τὴν τῶν ἡμ. γ. ἀποσ. βασιλείαν B 6 l. DQ (φρεσί Q): λευκαῖς φρασ(ί) E λευκαῖς πιθήσαντ(α) G om. B ‖ λευκὰς] + δὲ B 9 μὲν om. DG 11 ὅμηρος BE: ὁ θειότατος ὅ. DGQ 13 l. B (ἀποσυλῆσαι B?) E: ἀμετέρων DGQ ‖ post l. add. ἡμ[ετέρων ἀ]ποσυλῆσαι B 14 ἀρχαιδικᾶν DGQ ubique 17 βιάζεται δὲ μεταγράφων om. B ‖ προστέταχε E 18 τὴν ἀρχήν del. Lehrs p. 128 19 ἐπήνεγκεν] ἐπήγαγεν B ‖ ἀποσυλῆσαι] + αὐτὸν πεύθομαι DG ‖ ἐὰν] εἰ B 20 ἀναγινώσκομεν BEG 21. 22 μου γονέων] μουσογονέων E 22 ἄλλως om. E 22. 23 ἀρχεδικῶν E 23 ἐὰν (pr.)] + μὲν Q ‖ βασιλέων b: βασιλειῶν

ρυτόνως ἀρχεδίκαν, ἀρχεδίκην, ἵν' ᾖ· τὴν ἐξ ἀρχῆς βασιλείαν. ⟨ἣν⟩ εἶχον δικαίως.

BDEGQ 197 a. τοί μ' ἐπεὶ πάμπρωτον εἶδον: οἵτινές με γονεῖς, ἐπειδὴ τεχθεὶς τὸ πρῶτον φῶς ἐθεασάμην, τοῦ ἀδικωτάτου βασιλέως δεδοικότες τὴν ὕβριν, φροντίδα καὶ λύπην 5 πένθιμον ὥσπερ τετελευτηκότος μου ἐν τοῖς οἴκοις θέμενοι σὺν θρήνῳ γυναικείῳ λαθραίως ἔπεμπον, ἐνδήσαντες σπαργάνοις πορφυροῖς, κοινωνὸν τὸ τῆς νυκτὸς σκότος τοῦ μηχανήματος ἐσχηκότες, καὶ δεδώκασί με ἀνατρέφειν τῷ Χείρωνι.

BEGQ b. ἄλλως· οἱ γονεῖς οἱ ἐμοί, ὅτε ἐγεννήθην, δείσαντες τὴν 10 ὕβριν τοῦ ἡγεμόνος Πελίου, ὑποθέντες τεθνηκέναι με καὶ κηδεύειν, μετὰ κωκυτοῦ γυναικῶν ὡς ἐκφορὰν τελοῦντες κρύφα καὶ νύκτωρ ἐξέπεμψαν πρὸς τὸν Χείρωνα, ἵνα μηδὲν πάθω ὑπὸ τοῦ Πελίου.

DEGQ 204 a. νυκτὶ κοινάσαντες: τῇ νυκτὶ κοινωνήσαντες 15 κατὰ τὴν ὁδὸν, ἀντὶ τοῦ νυκτός με κατακρύψαντες. b. Κρο-

DGQ νίδᾳ: τῷ Χείρωνι· ἐκ γὰρ Κρόνου καὶ Φιλύρας ἐστί. c. τὸ δὲ τράφεν κατὰ Δωριέων ἔθος ἀποβολῇ τοῦ ῑ.

BDEGQ 206 a. ἀλλὰ τούτων μὲν κεφάλαια λόγων ἴστε: ἀλλὰ τούτων μὲν τῶν λόγων τὰ κεφάλαια καὶ τὸ πέρας γινώ- 20 σκετε, τῶν δὲ ἱππικῶν μοι πατέρων τοὺς οἴκους μηνύσατε, ὦ

DG ἔντιμοι πολῖται. 209 B b. κεφάλαια λόγων: τὰ μείζονα καὶ τὰ καίρια.

BDEGQ 207. λευκίππων πατέρων: εὐεπίφορος ὁ Πίνδαρος λευκίππους καλεῖν (fr. 202)· λευκίππων Μυκηναίων προ- 25 φᾶται. 211 B

---

2 ἣν add. b 3 μ' ἐπεὶ] τ' ἐμοὶ E ‖ πάμπρ. om. Q ‖ εἶδον om. DEGQ 3. 4 γονεῖς] φησιν οἱ γονεῖς B 6 μου om. B (s. s. siglo ∾) 7 λαθραίως γυναικείῳ E ‖ ἐνδήσαντες B: ἐπιδήσαντες 12 γυναικῶν κωκυτοῦ B 13 ἐξέπεμψαν G: ἔπεμψαν B ἐξέπεμπον E ἐξέπεμψον Q 15 l. DE (κοινώσαντες D): νυκτί GQ 16 με] μὲν E 17 ἐστὶ καὶ φιλλύρας E 19 l. B: ἀλλὰ τούτων μέν Q om. DEG 20 τὰ κεφάλαια] τὴν κεφαλὴν B 20. 21 γινώσκετε] + ἤτοι τὰ μείζονα καὶ καίρια B (cfr. sch. 206 b) 21 μοι BE: μου DGQ ‖ μηνύσαντε E ‖ ὦ B: ὡς DEGQ 23 τὰ om. B (20) 24 l. DG(Q): λευκίππων E om. B ‖ εὐεπιφόρως δὲ B 25 καλεῖν CE: καλεῖ DGQ καλεῖ αὐτούς B ‖ μηκυναίων DG 25. 26 προφῆται E

209. *Αἴσονος γὰρ παῖς ἐπιχώριος ὑπάρχων οὐκ εἰς ξένην* BDEGQ
ἥκω γῆν. 207 B

211 a. *φὴρ δέ με θεῖος Ἰάσονα κικλήσκων προσ-* BDEGQ
ηύδα: παρὸ ἰατρὸς ἦν, τὸν ἐκτραφέντα ὑπ' αὐτοῦ φερωνύ-
5 *μως Ἰάσονα ἐκάλεσε παρὰ τὴν ἴασιν.* b. *ὁ δὲ νοῦς· ὁ Κέν-*
ταυρος δέ με Ἰάσονα ἐκάλει .... καὶ θῆρα μὲν διὰ τὴν συμ-
βολὴν τοῦ σώματος καὶ τὴν φύσιν, θεῖον δὲ ἤτοι παρὰ τὴν
δικαιοσύνην ἢ παρὰ τὸν τεκόντα Κρόνον.

213 a. *ὣς φάτο: οὕτως εἶπε· τοῦτον δὲ, τὸν Ἰάσονα,* BDEGQ
10 *εἰσελθόντα ἐγνώρισαν οἱ τοῦ πατρὸς ὀφθαλμοί, καὶ ἅμα τῇ*
γνώσει ἀπὸ τῶν καταγεγηρακότων βλεφάρων ἀνεβράσθη δά-
κρυα, ἐπειδὴ κατὰ τὴν ἑαυτοῦ ψυχὴν ἐξαιρέτως καὶ ὑπερβε-
βλημένως ἥσθη. 215 B b. *ἄλλως· εἰσελθόντα δὲ αὐτὸν ἔγνω* BDEGQ
ὁ πατήρ. πῶς δὲ δυνατὸν τὸν ὑπὸ τὴν γένεσιν ἐν σπαργάνοις
15 *ἐκτεθέντα, νῦν δὲ τετελειωμένον κατὰ τὴν ἡλικίαν, ἐπιγινώ-*
σκεσθαι παρὰ τοῦ πατρός; δεῖ οὖν ὑπονοεῖν ὅτι διὰ χρόνου
τινὸς ὁ Αἴσων ἐπισκεψόμενος τὸν υἱὸν λεληθότως ἐπορεύετο
πρὸς τὸν Κένταυρον· αὐτὸς γὰρ ἐξέθετο ὅπως ἐκτραφῇ· διὸ
καὶ ἐγνώρισεν αὐτὸν εἰς τὴν ἰδίαν κατελθόντα. 221a B
20 215 a. *ἐκ δ' ἄρ' αὐτοῦ πομφόλυξαν: ἀνεβράσθησαν.* BDGQ
ὡς ἐπὶ τῶν ζεστῶν ὑδάτων ἔφη. b. *ἢ οὕτως· κατὰ μετα-*
φορὰν τὴν ἀπὸ τῶν ἀναζεόντων ὑδάτων· τοιοῦτος γὰρ ἦχος
γίνεται ἀπὸ βρασμοῦ. τὸ δὲ σημεῖον χ', ὅτι ἐκ τοῦ παρεπο-
μένου ἀντὶ τοῦ ἐδάκρυσεν.

---

20 Suid., Phot. *πομφόλυξ*.

---

1 l. nullum **BEQ**: *αἴσονος γάρ* **DG** ‖ *ὑπάρχ. ἐπιχ.* **DG** 3 l. **B**: *φὴρ δέ με θεῖος* **DEGQ** 4 *ὑπ'*] *παρ'* **E** 4. 5 *ἰάσ. φερ.* **Q** *αἴσονα φερ.* **DG** 6 *με*] *μοι* **E** ‖ lac. iudicavi 6. 7 *τοῦ σώμ. συμβ.* **DGQ** ‖ *θεῖος* **DGQ** 9 l. **BDGQ**: + *τὸν μέν* **E** ‖ *τοῦτον δὲ τὸν*] *τὸν δὲ* **E** 11 *γεγηρακότων* **BQ** ‖ *ἀπεβράσθη* **B** 13 *ἄλλως* — 14 *πατήρ* om. **B** ‖ *ἄλλως*] + *ἀντὶ τοῦ* **E** ‖ *δὲ* om. **E** ‖ *ἔγνω*] *ἐπέγνω* **E** 14 *πῶς δὲ*] *ζητεῖται δὲ πῶς* **B** ‖ *τὸν* om. **DGQ** ‖ *ὑπὸ*] *ὑπὲρ* **DE** 15. 16 *ἐπιγινώσκεσθαι* — 16 *ὑπονοεῖν* **DEGQ**: *γνωρίσαι· ἢ δεῖ λέγειν* **B** 16 *ὑπονοῆσαι* **b** 19 *εἰς* — *κατελθόντα* om. **DGQ** 20 l. **DGQ**: *τὸ δὲ* **B** 21 *τῶν* om. **B** ‖ *ἢ οὕτως* om. **B** 23 *βρασμοῦ* **DGQ**: *ἀναβρασμοῦ* **B** ‖ cfr. rec. p. 25 Schn. ‖ *τὸ δὲ* — *ὅτι* **DGQ**: *τοῦτο γάρ φησιν* **B** 24 *ἐδάκρυε* **B**

BDEGQ 217. *ἐπεὶ γάθησεν ἐξαίρετον*: γίνεται γὰρ τοῦτο, ἐπειδὰν ὑπέρμετρος χαρὰ ἐπιπέσῃ, ὥστε ἀκουσίως δακρύειν. Σοφοκλῆς (fr. 824)·

χῶρος γὰρ οὗτός ἐστιν ἀνθρώπου φρενῶν,
ὅπου τὸ τερπνὸν καὶ τὸ πημαῖνον φύει· 5
δακρυρροεῖ γοῦν καὶ τὰ καὶ τὰ τυγχάνων. 213b B

B 221 a. *ἤλυθον κεῖνου γε κατὰ κλέος*: κατὰ τὴν Ἰάσονος ἐπάνοδον.

DEGQ 221 b. *ἐγγὺς μὲν Φέρης*: πλησίον αἱ Φεραὶ τῆς Ἰωλ-
BDEGQ κοῦ· κρήνη δὲ Ὑπερηὶς ἐν Φεραῖς, | ὡς Σοφοκλῆς (fr. 825)· 10

ὦ γῆ Φεραία, χαῖρε, σύγγονόν θ' ὕδωρ
Ὑπέρεια κρήνη, νᾶμα θεοφιλέστατον.

BDEGQ c. *ἐγγὺς μὲν Φέρης*: ἐγγὺς ἀντὶ τοῦ ἐγγύθεν, ἐκ τῶν σύνεγγυς τόπων, ὡς τῶν Φερῶν ἐγγὺς κειμένων τῆς Ἰωλκοῦ. Ὑπέρεια δὲ κρήνη ἐν ταῖς Φεραῖς. φασὶ δὲ ἔνιοι, ἀπὸ Ὑπέρη- 15 τος αὐτὴν λαβεῖν τοὔνομα, ὡς Φερεκύδης (FHG I p. 86). φησὶ γὰρ οὕτω· Μέλας ὁ Φρίξου γαμεῖ Εὐρύκλειαν· τῶν δὲ γίνεται Ὑπέρης, ὃς ᾤκει ἐπὶ τῇ κρήνῃ τῇ ἀπ' αὐτοῦ κληθείσῃ Ὑπερείῃ. καὶ κατ' ἐνίους δὲ ἔκδοσις παρ' Ὁμήρῳ οὕτως ἔχει (B 711)· 20

οἳ δὲ Φερὰς ἐνέμοντο, ἰδὲ κρήνην Ὑπέρειαν.

εἶναι δέ φασι καὶ ἐν Λακωνικῇ Ὑπέρειαν κρήνην.

---

1 cfr. sch. rec. ad 215 (p. 25 Schn.) 22 sch. Z 457

---

1 l. E: ἐπεὶ γήθησε DG ἐπεὶ δάκρυσε Q om. B ‖ γὰρ B (? potest et δὲ) EQ: om. DG 2 ἐπιπέσοι B 4 οὗτος] supra -ος scr. ους ? Q αὐτὸς Bamberger 5 τὸ (pr.) om. D ‖ τέρπον Cobet 6 om. D ‖ γοῦν B: τ' οὖν EGQ 10 κρήνη] κυρήνη E ‖ φεραῖς] φυραῖς E ‖ de B cfr. ad 15 11 γῆ Brunck?: γῆ καὶ codd. ‖ θ' B: om. DEGQ 12 κρήνη] κυρήνη E 13 l. BE: om. DQ ἄλλως G 13. 14 τοῦ σ. τόπου B 14 ὡς om. B 14—17 cfr. rec. p. 25 Schn. 14 ἐγγὺς] πλησίον b (cfr. 9) 15 κυρήνη E ‖ φεραῖς] + ὡς σοφοκλῆς — θεοφιλέστατον B (cfr. sch. 221 b) ‖ ἔνιοι] τινες B ‖ ἀπὸ] ὑπὸ E 16 λαβεῖν αὐτὴν B 17 φρύξου E 18 κυρήνη E ‖ ἀπ'] ὑπ' E 19 ὑπερείᾳ r (B l. n.) ‖ καὶ κατ' ἐνίους δὲ ἔκδοσις DGQ: καὶ κατ' ἐναντίους δὲ ἐκδόσεις B κατ' ἐνίους δὲ καὶ ἔκδοσις E 21 οἳ δὲ] ἠδὲ DQG 22 φησι E ‖ κρήνην ὑπέρειαν DGQ

223 a. *ἐκ δὲ Μεσσάνας Ἀμυθάν*: ἐκ δὲ τῆς Μεσσή- BDEGQ
νης τῆς Λακωνικῆς πόλεως ὁ Ἀμυθὰν παρεγένετο. καὶ ὅτι
οὗτοι Αἴσονος ἀδελφοί, καὶ Ὅμηρός πού φησι (λ 258)·

τοὺς δ' ἑτέρους Κρηθῆϊ τέκεν βασίλεια γυναικῶν,
5 Αἴσονά τ' ἠδὲ Φέρητ' Ἀμυθάονά θ' ἱππιοχάρμην.

224. *Ἄδματος καὶ Μέλαμπος*: οὗτοι ἐκείνων ἦσαν B Q
υἱοί, καὶ σὺν τοῖς πατράσιν αὐτῶν ἦλθον. Ἀμυθάονος γὰρ
Μελάμπους, Φέρητος δὲ Ἄδμητος, ἀνεψιοὶ τοῦ Ἰάσονος.

226 a. *ἐν δαιτὸς δὲ μοίρᾳ*: ἐν δὲ τῷ συμποσιακῷ BDEGQ
10 καιρῷ. b. ἄλλως· ἐν δὲ τῇ μερίδι τῆς εὐωχίας, τουτέστιν
ἐν τῷ συμποσιακῷ καιρῷ, προσηνέσι λόγοις αὐτοὺς ὁ Ἰάσων
δεξιούμενος, ξένια ἁρμόζοντα κατασκευάζων, πᾶσαν εὐφροσύ-
νην καὶ ἡδονὴν αὐτοῖς ἐξέτεινεν.

228. *Ἰάσων δέγμενος*: οὐχ ὡς πάντας ὑποδεδεγμένου BDEGQ
15 τοῦ Ἰάσονος τοὺς περὶ Φέρητα δεῖ νοεῖν, ἀλλ' ἐπειδὴ διὰ
τὴν παρουσίαν αὐτοῦ ἐγένετο ὑπὸ Αἴσονος τοῦ πατρὸς ἡ ξε-
νία τοῖς ἀδελφοῖς, διὰ τοῦτο εἶπεν αὐτὸν ὑποδέχεσθαι. ἡ γὰρ
ἀναφορὰ τῆς ξενίας εἰς αὐτὸν ἀνήγετο. 231b B

231 a. *ἀθρόαις πέντε δραπών*: ἀδιαλείπτως διὰ νυκ- DEGQ
20 τὸς καὶ ἡμέρας τὸ ἄνθος τῆς ζωῆς ἀποδρέπων παρ' αὐτοῖς,

---

sch. 223b ... ὃν δὴ Ἀμυθάονα ὁ Πίνδαρος Ἀμυθᾶνα λέγει, ὡς καὶ τὸν Ἀλκμάονα Ἀλκμᾶνα (P. VIII 46). Eust. ad Od. λ 257, p. 1681, 51

---

1 l. **B** (μεσάνας et ἀμυνθάν): ἐκ δὲ μεσάνας **DEGQ** 1. 2 μεσήνης codd. 2 ἀμυνθὰν **B** ‖ παραγίνεται **B** 3 πού om. **B** 4 τέκε codd. 5 ἠδὲ] ἢ **DG** ‖ ἀμυνθάονα **B** ἀμυθάον **E** ‖ ἱπποχάρμην **B** 6 l. **E** (μελάμπους): ταχέως δ' ἀδμ. ἧκεν καὶ μελάμπος **B** ἄδματος (**D**)**GQ** 7 ἀμυνθάονος **B** 8 τοῦ om. **DGQ** 9 l. **E**: + μειλιχ[ίοισι λόγοις] **B** ἐν δαιτὸς μοίρᾳ **DG** om. **Q** ‖ ἐν δὲ τῷ — 11 καιρῷ **E** (sed συμποσιαστικῷ utrobique): 10 ἐν δὲ τῇ — 11 καιρῷ (om. pr. ἐν — καιρῷ et ἄλλως) **B** ἐν δὲ τῷ — εὐωχίας (om. ἄλλως et τουτέστιν — καιρῷ) **Q** ἐν δὲ (δὲ om. **D**) τῷ συμπ. καιρῷ **DG** 11 αὐτοὺς **B**: πρὸς αὐτοὺς **EG**[cp] πρὸς αὐτὸν **DQ** 12 δεξάμενος **E** 14 l. om. **B** ‖ ὡς] + δὲ **B** 17 τοῖς ἀδελφοῖς **DGQ**: ἀδελφοῖς **E** ἀδελφῶν **B** 18 ἀνήγετο **B**: ἤγετο 19 l. **E**: ἀθρόαις πέντε **DGQ** ἄλλως **B** 20 παρ' αὐτοῖς] αὐτοῖς **Cr** (ad seq. relatum). Ft. ἀντὶ τοῦ

τὰ πρὸς τὴν εὐωχίαν παρεχόμενος. 234 B b. ὁ δὲ νοῦς· ἐν πέντε ὅλαις νυξὶ καὶ ἡμέραις δρεπόμενος τὸ ἱερὸν τῆς ζωῆς ἀπάνθισμα, τὴν εὐφροσύνην, ἐξένιζε τοὺς συγγενεῖς. 231a B

DGQ c. ἄλλως· τουτέστιν ἐν θυμηδίᾳ διάγων καὶ εὐφροσύνῃ.

BDEGQ 234. ἀλλ' ἐν ἕκτᾳ πάντα λόγον: ἀλλ' ἐν τῇ ἕκτῃ ἡμέρᾳ ὅλον τὸν λόγον τὸν σπουδαῖον ἐξ ἀρχῆς ὁ Ἰάσων τοῖς ἐγγενέσιν ἑαυτοῦ ἐκοινώσατο· οἱ δὲ ἀκούσαντες ἠκολούθησαν. 5

BEQ 237 a. οἱ δ' ἐπέσποντο: οἱ δὲ συνῄεσαν αὐτῷ καὶ τὴν

BDEGQ αὐτὴν γνώμην ἀνέλαβον. b. οἱ δὲ ἐπηκολούθησαν αὐτοῦ τῇ προαιρέσει εὐωχηθέντες. 10

BDEGQ 237 c. αἶψα δ' ἀπὸ κλισιᾶν ὦρτο: ταχέως δὲ ἀπὸ τῶν σκηνῶν σὺν τοῖς προρρηθεῖσιν ὥρμησεν ὁ Ἰάσων, καὶ δὴ παρεγένοντο εἰς τὸν τοῦ Πελίου οἶκον, σπουδαίως δὲ ἔσω τοῦ οἴκου κατέστησαν. 242b B

B 239. ἐσσύμενοι: μετὰ σπουδῆς. 15

BDEGQ 242 a. Τυροῦς ἐρασιπλοκάμου γενεά: ὁ Πελίας. καὶ Ὅμηρος (λ 254)·

ἡ δ' ὑποκυσαμένη Πελίαν τέκε καὶ Νηλῆα. 244 B

b. ὁ νοῦς· ἡ δὲ τῆς Τυροῦς γέννα, τουτέστιν ὁ Πελίας, τούτων ἀκούσας καὶ αἰσθόμενος τὴν εἴσοδον, ἀπήντησεν αὐτοῖς. 20

BDEGQ 243. πραῢν δ' Ἰάσων: πραῢν δὲ ὁ Ἰάσων μαλθακῇ καὶ οὐ τραχείᾳ φωνῇ ἀποστάζων τοῦ στόματος λόγον κατεβάλλετο βάσιν καὶ ἀρχὴν τῶν σοφῶν λόγων. 239 B

---

1 τὴν om. Q (? lit.) ‖ παρασχόμενος B ‖ ὁ δὲ νοῦς DEGQ: ἀθρόαις πέντε δραπὼν νύκτεσσιν B 2 πέντε] + φησὶν B 3 ⟨τουτέστιν⟩ ἐξένιζε Lehrs p. 129 4 ἄλλως om. D 5 l. BE; ἀλλ' ἐν ἕκτᾳ GQ om. D 6 ὅλον — 7 ἠκολούθησαν om. Q 7 ἐγγενέσιν DG: εὐγενέσιν E συγγενέσιν B 8 l. (οἱ δ' ἐπέσπον) et οἱ δὲ E: ἀντὶ τοῦ B om. Q ‖ συνῄεσαν αὐτῷ om. Q 9 l. nullum BE: οἱ δ' ἐπέσποντο (ἕσποντο G^ac)DG ἄλλως Q ‖ οἱ δὲ DGQ: οἳ E οἷον B ‖ αὐτῷ DG 11 l. B: αἶψα δ' ἀπὸ κλισιᾶν E αἶψα DGQ 13 παρεγένετο DQ ‖ πελλίου DE 15 ἐσσύμενον an -οις B incert. 16 l. B: τυροῦ γενεά E τυροῦς D GQ ‖ ὁ πελ. καὶ om. r ‖ ὁ] τουτέστιν ὁ B 16. 17 καὶ ὅμηρος DGQ: ὅμηρος E om. B 18 ὑποκυσσαμένη B ‖ πελίαν — νηλῆα B: νηλῆα τέκε (τὲ E) καὶ πελίαν (D)EGQ 19 ὁ νοῦς DEGQ: τῶν δ' ἀκούσαις αὐτὸς ὑπηντίασεν B ‖ τῆς om. B ‖ γέννα DE GQ: γενεὰ B 20 ὑπήντησεν DGQ^corr 21 l. om. B ‖ post l. add. ὁ νοῦς E ‖ πραῢν δὲ ὁ ἰάσων om. D ‖ πραῢν (alt.)] μαλθακῇ Q^ac 22. 23 κατεβάλετο Q

244. *ποτιστάζων ὄαρον*: τὴν ὁμιλίαν. B

246 a. *παῖ Ποσειδᾶνος Πετραίου*: Πετραῖος τιμᾶται BDEGQ Ποσειδῶν παρὰ Θεσσαλοῖς, ὅτι διατεμὼν τὰ ὄρη τὰ Θετταλικά, φημὶ δὴ τὰ Τέμπη, πεποίηκε δι' αὐτῶν ἐπιτρέχειν τὸν
5 ποταμόν, πρότερον διὰ μέσης τῆς πόλεως ῥέοντα καὶ πολλὰ τῶν χωρίων διαφθείροντα. | καὶ Καλλίμαχος (h. in Del. 105)· BEGQ

φεῦγε δὲ καὶ Πηνειὸς ἑλισσόμενος διὰ Τεμπέων.

οἱ δέ, ὅτι ἐπί τινος πέτρας κοιμηθεὶς ἀπεσπερμάτισε, καὶ τὸν θορὸν δεξαμένη ἡ γῆ ἀνέδωκεν ἵππον πρῶτον, ὃν ἐπεκάλεσαν
10 Σκύφιον. b. ἄλλως· ἐπίθετον Ποσειδῶνος ὁ Πετραῖος. φασὶ BDEGQ δὲ καὶ ἀγῶνα διατίθεσθαι τῷ Πετραίῳ Ποσειδῶνι, ὅπου ἀπὸ τῆς πέτρας ἐξεπήδησεν ὁ πρῶτος ἵππος· διὸ καὶ Ἵππιος ὁ Ποσειδῶν. c. ἄλλως· ὦ τοῦ Πετραίου Ποσειδῶνος παῖ, αἱ μὲν τῶν ἀνθρώπων φρένες ταχύτεραι μὲν ἐπαινέσαι καὶ ἀνελέ-
15 σθαι τὸ παρὰ τὸ δίκαιον κέρδος· καίτοι ἑρπόντων ἐκ τῆς ἀδικίας πρὸς τὴν ἑξῆς τραχεῖαν ὁδόν, ὅμως τὸ κέρδος τοῦ δικαίου προκρίνουσιν.

247 a. *ἐντὶ μὲν θνατῶν φρένες ἕως πρὸς ἐπίβδαν*: BEGQ ἐπίβδαι κυρίως καλοῦνται αἱ ἐχόμεναι τῶν ἑορτῶν ἡμέραι,

---

1 Suid. ὀαρίζω 2—10 Philostr. imag. II 14 7 Tzetzes ad Lyc. 766—67 10 Hes. s. v. Ἵππειος. — EM 437, 45 11 sch. Ap. Rh. 3, 1244. — Prob. ad Geo. 1, 12 18 EM 357, 54. Hes. ἐπίβδαι. Zon. 800

---

1 ποτιστάζων — ὁμιλίαν **B**: ὄαρον δέ, τὴν ὁμιλίαν, ἐξ οὗ καὶ ὀαρίζω τὸ ὁμιλῶ, καὶ ὀαριστὺς ἡ ὁμιλία **Cr** 2—13 cfr. rec. p. 25 Schn. 2 l. **BE** (ποσειδῶνος **B**): παῖ ποσ(ε)ιδῶνος (-ᾶνος) **DGQ** ‖ post l. add. ἐπίθετον ποσειδῶνος ὁ πετραῖος **B** (cfr. sch. 246b) ‖ τιμᾶται γὰρ ποσ. πετρ. **B** 3 θετταλοῖς **B** ‖ διατεμὼν] δὴ τεμὼν **B** 5 ποταμὸν] + πηνειὸν **Cr** (cfr. rec.) ‖ μέσης] lac. **E** (μέσης **E**^{mg} m. rec.) ‖ πόλεως corrupt. vid.; διὰ μέσου τοῦ ἕλεος Larcher ad Her. 7, 129 διὰ μ. τ. πεδιάδος Wilamowitz Aus der Anomia 1890 p. 136 ‖ καὶ — 6 διαφθείροντα om. **B** 6 καὶ om. **EQ** 7 φεῦγε] φεῦ **E** ‖ διὰ] δὲ **B** 9 ἀνέδωκεν] ἀναδέδωκεν **G** ‖ post ἵππον add. πτερωτόν (s. -τὰν) **B**, sed del. ‖ ἐπεκάλεσαν **B** ἀπεκάλεσαν **E**: ἐπωνόμασαν **GQ** 10 σίσυφον Et. M. (prob. Dobree adv. II p. 7) ‖ ἄλλως — πετραῖος hic om. **B**; cfr. ad 2 ‖ φησὶ **E** 13 ἄλλως **EGQ**: ὁ δὲ νοῦς **BD** 18 l. **BE**: ἐντὶ μὲν ἕως πρὸς ἐπ. **GQ** 19 ἐπίβδη **E** ‖ καλεῖται **E** ‖ ἐρχόμεναι **B**?

αἱ μεθέορτοι, ἐπιβάδες τινὲς οὖσαι, οἷον ἐπαγόμεναι τῇ ἑορτῇ. τινὲς δέ φασι παρεμβεβλῆσθαι τὸ βῆτα· τὰς γὰρ ἐπὶ δαιτὶ λέγουσιν ἐπίβδας, ὡς τὴν σίδην σίβδην, καὶ ἔασον ἔβασον. οἱ δὲ, μετῆχθαι ἀπὸ τῶν ἐπιβδαλλομένων προβάτων· βδάλλοντες γὰρ οἱ ποιμένες ἅπαξ αὖθις ἐπιβδάλλουσι. νῦν δὲ 5
BDEGQ σημαίνει τὸ μέλλον καὶ τὸ μετὰ ταῦτα. b. ὁ δὲ λόγος· αἱ τῶν ἀνθρώπων φρένες πρὸς τραχεῖαν ἑρπόντων ἐπίβδαν, ὡς ἄν τις εἴποι, καίπερ τοῖς τοιούτοις μετὰ τὴν παροῦσαν εὐφροσύνην τοῦ κέρδους τραχείας ἐπιούσης ἐπίβδης, ἢ καίπερ τοῦ τοιούτου πράγματος τοῦ ἀδίκου ἢ ἐπικερδοῦς τραχεῖαν 10 ἔχοντος τὴν ἐπίβδαν, τουτέστι τὴν μετὰ ταῦτα ἀπόλαυσιν οὐ
DEGQ τερπνὴν ἔχοντος. 250a DEGQ c. τὸ δὲ ἐπίβδας τὰς μεθεόρτους φασίν, οἱονεὶ τὰς ἐπιβαινούσας ἡμέρας τῇ πανηγύρει. νῦν δὲ τὸν μετὰ ταῦτα χρόνον δηλοῖ. 250b DEGQ
BDEGQ 250 a. ἀλλ' ἐμὲ χρή: ἀλλὰ προσήκει ἐμὲ καὶ σὲ ἀφε- 15 μένους τῶν ἀγανακτήσεων συντιθέναι εἰς τὸ λοιπὸν τοῦ βίου τὴν εὐδαιμονίαν. 247c DEGQ b. θεμισσαμένους: δικαίως διακρίναντας τοὺς τρόπους ἐκτελεῖν τὴν λοιπὴν εὐδαιμονίαν. 253 B
BDEGQ 252. εἰδότι τοι ἐρέω: γινώσκοντί σοι λέγω· μία μήτηρ 20 ἡ Ἐνάρεα τῷ τε Κρηθεῖ καὶ τῷ Σαλμωνεῖ, ἐν δὲ τρίταις γοναῖς ἐξ ἐκείνων φυτευθέντες ἡμεῖς τὴν χρυσῆν δύναμιν τοῦ ἡλίου ὁρῶμεν, τουτέστιν ἐν ζῶσι διάγομεν. 253b med. B

---

4 EM 63, 15. 94, 27. 308, 26. EG 35, 33. 49, 38. Hes., Suid. ἔβασον. Greg. Cor. p. 354 12 Eust. ad λ 294, p. 1686, 15

---

4 ἐπιβδαλλ. Oxon.: ἐπιβαλλ. 4. 5 βδάλλοντες B βδέλλοντες E: βάλλοντες GQ 5 αὖθις E: αὐτις BGQ ‖ ἐπιβδάλλουσι Oxon.: ἐπιβάλλουσι 6 τὸ μετὰ ταῦτα] τὸν μετὰ ταῦτα χρόνον B (cfr. sch. 242 c) ‖ sch. 247b l. ἐντὶ μέν praem. D ‖ ὁ δὲ λόγος] ὁ νοῦς D 7 φρένες B: om. DEGQ 8 εἴποι EQ (B l. n.): εἴπῃ DGr ‖ τοῖς τοιούτοις BE: τοῦ τοιούτου DGQ 9 ἐπίβδην E ‖ ἢ B: om. DEGQ 12 ἐπίβδαν D 13 φησιν E ‖ οἱονεὶ DGQ: οἷον E 15 l. DEGQ: ἀλλ' ἐμὲ χρὴ, καὶ σὲ θεμισσαμένους B ‖ ἀλλ' ἐμὲ προσήκει DG 17 θεμι(σ)σαμένους DEGQ: τουτέστι B ‖ δικαίους E 20 l. E: εἰδότι τοι DG εἰδότι Q ὁ δὲ νοῦς B ‖ σοι] σε DG 21 ἐνάρεα BEQ: ἐνάρέα G (de D n. l.) ἐναρέα b ‖ τε om. Cr ‖ κραθεῖ E 22 ἡμεῖς BE: om. DGQ 23 ζῶσι BE: τοῖς ζ. DGQ

253 a. *μία βοῦς*: καταχρηστικώτερον τὴν τοκάδα φησί, τουτέστι τὴν μητέρα. λέγεται δὲ μήτηρ Κρηθεῖ καὶ Σαλμωνεῖ Ἐνάρεα. b. ἄλλως· μία βοῦς μεταφορικῶς μία γυνή. (252 B) ἰδίως δὲ οὐκ ἀπὸ ἀνδρογενείας εἴληφεν ἀπὸ τοῦ Αἰόλου, 5 ἀλλ' ἀπὸ τῆς γυναικός· εἰ μὴ ἄρα ὅτι οἱ πάπποι ἀλλήλοις ὁμογάστριοι, ὅ τε Κρηθεὺς καὶ ὁ Σαλμωνεύς, ὁ μὲν Αἴσονος, ὁ δὲ Πελίου. c. ἀντὶ τοῦ, ἓν ἔχομεν γένος. καὶ Ἡσίοδος (fr. 7)· BDEGQ

Αἰολίδαι δ' ἐγένοντο θεμιστοπόλοι βασιλῆες,
Κρηθεὺς ἠδ' Ἀθάμας καὶ Σίσυφος αἰολομήτης,
10 Σαλμωνεύς τ' ἄδικος καὶ ὑπέρθυμος Περιήρης.

255. *Σαλμωνέως Τυρώ, Τυροῦς Πελίας*. τρίτος οὖν ἀπὸ Σαλμωνέως ὁ Πελίας. ὁ δὲ Ἰάσων καὶ αὐτὸς οὕτω τρίτος· Κρηθεύς ἐστι Σαλμωνέως ἀδελφός, Κρηθέως δὲ Αἴσων, Αἴσονος δὲ Ἰάσων, τρίτος ἀπὸ Κρηθέως. ὁ μὲν οὖν Πελίας 15 ἀπὸ Σαλμωνέως κατὰ μητέρα ἀριθμούμενος, Ἰάσων δὲ κατὰ πατέρα ἀπὸ Κρηθέως. BDEGQ

258 a. *Μοῖραι δ' ἀφίσταντ' εἴ τις ἔχθρα πέλει*: ἐὰν δέ τις ἔχθρα ὁμογόνοις γεννηθῇ, ὥστε καλύπτειν τὴν αἰδῶ καὶ ἀποκρύπτειν, τουτέστι μὴ αἰδεῖσθαι, τοῦ τοιούτου πρά- 20 γματος ἀφίστανται αἱ Μοῖραι· ὡς ἄν τις εἴποι, οὐκ εὐμοιροῦσιν, οὐκ ἀγαθῇ μοίρᾳ χρῶνται. b. ὁ δὲ Χαῖρις προστιθεὶς τὸ ῑ γράφει ἀφίσταιντο, ἵν' ᾖ εὐκτικὸς ὁ λόγος· ἀφίσταιντο αἱ Μοῖραι, εἰ μέλλοι ἐν τῷ γένει ἡμῶν διαφορὰ BDEGQ

8—10 Tzetzes ad Lyc. 284

1 l. **DEGQ**: εἰδότι τοι ἐρέω· μία βοῦς κρηθεῖ τε μάτηρ **B** ‖ ante καταχρ. add. βοῦν **B** 2 λέγεται — 3 βοῦς om. **D** 3 ἐνάρεα codd. (καὶ ἐνάρεα **E**): ἐναρέα **b** ‖ ἄλλως· μία βοῦς **GQ**: μία βοῦς κρηθεῖ τε μῆρ **E** om. **B** ‖ μεταφορικῶς] + οὖν φησι μία βοῦς **B** 5 ὅτι οἱ **B**: οὗτοι **DEGQ** 7 ἀντὶ τοῦ **DEGQ**: φησὶ τοίνυν **B** 9 αἰολομῆτις **E** ὁ αἰολομήτης **B** 10 τ' **BDG**: δ' **Q** om. **E** ‖ περιήρης **B**: περὶ κῆρι **DEGQ** (corr. Beck) 11—16 cfr. rec. p. 25 Schn. 11 l. nullum **BE**: τρίταισι δ' ἐν **DG** τρίταισι **Q**. Pro l. inser. ἡ δὲ γενεαλογία οὕτω **B** 12 καὶ αὐτὸς] lac. **B** (teste Mommseno) 13 δὲ om. **DGQ** 13. 14 αἴσονος — κρηθέως om. **E** 15 ἰάσων δὲ **BE**: ὁ δὲ ἰάσων **DGQ** 17 l. **B**: εἴ τις ἔχθρα πέλει **DEG** εἴ τις ἔχθρα **Q** 18 γεννηθῇ] γένηται **B** 20 εἴπῃ **B** 22. 23 ἀφίσταιντο **BGQ**: ἀφίσταντο **DE** 23 μέλλοι ἐν **GQ**: μέλλοιεν **BDE** ‖ διαφθορὰ **DG**

γίνεσθαι, ὥστε ἀναίδειαν προστραπῆναι. καὶ οὐκ ἀπιθάνως ὁ Χαῖρις.

1 l. B: om. DEGQ ‖ ὦ om. E 2 ἐκ] διὰ cj. h; ἐκ τῆς νίκης καταλαμπρύνουσι? 4 l. BE: om. DGQ 7 ἤτοι B: om. DEGQ ‖ πρὸς om. DG 8 ἢ — 9 ἐποίκων B: om. DEGQ 9 σύλλογον DG ‖ ἐταλαιπώρησαν DQ(G[cp]) 10 l. DEG: + γὰρ πεντότεσσιν (sic) B om. Q 11. 12 ἤγαγες B: ἤγαγεν E ἤνεγκες DGQ 13 ἐπίδοξον] ἐπιχώριον Mommsen 16 αὐτῷ μ' ἅρματα] τεσσαράκοντα Q ‖ μ' ἅρματα scripsi (ἅρματα μ' b): μη' ἅρματα E ἅρματα μη' (μὴ D) DG 17 l.] + ἀπόκληρός ἐστι B ‖ τοῦτο καθ. φησι B 18 αὐτόν om. E ‖ τὸ ὅλον] ὁ δὲ νοῦς B 19 τοῦτο] + εἶπεν B 21 l.] ἔμπαν τὰ καὶ τὰ νέμων B ‖ τουτέστι τὰ B: τουτέστιν DEGQ 22 πάντα] [τὰ?] πάντα B τὸ πάντα r 23 λαβεῖν B 26 πήματα B: πῆμα ‖ δαίονται codd. Pind.: δέονται DEGQ δέδονται B

b. χρῶνται δὲ τῷ ἔμπαν ἀντὶ περισπωμένου τοῦ ὁμῶς, ὅ BEGQ
ἐστιν ἴσον τῷ ὁμοίως· καὶ γὰρ τὸ ἔμπης ἀντὶ περισπωμένου
τοῦ ὁμῶς τάσσει Ὅμηρος (σ 354)·

ἔμπης μοι δοκέει δαΐδων σέλας ἔμμεναι
5 καὶ κεφαλῆς.

καὶ πάλιν (Ξ 174)· ἔμπης ἐς γαῖάν τε καὶ οὐρανόν. c. καὶ B
ἐπὶ τῶν ὁμοίων. 76ᵇ B

76 a. κεῖνόν γε καὶ βαρύκομποι: ἐκεῖνον δὲ, τὸν BDGQ
Βάττον, καὶ οἱ χαλεποὶ λέοντες τῆς Λιβύης εὐλαβηθέντες
10 ἔφυγον. 78ᵃ B

76 b. κεῖνόν γε καὶ βαρύκομποι: Ἀρίσταρχος κατὰ BDEGQ
τὸν τόπον φησὶ τοῦτον, καθ' ὃν ἔκτισται ἡ Κυρήνη, λέοντας
διατρίβειν πολλούς, τῷ δὲ Βάττῳ τὸν Ἀπόλλωνα δοῦναί τινας
ἐπῳδάς, δι' ὧν [αὐτοὺς] ἔμελλεν ἀποσοβήσειν καὶ τὸν τόπον
15 ἡμερώσειν. ὑπερποντίαν δὲ αὐτὸν ἐπενέγκαι γλῶσσάν φησι,
παρόσον τὴν τοῦ Ἀπόλλωνος φωνὴν ἐκ Δελφῶν εἰς Λιβύην
μετήνεγκε. μήποτε δὲ τροπικῇ κατείληπται φράσει, καὶ ἔστιν
ὃ βούλεται λέγειν, ὅτι ἐνθήρου τῆς Λιβύης οὔσης, ὁ Βάττος
οἰκίσας τὴν Κυρήνην παρεσκεύασε φυγεῖν τοὺς λέοντας, δέει
20 τῷ ἀπ' αὐτοῦ τῶν λεόντων διασκεδασθέντων. 76ᵃ B

78 a. γλῶσσαν ἐπεί σφιν: οὐχ ὅτι, φησὶν ὁ Δίδυμος, BDEGQ
οἱ λέοντες ἐκ φωνῆς ἔφυγον, ἀλλ' ἐπεὶ τὴν ἀπόφασιν ἐκ τῆς
Πυθίας ὑπὲρ τὸν πόντον διεκόμισεν. ἐλθόντι γὰρ αὐτῷ εἰς

---

1 sch. Ξ 1; 174. P 632. ε 205. π 143. σ 354. Eust. ad τ 37, p. 1854, 56. Ap. soph. 67, 24. EM 335, 29. Apoll. de conj. p. 525, 24

---

2 καὶ γὰρ — 3 ὁμῶς om. G 4 δαΐων E ‖ ἔμμεναι αὐτοῦ Homerus 5 καὶ κεφαλῆς B: om. EGQ 6 καὶ (alt.) — 7 ὁμοίων non intellego 8 l. DG: κεῖνόν γε Q ὁ δὲ νοῦς B 9 εὐλαβηθέντες om. B 11 l. E: + λέοντες B (Q sch. 51) ἄλλως DG(Q) 12 ἡ om. E (et DGQ sch. 51) ‖ κυρήνη] κρήνη B 14 αὐτοὺς ἔμελλεν B: ἤμελλεν E (ἔμελλεν Q sch. 51) ἔμελλεν ἐκείνους DGQ. Seclusi αὐτοὺς 17 μετήνεγκαν E ‖ τροπικῇ b: τοπικῇ 18 ἐνθήρου G^corr (ε, sed ο in ras.!): εὐθήρου E ἐν θήρᾳ BDQ ἐνθήρας Beck 19 οἰκήσας E¹Q 20 ἀπ' om. B ‖ αὐτῶν DG ‖ τῶν λ. διασκ. om. B 21 l. DEGQ: + ἀπένεικεν ὑπερποντίαν B ‖ σφιν DGQ: σφι E σφισιν B 22 τὴν] ἐστιν E ‖ τῆς om. B

Δελφοὺς καὶ χρωμένῳ πῶς ἀποκαταστήσει τὴν φωνὴν, παραλιποῦσα τὸ ἐρωτηθὲν ἐκέλευσεν αὐτῷ πόλιν κτίζειν ἐπὶ τῆς Λιβύης. τοιοῦτον οὖν ἐστι τὸ γλῶσσαν ἐπεί σφιν ἀπένεικεν, ἐπεὶ τὸν χρησμὸν διεκόμισε. κατὰ γὰρ τὸν χρησμὸν διεβίβασεν ὄχλον καὶ ἔκτισε τὴν Κυρήνην· ἔφυγον δὲ οἱ λέοντες 5 *φοβηθέντες τὸ πλῆθος, οὐ τὴν φωνὴν τοῦ Βάττου. οἱ δὲ τὸ γλῶσσαν ἐπεί σφιν ἀπένεικεν ὑπερποντίαν, οὕτως ἀποδιδόασιν, ὅτι τοσοῦτον ἐφώνησεν, ὥστε τὴν πρότερον ἐνδεδωκυῖαν*
DGQ *αὐτῷ ὑπερποντίαν γενέσθαι.* b. *ἄλλως· ὑπερποντίαν, τὴν μεγάλην, ὥστε καὶ διὰ θαλάσσης ἀκούεσθαι καὶ ἐξικνεῖσθαι.* 10

BDGQ 80 a. *ὁ δ' ἀρχαγέτας: ὁ δὲ τῆς ἀποικίας ἀρχηγέτης Ἀπόλλων τοὺς θῆρας εἰς φυγὴν παρώρμησεν, ὅπως ἂν μὴ τῷ βασιλεῖ τῆς Κυρήνης τῷ Βάττῳ ἀτελὴς γένοιτο καὶ οὐχὶ*
BDEGQ *οἰκισθείη ἡ Κυρήνη.* b. *καὶ τοῦτο ἑαυτῷ συνᾴδων ὁ Δίδυμος οὕτως ἀποδίδωσιν· ἐπεὶ ὁ Ἀπόλλων ἔχρησεν οἰκίσαι* 15 *τὴν Κυρήνην, αἴτιος ἐγένετο τοῦ φυγεῖν τοὺς θῆρας. οἰκιζομένης γὰρ τῆς πόλεως ἔφυγον.*

BDEGQ 83. *ἀτελὴς γένοιτο: ἀτελὴς ὁ Ἀπόλλων· μενόντων γὰρ τῶν θηρίων οὐκ ἂν ᾠκίσθη ἡ Κυρήνη.*

BDEGQ 85. *ὃ καὶ βαρειᾶν νόσων: ὅστις ὁ Ἀπόλλων καὶ τῶν* 20 *βαρειῶν νόσων τοῖς τε ἀνδράσι καὶ ταῖς γυναιξὶν ἄκεσιν δίδωσι· καὶ γὰρ ταῦτα διὰ χρησμῶν θεραπεύει.*

BDEGQ 87. *πόρεν τε κίθαριν: τὴν κιθαριστικὴν ἐμπειρίαν. Ὅμηρος (B 827)· ᾧ τόξον Ἀπόλλων, ἀντὶ τοῦ τὴν τοξικήν.*

BDEGQ 88. *δίδωσί τε μοῖσαν: ἐχαρίσατο δὲ τῷ τῶν ἀνθρώπων* 25

---

23 sch. *B* 827. Eust. ibid., p. 354, 25

---

1 *δελφοὺς*] *πυθίαν* **Q**[1] ‖ *ἀποκαταστῆσαι* **BE** ‖ *τὴν* om. **B** ‖ *οὐ* ante *παραλιπ.* inser. **E** 3 *ἀπένεικεν* **B**: *ἐπήνεγκεν* **E** *ἀπένειμεν* **DG** *ἐπένεικεν* **Q** 7 *ἀπένεικεν* **B?r**: *ὑπήνεγκ'* **E** *ἐπένεικεν* **DG** *ὑπένεικεν* **Q** 8 *ὅτι* om. **E** ‖ *ἐνδεδυκυῖαν* **E** 9 *αὐτῷ* ⟨*φωνὴν*⟩ **h**, prob. **b** 10 *ὥστε καὶ*] *ὡς τῆς* **D** 11 l.] + *ἔδωκ' ἀπόλλων* **B** ‖ *τῆς θήρας* **D** (cfr. 181, 18) 13. 14 *οὐχὶ οἰκισθείη* **b**: *οὐχὶ οἰκισθῇ* **GQ** *οὐχὶ οἰκισθῆναι* **D** *ἀνοικισθῇ* **B** 14 sch. 80b l. nullum **BE**: *ἄλλως* **DG**(**Q**) 18 l. **E**: *ἀτελής* **Q** om. **BDG** ‖ *ἀτελὴς ὁ ἀπ.* om. **B** ‖ *γὰρ*] *δὲ* **B** 20 *ὅστις*] + *φησιν* **B** 21 *νόσων* om. **D** ‖ *ἄκεσι* **E** 24 *ἀντὶ*] *αὐτ* **DG** 25 l.] *ὁ δὲ νοῦς, οὕτως* **B** ‖ *ἐχρήσατο* **E** ‖ *τῷ* om. **E**

γένει καὶ τὴν κιθάραν, καὶ δωρεῖται τὴν μουσικὴν οἷς ἂν βούληται, ἀστασίαστον ἄγων εἰς τὰς φρένας τῶν ἀνθρώπων δικαιοσύνην.

91. ἐπειδὴ καὶ τὸ ἄδυτον αὐτοῦ μαντικόν. BDEGQ

5 92. τῷ καὶ Λακεδαίμονι ἐν Ἄργει τε: ᾧ, τῷ χρησμῷ, BDEGQ καὶ τοὺς Ἡρακλείδας καὶ τοὺς Αἰγιμιοῦ παῖδας κατῴκισεν ἐν Λακεδαίμονι καὶ Ἄργει καὶ ἐν Πύλῳ. ἀπὸ δὲ τῆς Πύλου τὴν Μεσσήνην .... διδόασι. τριμερὴς δὲ ἡ τῶν Ἡρακλειδῶν διαίρεσις. οἱ μὲν γὰρ Ἀριστοδήμου παῖδες Προκλῆς 10 καὶ Εὐρυσθένης ἔσχον τὴν Λακωνικήν, ὁ δὲ Τήμενος τὸ Ἄργος, ὁ δὲ Κρεσφόντης τὴν Μεσσήνην· χρησμῷ δὲ κατῆλθον προστάξαντος τοῦ Ἀπόλλωνος, δῆλον δὲ ὅτι καὶ οἱ Αἰγιμιοῦ παῖδες Δύμας καὶ Πάμφυλος συγκατῆλθον τοῖς Ἡρακλείδαις. συνῴκησαν δὲ οἱ Θηβαῖοι τοῖς Λακεδαιμονίοις.

15 93. καὶ ζαθέᾳ Πύλῳ: ἀπὸ τῆς Πύλου τὴν Μεσσήνην BDEGQ σημαίνει. οἱ γὰρ νεώτεροι τὴν Πύλον, ἧς Νέστωρ ἡγεῖτο, οὐ περὶ τὴν Τριφυλίαν τῆς Ἀρκαδίας, ἀλλὰ περὶ τὴν Μεσσήνην διδόασιν. 99a E

96a. τὸ δ' ἐμὸν γαρύετ' ἀπὸ Σπάρτας: ὁ λόγος ἀπὸ BDEGQ 20 τοῦ χοροῦ τῶν Λιβύων ἢ ἀπὸ τοῦ ποιητοῦ. b. ὁ δὲ νοῦς· τὸ δὲ ἡμῶν κλέος καυχᾶται εἶναι ἀπὸ Σπάρτης, ὅπου γεγεννημένοι οἱ πρόγονοι ἡμῶν οἱ Αἰγεῖδαι εἰς τὴν Θήραν ἀφίκοντο. ἐκ Λακεδαίμονος γὰρ εἰς τὴν Θήραν ἡ ἀποικία ἐγένετο, ἐκ δὲ Θήρας εἰς Κυρήνην. Αἰγείδας δὲ κέκληκε τοὺς Λακεδαι-25 μονίους διὰ τὸ κατοικισθῆναι τοὺς παρὰ Θηβαίοις καλουμένους Αἰγείδας ἐν Λακεδαίμονι. 101a E

---

15 Strab. 8 p. 339. sch. P. VI 35a

---

4 l. μυχόν τ' ἀμφέπει μαντήιον praem. B ‖ ἐπεὶ E 5 l. BE: τῷ καὶ λακ. (D)G(Q) 6 καὶ τοὺς ἡρακλ. om. E 7 ἐν om. B 8 μεσήνην BDGQ μέσην E ‖ lac. indicavi; cfr. sch. 93 11 μεσήνην B?DEGQr ‖ δὲ] + οὗτοι B 15 l. (D)GQ: ζαθέᾳ πύλῳ E om. B ‖ ἀπὸ E: ἀπὸ οὖν B ἀντὶ D(G)Q ‖ μεσήνην codd. 16 ἧς ὁ νέστωρ B 17. 18 μεσήνην codd. 19 γαρύετ' BDE: γαρύατ' G γαρύεντ' Q ‖ σπάρτας om. Q 20 ἢ — ποιητοῦ del. Hartung 21 ἡμῶν EGQ[pc]: ἐμὸν BD 21. 22 γεγενημένοι B[1]D 23 ἐκ γὰρ λακ. DGQ ‖ τὴν om. DGQ ‖ ἡ om. B 24 δὲ (alt.) DGQ: οὖν B om. E 24. 25 λακεδαίμονας E

DEGQ 99 a. *ὅθεν γεγενναμένοι*: ἐπεὶ ἐκ Λακωνικῆς ἐλθόντες
EGQ οἱ περὶ Θήραν Καλλίστην ᾤκησαν. | Καλλίμαχος (in Apoll. 74)·
BDEGQ ἐκ μέν σε Σπάρτης ἕκτρν γένος. b. ἄλλως· συνῴκησαν γὰρ
οἱ Θηβαῖοι τοῖς Λακεδαιμονίοις. χρόνῳ δὲ οἱ Λακεδαιμόνιοι
συνεξῆλθον τοῖς εἰς Θήραν ἀπῳκηκόσι, φημὶ δὲ τοῖς ἀπὸ 5
τῶν Λημνιάδων καὶ τῶν Ἀργοναυτῶν· ἀπὸ δὲ Θήρας γεγέ-
νηται ἀποικία εἰς Κυρήνην. ἔστιν οὖν τὸ πᾶν ἐσπουδασμένον
τῷ Πινδάρῳ ὥστε δεῖξαι αὐτὸν συγγενῆ Λακεδαιμονίων καὶ
Κυρηναίων, οὕτω δὲ καὶ τοῦ νικηφόρου. 96 E 101b DGQ
BDEGQ 101 a. *Αἰγεῖδαι ἐμοὶ πατέρες*: θέλει δεῖξαι τὸν Ἀρ- 10
κεσίλαον τὸ γένος κατάγοντα ἀπὸ τῶν Ἡρακλειδῶν. 104 DGQ
b. *Αἰγεῖδαι ἐμοὶ πατέρες*: διτταὶ γίνονται αἱ τῶν Θήβη-
θεν Αἰγειδῶν εἰς Σπάρτην ἀφίξεις, προτέρα μὲν ἡ σὺν τοῖς
Δωριεῦσι καὶ Ἀριστοδήμῳ, ἧς μέμνηται Ἔφορος ἐν τῇ πρώτῃ
(FHG I p. 235) λέγων· Ὕλλον καὶ τοὺς ἄλλους τοὺς ἀποτυχόντας 15
τῆς ἐπὶ τὴν Σπάρτην στρατείας ἐπερωτᾶν τὸν θεόν, τίνας
τῶν Ἑλλήνων ποιήσονται πρὸς τὴν κάθοδον συμμάχους· τὸν
δὲ ἀνελεῖν, τοὺς ὑπὸ Ἡρακλέους εὐεργετηθέντας, πρώτους δὲ
τούτους κελεῦσαι Αἰγείδας παρακαλεῖν. ὑπολαμβάνοντας δὲ
ταῦτα εὐλόγως προστεταχέναι τὸν θεὸν ἐλθεῖν εἰς τὰς Ἀθήνας 20
πρῶτον, εἰδότας Θησέα τὸν Αἰγέως [μέγιστα πάντων ὑφ'
Ἡρακλέους εὐεργετημένον, εὖ δὲ ἔχειν τὴν μαντείαν νομί-
ζοντας,] καὶ [πρώτους τοὺς] Θησέως [τοῦ Αἰγέως] ἀπογόνους
ἐκάλουν, τοῦ τῆς καθόδου μὴ διαμαρτεῖν. ἔπειτά φασι τὸν

12—185, 10 sch. J. VII 18

1 l. om. E 3 *γένους* E ‖ *ἄλλως* om. BD 5 *δὲ* BE: *δὴ* D GQ 6 *λιμνιάδων* r (B l. n.) ‖ ante *ἀπὸ* inser. *ἄλλως* E 7 *ἀποικίαν* E ‖ *οὖν τὸ*] *δὲ* E *δὲ τὸ* Q 8 *τῶν λακ.* B 10 l. BE: om. D *ἄλλως* G *ἄλλως· αἰγεῖδαι* Q ‖ *θέλει*] + *δὲ* D 12 l.] om. B *αἰγεῖδ' ἐμοὶ π.* E *αἰγεῖδαι δ' ἐμοὶ π.* Q *αἰγεῖδαι δ' ἐμοί* G *αἰγεῖδε δ' ἐμοί* D ‖ *γίνονται αἱ* scripsi: *γεγόνασι* Q *γε* DEG *δὲ αἱ* B 13 *εἰς*] *αἱ εἰς* DGQ ‖ *πότερα* E *πρότερον* G ‖ *ἡ*] *οἱ* DG 16 *σπάρταν* E 17 *συμμάχους* DGQ: *συμμαχίαν* BE 18 *ἡρακλέος* B?Q ‖ *πρωτον* (sic) D 19 an *τούτων*? ‖ *παραλαμβάνοντας* Q 19. 20 *δὲ ταῦτα*] *ταῦτα δὲ* DGQ 20 *τὰς* om. DGQ 21 *μέγιστα* — 22 *νομίζοντας* om. DEGQ; seclusi 22 *ἡρακλέος* B 23 *πρώτους τοὺς* et *τοῦ αἰγέως* om. DEGQ; seclusi 24 *ἐκάλουν* — *δια-*

Ἀριστόδημον διὰ τῆς Βοιωτίας πορευόμενον καταλαβεῖν θύοντάς τινας τῶν Θηβαίων παρὰ τὴν ὁδὸν, καὶ τοῦ κήρυκος ἀκούσαντα τοῖς Αἰγείδαις εὐχομένου τὰ ἀγαθὰ λαβεῖν περὶ τῆς μαντείας ἔννοιαν, καὶ νομίσαντα δεῖν, ἐπειδὴ τοὺς Ἀθή-
5 νηθεν Αἰγεῖδας πρώτους παρακαλοῦντες διημάρτανον, τοὺς ἐκ τῶν Θηβῶν συμμάχους μετελθεῖν πρότερον. κατὰ τύχην δὲ ταύτῃ τῇ στρατείᾳ τῶν Ἡρακλειδῶν τὴν Πελοπόννησον κατασχόντων ἡγοῦντο τὸ μαντεῖον εἰρῆσθαι περὶ τῶν ἐν Θήβαις Αἰγειδῶν. ἑτέρα δὲ ἡ σὺν Τιμομάχῳ, ἐν ᾧ πρὸς Ἀμυ-
10 κλαεῖς Λακεδαιμονίοις καθειστήκει πόλεμος. τινὲς δὲ Αἰγέα, ἀφ' οὗ ἡ τῶν Αἰγειδῶν ἐν Θήβαις φατρία τοὔνομα ἔλαβε, Σπαρτὸν εἶναι τῶν ἀπὸ Κάδμου. 101ᵃ DGQ

104 a. ἔνθεν, διαδεξάμενοι ἀπὸ τῆς Θήρας τὰ πάτρια DEGQ ἔθη τῆς πανηγύρεως· ἢ ὅθεν τὸ γένος κατάγοντες ἡμεῖς οἱ
15 Θηβαῖοι ἐπαινοῦμεν τὴν Κυρήνην, ὦ Ἄπολλον. b. τούς τε BDEGQ γὰρ Αἰγείδας κατὰ χρησμὸν ἀπὸ Θηβῶν λαβόντες ἀπὸ ἑορτῆς Καρνείου Ἀπόλλωνος δειπνοῦντας ἐπήγαγον.

109 a. χαλκοχάρμαι ξένοι: οἱ Ἀντήνορος παῖδες ζω- DEGQ γρηθέντες τρεῖς ὄντες ἦλθον εἰς Λιβύην καὶ ᾤκησαν· εἰσὶ δὲ
20 Γλαῦκος, Ἀκάμας, Ἱππόλοχος. b. ἄλλως· ἥντινα Λιβύην BDEGQ οἰκοῦσι καὶ κατέχουσιν οἱ πολεμικώτατοι ξένοι οἱ τοῦ Ἀντήνορος παῖδες. σὺν γὰρ τῇ Ἑλένῃ καὶ τῷ Μενελάῳ παρεγέ-

---

10 Tzetzes ad Lyc. 495

μαρτεῖν DEGQ: ἐκάλουν πρὸς τὸ μὴ τ. κ. διαμαρτεῖν B. Totus locus lacunosus et corruptus ‖ φησι Schroeder

p. 185, 2 παρὰ] περὶ DG(Q^cp) 3 ἀκούσαντος E ‖ περὶ B G^ac(E^cp): παρὰ DG^pc Q 4 ἐπειδὴ om. Q del. E? 5 πρῶτον DQ 6 τῶν om. E ‖ προτέρ(ους) B^cp D^cp δευτέρους? Schroeder probab. 7 πελοπόνησον EQ 8 κατασχόντων] κατασχὼν ἐστιν E¹ κατασχόντων ἐστιν E² ‖ εἰρῆσθαι B: ἡγεῖσθαι DEGQ 9 ἑτέρα — 10 πόλεμος om. DGQ ‖ δὲ ἡ B: δ' ἐν E 9. 10 ἀμυκλαεῖ B 11. 12 σπαρτὸν ἔλαβε(ν) DG 12 τῶν] τὸν B 13 l. DG et (praem. ἄλλως) Q: om. E ‖ διαδεξάμενοι] ὅθεν διαδεξάμενοι Q 14 ἢ ὅθεν om. E 15 sch. 104b l. καρνεῖ' ἐν δαιτὶ σεβίζομεν praem. B ‖ τε DEGQ: om. B. Q. s. lacunosa vel corrupta vid. 16 ἑορτὴν D 18 l. E: om. DG ἄλλως Q 19 ᾤκισαν cj. b 20 ἄλλως] ὁ δὲ νοῦς οὕτως B 21 ξένοι οἱ B: ξένοι EGQ om. D 22 παῖδες τοῦ ἀντ. D ‖ τῇ et καὶ τῷ μεν. om. D

νοντο, ἐπειδὴ τὴν πατρίδα πορθηθεῖσαν ἐθεάσαντο κατὰ τὸν πόλεμον.

BDEGQ 110. *Τρῶες Ἀντανορίδαι: περὶ τῆς εἰς Κυρήνην ἀφίξεως τῶν Ἀντηνοριδῶν Λυσίμαχος* (FHG III p. 337) *ἐν πρώτῳ τῶν νόστων ἱστορεῖ, παρ' Ἄμνακι βασιλεῖ Λιβύων αὐτοὺς* 5 *ᾠκηκέναι μὴ βουλομένους συνοικεῖν τοῖς τὸ Ἴλιον πεπορθηκόσι, καὶ ὅτι ἔκτισαν μεθ' ἱκανὸν χρόνον τὸν μεταξὺ Κυρήνης καὶ τῆς θαλάσσης κείμενον λόφον Ἀντηνοριδῶν ἐπικεκλημένον. τινὲς δὲ οὕτω τὴν ἱστορίαν ἐκτίθενται· οἱ Ἀντηνορίδαι φιλοφρονητικώτερον διέκειντο πρὸς τοὺς Ἕλληνας· φησὶ* 10 *γάρ που καὶ αὐτὸς ὁ Ἀντήνωρ* (Γ 205)· *ἤδη γὰρ καὶ δεῦρό ποτ' ἤλυθεν· καὶ ὑποβαίνων·*

τοὺς δ' ἐγὼ ἐξείνισσα καὶ ἐν μεγάροισι φίλησα.

καὶ οἱ Ἕλληνες δὲ κατὰ τὴν πόρθησιν παρδαλέαν τῷ Ἀντήνορος οἴκῳ παρῃώρησαν σημεῖον ποιούμενοι τοῖς οἰκείοις 15 *στρατιώταις τοῦ μηδένα ὡς πολέμιον οἶκον πορθῆσαι. διαφυγόντες δὲ τὸν πόλεμον συναπῆραν μὲν τῷ Μενελάῳ, κατὰ δὲ τὴν πλάνην τοῦ Μενελάου εἰς Λιβύην ἐλθόντες οἱ Ἀντηνορίδαι, καταπονηθέντες τῷ χειμῶνι καὶ τῇ πολυχρονίῳ πλάνῃ ᾤκησαν αὐτόθι.* 20

BDEGQ 113a. *τὸ δ' ἐλάσιππον ἔθνος: ἀντὶ τοῦ* ⟨*οἱ Κυρηναῖοι*⟩. *οἱ Κυρηναῖοι ἐρχόμενοι πρὸς αὐτοὺς μετὰ τοῦ φέρειν δῶρα καθαγίζουσιν ἐπιμελῶς καὶ προσδέχονται καὶ θεραπεύουσιν· οὓς διεπεραίωσε τὴν τῆς ἁλὸς κέλευθον ἀνοίγων, τουτέστι σχίζων διὰ τὸν πλοῦν, ἢ ἀντὶ τοῦ συνήθη ποιῶν.* 25

3—9 Tzetzes ad Lyc. 874

---

1 *ἐθεάσαντο* BE: *εἶδον* DGQ 3 l. E et (praem. *ἄλλως*) GQ: om. BD ‖ *ἀντηνορίδαι* GQ 4 *ἀντανοριδῶν* E ‖ *πρώτ(ῳ)* BDGQ(cp.): *πρώτῃ* E 5 *παρ' ἄμνακι* B: *παρὰ μενύκι* (s. *μενούκι*) E *περὶ μνακὶ* DGQ *παρὰ μνάκει* Tzetzes ‖ *λιβύων*] *λυκίων* Q 6 *βουλομένοις* B *βουλομένην* Q 7 *ἔκτισε* B 11 *που* om. B 13 *ξείνισα* GQ *ξείνοια* D 14 *δὲ* om. E ‖ *πόρθησιν* BE: *πρόρρησιν* DGQ 17. 18 *κατὰ δὲ* B: *καὶ κατὰ* DEG *κατὰ* Q 19 *πολυχρόνῳ* DQ(G^cp) 21 l. E: *τὸ δ' ἐλάσιππον* DGQ om. B ‖ *ἀντὶ τοῦ* om. B 21. 22 *οἱ κυρ.* addidi 22 *κυρηναῖοι*] *γὰρ* B ‖ *μετὰ τοῦ φέρειν*] *μεταφέρειν* DQ *μετὰ τ φέρειν* G 24 *διεπέρασε* B ‖ *τῆς — κέλευθον*] *τοῦ πλάτ(ους) θαλάσσης ὁδὸν* B (cfr. ad 187, 8)

τὸ μὲν γὰρ πρῶτον οὐκ ἐπλεῖτο, ὡς ἂν τῆς Κυρηναϊκῆς ἐρήμου οὔσης· ὅτε δὲ ᾤκισεν αὐτήν, πλοΐμη ἐγένετο διὰ τὰς ἐπιμιξίας. b. ἄλλως· τὸ δὲ ἱππικώτατον ἔθνος τῶν Κυρη- **BEGQ** ναίων μετ' ἐπιμελείας τοὺς Ἀντήνορος παῖδας τεθνηκότας 5 δεξιοῦνται θυσίαις, παραγίνονται δὲ μετὰ δώρων καὶ ἐναγισμάτων. c. ἄλλως· οἱ Κυρηναῖοι ἐτίμων, φησί, τοὺς Ἀν- **BDEGQ** τηνορίδας οἵδε, οὓς ὁ Βάττος ἤγαγεν εἰς τὴν Λιβύην τῆς πλατείας θαλάττης τὴν ὁδὸν ἀνοίγων.

117. τοὺς Ἀριστοτέλης: ὅτι Ἀριστοτέλης ἦν ὁ κτίσας **BDEGQ** 10 τὴν Κυρήνην, ὁ κληθεὶς Βάττος, ὁ καὶ τὴν λεγομένην Σκυρωτὴν πλατεῖαν αὐτοῖς κατασκευάσας.

118. κέλευθον ἀνοίγων: ἀντὶ τοῦ πλοΐμην λοιπὸν **DEGQ** ποιῶν τὴν ἐπὶ τὴν Λιβύην θάλασσαν τῷ τὴν Κυρήνην κτίζειν· τότε γὰρ διὰ τὸ ἔρημον τῆς χώρας οὐκ ἐπλεῖτο ἐκείνη ἡ 15 θάλασσα.

119. ἄλσεα μείζονα: ἀντὶ τοῦ μεγάλα ἁπλῶς, οὐ πρὸς **BDEGQ** ἄλλα συγκρίνων. ἄλση δὲ τὰ τῶν θεῶν τεμένη.

120 a. εὐθύτομόν τε: κάθοδον ἐποίησεν εὐθυτενῆ καὶ **BDEGQ** λείαν· τῶν γὰρ χωρίων τραχυτάτων ὄντων λείαν ἀπειργάσατο 20 τὴν ὁδόν. 121 B b. σκυρωτὴν δὲ λιθόστρωτον· σκῦρον γὰρ λέγουσι τὴν λατύπην τὴν ἀπὸ τῆς κατεργασίας τῶν λίθων ἀποπίπτουσαν. 124g B

---

20 Hes. Σκῦρος. id. σκυρωτὴ ὁδός· ἡ ἱππόκροτος. EM 720, 26

---

1. 2 ἐρήμου **BEQ**: ἐρημίας **DG** 2 αὐτῇ **D**^{cp}**EG**^{cp} ‖ πλωίμη **Q** (Beck) 2. 3 τὴν ἐπιμιξίαν **B**^{1} 3 ἄλλως] ὁ δὲ νοῦς, οὕτως **B** ‖ δὲ om. **E** 5 παραγίνονται — ἐναγισμάτων om. **E** 6 ἄλλως **DG**(**Q**): om. **E** τὸ δ' ἐλάσιππον ἔθνος ἀντὶ τοῦ **B** ‖ φησὶ om. **E** 7 οἵδε] οἱ δὲ **E** οἱ κυρηναῖοι οἵδε **B** οὗτοι δὲ **DGQ** ‖ οὓς] ὃς **E** ‖ τῆς — 8 ἀνοίγων om. **B** (cfr. ad 186, 24) 8 ἀνοίγειν **E** 9 l. **DEGQ**: + ἄγαγεν **B** ‖ ὅτι **BE**: σημαίνει ὅτι **D**(**G**^{cp}?) σημείωσαι ὅτι **Q**(**G**^{cp}?) ‖ ὁ ἀριστ. **B** ‖ ἦν] + φησὶν **B** 10 τὴν (pr.) om. **E** ‖ ὁ καὶ βάττος κληθεὶς **DG** 10. 11 σκυρωτὴν] + τὴν **E** 11 αὐτοῖς om. **Q** 12 ἀνοίγων om. **Q** 13 τὴν (alt.) om. **DG** 14 τὸ] τὴν **DG** 16 ἄλσεα] τὸ δὲ **B** ‖ οὐ — 17 συγκρίνων om. **D** 17 συγκρίνων **B**: συγκρίνει **EQ**(**G**^{cp}) ‖ δὲ om. **B** 18 l.] + κατέθηκεν **B** ‖ τε] γε **E** ‖ ἐποίησεν] δὲ ἐποίησε, φησὶν **B** 20 τὴν om. **B** ‖ σκυρωτὴν δὲ] σκ. ὁδὸν ἀντὶ τοῦ **B** ‖ σκῦρον γὰρ om. **D** 21 τὴν — 22 ἀποπίπτουσαν om. **D** (cfr. sch. 124b)

BDEGQ 121. *Ἀπολλωνίαις*: ταῖς τοῦ Ἀπόλλωνος ἀλεξιμβρότοις θαλίαις, ἀπὸ κοινοῦ βαδιστὴν ἐποίησεν. ἀλεξιμβρότοις δέ, ταῖς ἀπαλεξούσαις τὰ τῶν ἀνθρώπων φαῦλα· τοὺς γὰρ θεοὺς θεραπεύομεν πρὸς ἀπαλέξησιν τῶν φαύλων. 124e B

DEGQ 123. *ἱππόκροτον*: καὶ ἵπποις πεδιάδα βαδιστὴν καὶ ταῖς τοῦ Ἀπόλλωνος εἶναι θαλίαις βαδιστὴν ἀπὸ κοινοῦ. 5

BDEGQ 124 a. *σκυρωτὰν ὁδόν*: οὕτω καλεῖται πλατεῖα Σκυρωτὴ ἐπὶ τῆς Κυρήνης, λέγεται δὲ καὶ τὸ ἱερὸν τῶν Διοσκούρων ἐν ἐκείνῃ τῇ πλατείᾳ εἶναι. B b. λέγεται δὲ σκυρωτή, BDEGQ ἀντὶ τοῦ λιθόστρωτος. 124f B c. ἄλλως· *σκυρωτάν*: τὴν 10 Σκυρωτὴν οὖν, φησίν, ὁδὸν κατεσκεύασεν ὁ Βάττος, δι' ἧς αἱ τῷ Ἀπόλλωνι γινόμεναι πομπαὶ κομίζονται εἰς τὸ ἱερόν. d. πεδιάδα δὲ κέκληκε τὴν ὁδὸν ὡς ἐπίπεδον καὶ λείαν. 124a B e. τὰς δὲ πομπὰς ἀλεξιμβρότους, ἤτοι παρὰ τὸ ἀλέγειν ὅ ἐστι φροντίζειν, ὧν φροντίζουσιν ὡς συντελεσθῶσιν· ἢ ἐπεὶ 15 εἰς ἀλέξησιν τῶν κακῶν ὑπὲρ τῶν βροτῶν γίνονται. πομπαῖς γὰρ καὶ θυσίαις ἱλάσκονται τὸ δαιμόνιον. 124c B

BDEGQ 124 f. *ἔνθα πρυμνοῖς ἀγορᾶς*: τὸν τάφον αὐτοῦ συνίστησιν ἐπὶ τοῖς τῆς ἀγορᾶς ὁρίοις ὄντα. φησὶ γάρ, ἐπ' ἐσχάτοις τῆς ἀγορᾶς δίχα κεῖται θανών, ἐπὶ τῷ διορίζοντι 20 τὴν ἀγορὰν ἄκρῳ. ἔστι δὲ καὶ οὕτω διελέσθαι· ἐπὶ πρυμνοῖς τῆς ἀγορᾶς κεῖται θανών, δίχα τῶν ἄλλων ἡρώων. 126 B g. τὸ δὲ χ' ὅτι πρυμνοῖς ἀγορᾶς εἶπεν ἀντὶ τοῦ τοῖς ἐσχάτοις ἄκροις. h. τὸ δὲ *ἐπίδιχα*, ἐπὶ θάτερα μέρη. 127 B

BDEGQ 126. *ἐπίδιχα*: διακεχωρισμένος τῶν ἄλλων βασιλέων ἐν 25

---

23 sch. Hom. *M* 445. Hes. πρυμνόν. Ap. soph. 136, 20. EM 693, 36. Eust. ad ρ 463, p. 1828, 32, al.

---

1 l. om. B ‖ ἀπόλλωνος] + τοίνυν B ‖ ἀλξιμβρότοις fere E 2 θαλίαις] θαλείαις καὶ ἵπποις πεδίον εἶναι καὶ B (πεδίον in B aegre legitur) r (cfr. sch. 123) ‖ βαδιστὴν ἀπὸ κοινοῦ B ‖ δὲ om. E 5 βαδιστὴν ego: βαδιστὸν 7 l. om. B ‖ σκυρωτὴν Q ‖ οὕτω] οὕτως οὖν B 9 πλάτη E 10 ἄλλως] τὸ δὲ ὅλον B ‖ σκυρωτάν om. BDG 14 ἀλεξιμβρ. φησὶ τὰς πομπάς, om. δὲ et ἤτοι, B 16 ὑπὲρ] ὑπὸ B 18 l.] ἔνθα πρυμνοῖς DGQ ‖ ἀγοραῖς E 19 τοῖς om. E ‖ ὁρίοις] ἡρίοις DG 20 τῆς ἀγορᾶς om. D ‖ κεῖται] ἐκεῖτ(ο) E 23 τὸ δὲ χ' ὅτι E: τὸ δὲ σημεῖον ὅτι DGQ om. B ‖ πρυμνοῖς] + δὲ B ‖ τοῖς om. DGQ 24 ἐπίδιχα] + ἀντὶ τοῦ B 25 l.] ἢ B ‖ ἐν BE: ἐπὶ DGQ

τῇ Κυρήνῃ πρὸς τὰ τελευταῖα τῆς ἀγορᾶς κεῖται τεθνηκὼς ὁ Βάττος. 120b B

127 a. *μάκαρ μέν*: μακάριος μὲν ὅτε ἐν ζῶσιν ἦν, καὶ BDEGQ μετὰ ταῦτα, φησίν, ὡς ἥρως τιμᾶται σεπτὸς ὢν παρὰ Κυρη-
5 ναίοις. b. *λαοσεβὴς* δὲ ὁ ὑπὸ τοῦ λαοῦ σεβόμενος. DGQ

129. *πρὸ δωμάτων*: ποίων δωμάτων; ἤτοι τοῦ ἥρωος BDEGQ Βάττου ἢ τῶν βασιλείων ἢ καὶ πρὸ τῶν τῆς πόλεως πυλῶν. καὶ κατὰ τοῦτο δοκεῖ τῶν ἄλλων διαφέρειν ὁ Βάττος, ὅτι ὁ μὲν ἄκρᾳ ἀγορᾷ τέθαπται, οἱ δὲ πρὸ τῆς πόλεως.

10 132. *μεγάλαν δ' ἀρετᾶν*: τῶν δὲ ἐπισήμων σου ἀρε- BDEGQ τῶν κατακούουσιν, ὦ Ἀρκεσίλαε, οἱ πρόγονοι τῇ ἑαυτῶν φρενὶ τῇ ὑπογείῳ. τῶν ἀρετῶν δέ, τῶν οὐσῶν αὐτῶν ὄλβου. 136a B

133. *δρόσῳ μαλθακᾷ*: τοῖς ποιήμασιν ἐπικοσμουμένην DEGQ
15 τὴν ἀρετὴν αὐτῶν τῇ χθονίᾳ φρενὶ ἀκούουσιν. 136b E

135 a. *ἀκούοντί ποι*: τὴν μεγάλην τοῦ Ἀρκεσιλάου BDEGQ ἀρετὴν τοῖς ποιήμασιν ἐπικοσμουμένην ἀκούουσί που τῇ χθονίᾳ αὐτῶν φρενί. 138a B b. *χθονίᾳ δὲ φρενί*, παρόσον BDGQ τεθνήκασι καὶ ἐν τῇ γῇ κεῖνται. 136b B

20 136 a. *σφὸν ὄλβον*: ὄλβον λέγει τὴν κῶμον, ὅς ἐστιν BDEGQ αὐτῶν ὄλβος. τί γὰρ καταλείπεται τοῖς τεθνεῶσιν ἢ ὄλβον ἔχειν τοὺς ἐπαίνους τοὺς διὰ τῶν ποιημάτων, τουτέστι πλουτεῖν ἐπαίνοις. 135b B 138a E

136 b. *υἱῷ τε κοινὰν χάριν*: τὸν Ἀρκεσίλαον υἱὸν BDEGQ
25 εἶπε, καθὸ ἀπόγονος ἦν τοῦ Βάττου. ἀκούοντες οὖν τῶν ὕμνων τῶν εἰς Ἀρκεσίλαον κοινὴν ἔχουσι τὴν χάριν οἱ πρόγονοι. 135a BE

---

3 l. EQ: + ἀνδρῶν DG + ἀνδρῶν μέτα B ‖ μὲν (alt.) om. E 4 ταῦτα] τοῦτο B ‖ σεπτὸς — κυρηναίοις om. B 6 l.] ἄτερθε δὲ πρὸ δ. B ‖ ποίων δωμάτων] φησὶν B om. Q 8 τῶν ἄλλων δοκεῖ DG ‖ φέρειν E 9 ⟨ἐν⟩ ἄκρᾳ b 10 μεγάλου E ‖ σου] + φησιν B 12 ὑπογείῳ B: ὑγρῷ ὑγειῶν E ὑγιᾶ DGQ ‖ αὐτῶν E: αὐτοῦ B?r αὐτοῖς B?b ($D^{cp}G^{cp}Q^{cp}$) 14 ἐπικοσμουμένων E 16 l. EQ: ἀκούοντι DG ἢ οὕτω B 17 που] + οἱ πρόγονοι B 18 φρενὶ] + φησὶ B 20 l. om. B ‖ ὄλβον] + δὲ B 21 καταλείπεται] κατέλιπε B 22. 23 πλουτοῖς E 26 εἰς τὸν ἀρκ. E

BDEGQ 138 a. *τὸν ἐν ἀοιδᾷ νέων πρέπει:* πρέπει τὸν Ἀπόλλωνα εὐχαριστεῖσθαι ὑπ' Ἀρκεσιλάου καὶ ὑμνεῖσθαι αὐτὸν ἐν τῇ ᾠδῇ τῶν νέων, διότι ἐκ Πυθῶνος εἴληφε τὴν νίκην καὶ τὸ μέλος, ὃ νῦν γέγραφεν, ὅ ἐστι λυτήριον τῶν δαπανῶν. (138b B) ἐδαπάνησε μὲν γὰρ πολλὰ καὶ ἐπόνησεν, οὐκ εἰς κενὸν 5 δέ, ἀλλὰ τυχὼν τῆς νίκης ἀμοιβὴν ἔσχε τῆς δαπάνης. ταῦτα δὲ εἶπεν ὡς πολλὰ δεδωκότος καὶ καταναλώσαντος Ἀρκεσιλάου. 146 B b. ἄλλως· *τὸν ἐν ἀοιδᾷ:* ὅντινα τὸν Ἀρκεσίλαον ἐν τῷ χορῷ καὶ τῇ τούτου ᾠδῇ προσήκει ἀνυμνεῖν τὸν Ἀπόλλωνα, ἔχοντα τὸν Ἀρκεσίλαον τὴν ἐκ Πυθῶνος καλλί- 10 στην τῶν δαπανῶν παραμυθίαν· λέγει δὲ τὴν νίκην καὶ τὸ τοῦ ἐπινίκου μέλος. 138a med. B

DEGQ 143. *ἄνδρα κεῖνον:* τὸν Ἀρκεσίλαον, τὸν ὑπὲρ εὐδοξίας δαπανῶντα.

BDEGQ 146. *κρέσσονα μέν:* τουτέστι κρείσσονα τῆς ἡλικίας 15 νοεῖ καὶ λέγει, ὑπὲρ τὴν ἡλικίαν ἔχει τὸν νοῦν καὶ τὴν φρόνησιν.

BDEGQ 148. *θάρσος τε:* τὸ δὲ θάρσος καὶ τὴν ἀνδρείαν τοσοῦτός ἐστιν ὅσος ὁ ἀετὸς πρὸς τοὺς ἄλλους ὄρνις συγκρινόμενος. 20

DEGQ 150. *ἀγωνίας δ' ἕρκος:* ἀντὶ τοῦ τῶν ἀγώνων ὀχύρωμα θαυμαστὸν ἔχει τὸ σθένος.

BDEGQ 151. *οἷον σθένος:* θαυμαστικῶς· ὁποῖον δὲ ἐν ταῖς ἀγωνίαις καὶ τοῖς ἀγῶσιν ἔχει τὸ ἑαυτοῦ σθένος ὡς ἂν ὀχύρωμα καὶ τειχίον. 25

---

1 l. E: *τὸν ἐν ἀοιδᾷ* **DGQ** *ἔνδικόν τ' ἀρκεσίλ(α)* **B** 3 *ἐκ πυθῶνος* om. **E** 5 *ἐδαπάνησε — 7 ἀρκεσιλάου* post sch. 138 b trp. **B** 7 *ἀναλώσαντος* **B** 8 *ἄλλως*] *ἢ οὕτω* **B** 10. 11 *καλλ. παραμ. τῶν δαπ. τὴν ἐκ πυθ.* **B** 10 *τὴν*] *τῶν* **DG** ‖ *ἐκ πυθ.* om. **Q** 11 *καὶ — 12 μέλος* om. **Q** 15 l. **E**: + *ἁλικίας* **B** *κρέσσονα* **DGQ** ‖ *κρείσσονα*] *κρείττονα* **B** 16 *ἔχει τὸν νοῦν*] *δὲ τὸν νοῦν ἔχει* **B** 16. 17 *τὸ φρόνημα* **DG** 18 l. om. **B** ‖ *τὸ δὲ*] *κατὰ δὲ τὸ* **Γ** 18. 19 *τοιοῦτος* **DQ** 19 *ὅσος ὁ* **B**: *ὅσον* **DEGQ** ‖ *ὄρνεις* Oxonn. 21 *δ' ἕρκος* om. **Q** ‖ *τῶν* om. **DGQ** 23 l. om. **B** ‖ *ὁποῖον δὲ θαυμ.* **B** 24 *τοῖς* **B**: *ἐν τοῖς* **Q** om. **DEG** 25 *τειχεῖον* **E**

152 a. *ἔν τε Μοίσαισι ποτηνὸς ἀπὸ ματρὸς φίλας*: **BDEGQ** ἀμφίβολον, πότερον ἀπὸ μητρὸς πεπαιδευμένος, ἢ ἀπὸ τῆς πρώτης ἡλικίας ἔνδοξος ἦν καὶ πτηνὸς, τουτέστι τῇ δόξῃ μετεωριζόμενος. b. ἢ οὐχ ὑπὸ μητρὸς ἐδιδάσκετο, ἀλλὰ
5 φύσει τέλειος ἦν κατ' ἀρετὴν, οὐ νεοσσὸς ἀλλὰ πτηνὸς, τουτέστιν οὐ τῶν διδασκόντων ἔχρῃζεν. c. ἄλλως· ἐν δὲ λόγῳ καὶ ἀρετῇ ὀξὺς καὶ ταχὺς ἀφ' ἑαυτοῦ εὐθὺς τεχθεὶς γέγονεν· ἀντὶ τοῦ ἐκ νέας ἡλικίας καὶ περὶ παίδευσιν ἐπιθυμητικῶς ἔχει.
10 155 a. *καλῶν ἔσοδοι*: ἀντὶ τοῦ ἔθη. b. ὅσα τέ ἐστι **BDEGQ** παρὰ Κυρηναίοις τῶν καλῶν ἔθη, ταῦτα ὑπέμεινε καὶ κατώρθωσε πρῶτος.

157. *θεός τέ οἱ*: τὸ δαιμόνιον, φησὶν, αὐτῷ ἐπί τε τοῦ **BDEGQ** παρόντος προθύμως τελεῖ τὰ κατὰ δύναμιν καὶ εἰς τὸν μετὰ
15 ταῦτα χρόνον. 164 **E**

159. *καὶ τὸ λοιπὸν, ὦ Κρονίδαι*: ἐπεὶ εὐκταίως νῦν **BDEGQ** ἔχει αὐτῷ τὰ παρὰ τῶν θεῶν, οὕτω καὶ ἐς τὸ μέλλον, ὦ Κρονίδαι, φησὶ, μὴ ἐάσητε τοιοῦτον ἐλάττωμα περὶ τὸν βίον αὐτοῦ γενέσθαι, ὥστε καθάπερ ὑπὸ φθινοπώρου πνοῆς τὰ
20 φύλλα κεῖται ἐπὶ τὴν γῆν τῶν δένδρων, οὕτω καὶ τὰ πράγματα αὐτοῦ μαρανθῆναι, ἀλλ' ἀειθαλὴς αὐτοῦ μένοι ὁ βίος μηδέποτε φθίνων μηδὲ φυλλορροῶν. 166 **E**

164. *Διός τοι νόος*: ὁ δὲ τοῦ Διὸς νοῦς τὴν ἑκάστου **BE** τύχην κυβερνᾷ καὶ ἐπὶ τὰ βελτίονα ἄγει. 159 **E**
25 166. *εὔχομαί νιν*: εὔχομαι, φησὶν, αὐτὸν, τὸν Δία, **BDEGQ**

---

1 l. **B**: ἔν τε μ. ποτηνός **DG** ἔν τε μοίσαισιν **Q** ματρὸς φίλας πέφανται **E** 2 μητέρος **EQ** ‖ πεπαιδευμένος **Q**: -ης **BDEG** 4 ἢ] ἤτοι περὶ τὴν παίδευσιν, ἢ **B** 8 ἀντὶ τοῦ] + εἰπεῖν **B** ‖ καὶ om. **B** 9 ἔχει **E**: ἔχειν **B** εἶχεν **DGQ** 10 l.] ὅσσαι τ' εἰσὶν ἐπιχωρίων καλῶν εἴσοδοι **B** ‖ ἀντὶ τοῦ ἔθη om. **B** ‖ τέ om. **E** 12 πρῶτος om. **D** 13 l. om. **B** ‖ τὸ] + γὰρ **B** 14 τελεῖ τὰ **DEG**: τελεῖται **B** τελεῖ **Q** 16 l. **E**: καὶ τὸ λοιπόν **DGQ** ἄλλως **B** 17 παρὰ Beck: περὶ ‖ εἰς **B** 18 φησὶ] οὖν φησι **B** ‖ ἐάσητε τοιοῦτον **B**: ἐάσῃ τοιοῦτον **E** ἐάσηται τοῦτον **D** ἐάσητ(ε) τοῦτον **G** ἐάσητε **Q** 19—22 cfr. rec. p. 4 Mo. 19 ὑπὸ] ἐπὶ **E** 20 τὴν γὴν **BE**: τῆς γῆς **Q** rec. γῆς **DG** 22 μήποτε **DG** rec. ‖ φυλλοροῶν **DEQ** 23 l. om. **E** 25 l.] + ὀλυμπία **B** ‖ αὐτὸν, φησὶν **E**

ὥσπερ νῦν ἐν τῇ Πυθῶνι δέδωκε γέρας καὶ τιμὴν τὴν ἀπὸ τῆς νίκης, οὕτω καὶ ἐν Ὀλυμπίᾳ δοῦναι αὐτῷ νίκην τινὰ τῷ Ἀρκεσιλάῳ, ὅστις ἐστὶ Βάττου γένος.

B 168. *γέρας ἐπὶ Βάττου γένει*: ἰστέον ὅτι οὐκ ἔχει τὴν ποσότητα τῶν κώλων. 5

Scholia in Pythionicarum carmen VI.

DEGQ Ξενοκράτει Ἀκραγαντίνῳ ἅρματι.

B a. τοῦ ἕκτου εἴδους ἡ ᾠδὴ μονόστροφός ἐστι κώλων ἐννέα. τὸ α' σύνθετον ἐκ πενθημιμεροῦς καὶ ἐφθημιμεροῦς ἰαμβικόν. τὸ β' τρίμετρον ἐπιωνικὸν ἀκατάληκτον. ἄδηλον δὲ πότερον ἐκ δευτέρου παίωνος ἢ πρώτου. τὸ γ' ὅμοιον 10 τῷ (Archil. fr. 94, 2). τίς σὰς παρήειρε φρένας. τὸ δ' τρίμετρον ἐπιχοριαμβικὸν ὑπερκατάληκτον. τὸ ε' ὅμοιον τῷ γ'. τὸ ς' τρίμετρον τροχαϊκὸν καταληκτικόν. τὸ ζ' ἰαμβικὸν πενθημιμερές. τὸ η' ἰαμβικὸν δίμετρον καταληκτικόν. τὸ θ' ἀντισπαστικὸν τρίμετρον καταληκτικὸν Πινδαρικόν. inscr. B 15

BDEGQ b. Ξενοκράτης Θήρωνος ἀδελφός. ἔστι δὲ ἡ ᾠδὴ μονόστροφος, αἱ δὲ μονόστροφοι ἀντιστρεφούσας ἔχουσι τὰς στροφὰς ἀλλήλαις, ὥστε ἴσα εἶναι τά τε τῆς στροφῆς καὶ ἀντιστρόφου καὶ ἐπῳδοῦ. διὸ οὐδὲ κορωνίσι χρῶνται ἐπ' αὐτῶν διὰ μέσου. αἱ δὲ πρὸς τριάδα γεγραμμέναι ἴσας ἔχουσι τὰς 20 στροφὰς καὶ ἀντιστρόφους, τὴν δὲ ἐπῳδὸν διαλλάσσουσαν τούτων. 1ᵃ BDEGQ

BDEGQ Inscr. Γέγραπται Ξενοκράτει Ἀκραγαντίνῳ νενικηκότι κατὰ τὴν κδ' Πυθιάδα. φανερὸν δέ, ὅτι αἱ ᾠδαὶ οὐ κατὰ

---

1 *νῦν* om. E ‖ *τῇ* BE: *τῷ* DGQ 2 *νίκην*] *τὴν νίκην* E ‖ *τινὰ* DEGQ: *ἤτοι* B 6 pro inscr. spat. vac. Q 9 *ἰαμβικῶν*? 10 *παίωνος* b: *παίονος* B („sane inepte" b) *ἰωνικοῦ* Pauw ft. recte 16 *ὁ δὲ ξενοκρ.* B ‖ *θήρωνος*] + *ἦν* BDG 17 *ἀντιστρεφούσας*] *ἀντιστρόφους* b 18 *ἴσα* et *τὰ* B: *ἴσας* et *τὰς* DEGQ 19 *οὐδὲ*] *δὲ οὐ* E 20 *τρωάδα* E 21 *ἐπῳδὴν* DEQ(G^op) ‖ *διαλ(λ)άσσουσαν* BE: *διαλ(λ)άσσουσι* DGQ 23 l. null. B: *ἄλλως* D *ἄλλως· ἀκούσατ' ἢ γάρ* G *ἀκούσατ' ἢ γάρ* Q *ἀκούσατ' ἢ γὰρ ἑλικώπιδος* E 24 *κδ'*] *τετάρτην* E

χρόνον διάκεινται· ἡ γὰρ πρὸ ταύτης ᾠδὴ Ἀρκεσιλάῳ γέγραπται νικήσαντι λα´ Πυθιάδα. 1d DEGQ metr.b B

1 a. Ἀκούσατ᾽· ἦ γὰρ ἑλικώπιδος Ἀφροδίτας: ὁ BDEGQ λόγος ἤτοι ἀπὸ τοῦ χοροῦ ἐστιν ὡς ἐγκωμιάζοντος τὴν πόλιν
5 ὡς εὔφορον, ἤτοι παρὰ τοῦ Πινδάρου πρὸς τοὺς μέλλοντας διακομίζειν τὸν ὕμνον. 1d B b. ὁ δὲ νοῦς· ἀκούσατε· ναὶ γὰρ δὴ τῆς εὐοφθάλμου Ἀφροδίτης καὶ αὐτῶν τῶν Χαρίτων ὑπὸ τὸ χωρίον ἀναστρεφόμεθα, ἀντὶ τοῦ ἀνυμνοῦμεν τὴν Ἀκράγαντα εἰς τὸν ναὸν παραγινόμενοι τὸν τῆς ἐριβρόμου γῆς
10 ὄντα ὀμφαλόν, τουτέστιν εἰς τὴν Πυθῶνα. 5 B c. ἔνιοι δὲ DEGQ ἄρουραν Χαρίτων καὶ Ἀφροδίτης τὴν ποιητικὴν ἤκουσαν, ἀφ᾽ ἧς δρέπεται τὰ μέλη ὁ Πίνδαρος. inscr. DEGQ d. ἀμ- BDEGQ φιβάλλει δὲ τὰ τῆς φράσεως, καὶ οἱ μὲν Χαρίτων καὶ Ἀφροδίτας ἄρουραν τὴν Ἀκράγαντα ἀκούουσι διὰ τὸ ἐπιτερπῆ τὴν
15 πόλιν εἶναι καὶ ἐράσμιον· οἱ δὲ τὸν Πύθιον ναόν. δύναται δὲ καὶ ἀλληγορῶν ὁ Πίνδαρος τὴν ἑαυτοῦ ποίησιν λέγειν, ὅτι ἐξ αὐτῆς ἐκαρποῦτο τὰ μέλη. e. ὁ δὲ λόγος ἐκ τῶν χορευτῶν ἤτοι πρὸς ἀλλήλους διαλεγομένων ἢ πρὸς τοὺς ἀναληψομένους τὸ ποίημα. f. ὁ δὲ ἦ σύνδεσμος ἀντὶ τοῦ δή
20 κεῖται. g. ὃ δὲ βούλεται λέγειν, τοιοῦτόν ἐστιν· ἀκούσαθ᾽, ἑλικώπιδος γὰρ δὴ Ἀφροδίτης ἄρουραν ἢ Χαρίτων ἄρουραν ἀναπολοῦμεν εἰς τὴν Πυθὼ παριόντες, ἥ ἐστιν ὀμφαλὸς τῆς γῆς. 1b B

---

19 Ap. de conj. p. 523, 7

---

1 χρόνον BE: χρόνους DGQ (rec.) ‖ ἀρκεσίλᾳ B 3 l. B: om. EQ ἀκούσατ(ε) DG 5 ἔφορον DG rec. 6 ναὶ] καὶ hb 7 καὶ] ναὶ`` καὶ E ναὶ` καὶ Q ‖ αὐτῶν τῶν χαρ. EQ: τῶν χαρ. αὐτῶν B αὐτῶν χαρ. DG ‖ ὑπὲρ E 8 ἀντὶ τοῦ] τουτέστιν B ‖ τὴν] τὸν E 9 παραγινόμενοι BE: παραγενόμενοι DG(Q) 10—12 cfr. ad 15—17 12. 13 ἀμφιβάλλεται B 13. 14 ἀφροδίτης GQ(D[cp]) rec. 14. 15 τὴν πόλιν om. B 17 ὅτι — μέλη] ἄρουραν χαρίτων καὶ ἀφροδίτης. ἤ, τοι τὴν ποιητικήν. ἀφ᾽ ἧς δρέπεται τὰ μέλη ὁ πίνδαρος B (cfr. sch. 1 c) ‖ ἐκαρποῦτο rec., b: ἐκαρποῦντο ‖ ἐκ om. Q 18 ἢ — 19 ποίημα om. B 19 ἦ scripsi: ῆ BDE ἦτα G γὰρ Q 20 κεῖται om. B ‖ τοιοῦτον — 21 δὴ om. D ‖ ἀκούσατε B 21 δὴ om. B ‖ ἄρουραν (pr.) om. B 22 ὀμφαλὸς DEQ[pc]: ὀφθαλμὸς BGQ[ac]

DGQ 4. *Πυθιόνικος θησαυρὸς* ὁ ὕμνος· θησαυρίζεται γὰρ παντὶ τῷ χρόνῳ.

BDEGQ 5 a. *ἔνθ' ὀλβίοισιν Ἐμμενίδαις*: οὐκ ἀπὸ φυλῆς, ὁ Ἀρίσταρχος· τοῦ κυρίου γὰρ ὄντος Ἐμμενίδου οὐκ ἂν γένοιτο Ἐμμενίδας· ἡ δὲ ποιητικὴ παρέκτασις καὶ σχηματισμοὶ ἐπὶ 5 τῶν κυρίων πατρωνυμικῶν ἐπὶ τὰ αὐτῶν τρεπόμενα ὀνόματα, οἷον Ἡρακλείδης καὶ Ἀσκληπιάδης ἔστι μὲν σχήματι πατρω-

BEGQ νυμικά, κύρια δέ τινων. | εἴ τις οὖν τὸν τοῦ Ἡρακλείδου υἱὸν πατρωνυμικῶς βούλοιτο σημῆναι, ὁμωνύμως ἂν πάλιν

BDEGQ [πατρὸς] Ἡρακλείδην καλοίη. | Ἱππόστρατος δὲ (FHG IV p. 433) ὁ 10 τὰ περὶ Σικελίας γενεαλογῶν φησιν, ὅτι Ἐμμενίδης καὶ Ξενόδικος Τηλεμάχου υἱοί, καὶ Ἐμμενίδου μὲν οἱ περὶ Θήρωνα καὶ Ξενοκράτην, Ξενοδίκου δὲ Ἱπποκράτης καὶ Κάπυς, οἳ φυγαδευθέντες ὑπὸ Θήρωνος ὕστερον Καμίκου κατέσχον τῆς Σικελικῆς πόλεως, καθ' ἣν καὶ ὁ Μίνως ὑπὸ ταῖς Κωκάλου 15 θυγατράσιν ἀπώλετο κατὰ ζήτησιν Δαιδάλου ἐλθών. b. ὁ δὲ νοῦς· ἔνθα, ἐν τῇ Πυθῶνι, τοῖς εὐδαίμοσιν Ἐμμενίδαις καὶ τῇ Ἀκράγαντι καὶ τῷ Ξενοκράτει ὁ ὑπὲρ τῆς τῶν ἵππων νίκης Πυθιόνικος θησαυρὸς, τουτέστιν ὁ ὕμνος ἕτοιμος καὶ πρόχειρος ἵσταται καὶ ἀνάκειται ἐν τῇ πολυχρύσῳ Ἀπολλωνίᾳ 20

BEGQ νάπῃ τῇ Πυθοῖ. c. ἢ οὕτως· *ἔνθα*, ἐν τῷ ναῷ τῷ ἐν

10 sqq. cfr. sch. O. III 68

1 θησαυρὸς om. D 2 τῷ om. D 3 l. E: πυθιόνικος ἔνθ' ὀλβίοισιν B ἔνθ' ὀλβίοισιν DGQ ‖ οὐκ — 4 ἀρίσταρχος corrupta ‖ φυλῆς] φυλλῆς G τῆς φυλῆς Q φυλῆς γὰρ r φυλῆς ⟨ἐμμενίδης⟩ Horn p. 50 4 εὐμενίδου Q 5 ἐμμενίδας codd.: ἐμμενίδαι hb. Ft. ἐμμενιδίδας. Q. s. corrupta ‖ καὶ οἱ σχ. B ‖ ἐπὶ] ἐκ D del. Horn 6 κυρίως B ‖ τρέπονται cj. Horn 7 μὲν BE: δὲ DGQ ‖ σχήματα E 7. 8 πατρωνυμικὸν r 8 τοῦ om. E 10 πατρὸς] πρὸς B om. EGQ; seclusi ‖ ἡρακλειδ(ην?) B[cp] ἡρακλείδα r ‖ δὲ om. Q 11 περὶ] + τῆς DG + τὰ Q 11. 12 post ξενόδικος κ del. B 14 ὕστερον om. D ‖ καμίκου κατέσχον τῆς scripsi: καμίκου (sine acc. B) κατασχόντος codd. κάμικον κατασχόντες Beck κάμικον κατέσχον b 15 σικελικῆς πόλεως DEGQ: σικελιωτικ(ὴν) πόλ(ιν) B. Cfr. P. IV 79 c 17 τῇ] τῷ DGQ ‖ εὐμενίδαις DG 18 τῇ] τῷ D?G ‖ τῆς om. DG 19. 20 πρόχειρος καὶ ἕτοιμος B 20 καὶ ἀνάκειται om. D ἀνάκειται om. G 21 νάπῃ] νά E ‖ τῇ πυθοῖ — 195, 1 νάπῃ om. E 21—195, 1 ἐν τῇ πυθοῖ (s. -ῶνι?) B

Πυθοῖ. ἐκεῖ γὰρ ἡ Ἀπολλωνία νάπη, περὶ ἧς ἐν Παιᾶσιν εἴρηται (fr. 69). | *ἔνιοι δὲ νάπην τὸ πεδίον ἤκουσαν, ἐν ᾧ* BDEGQ *οἱ ἱππικοὶ ἀγῶνες ἐτελοῦντο.*

6. *ποταμίαν εἶπε τὴν Ἀκράγαντα διὰ τὸ ὁμωνυμεῖν τῷ* DEGQ
5 *ποταμῷ.*

9 a. *Ἀπολλωνίᾳ νάπᾳ: τινές φασιν εἰς τρεῖς μοίρας* BDEGQ *διῃρῆσθαι τοὺς Δελφούς· καὶ τούτων ἡ μὲν λέγεται ὑπάτη, ἡ δὲ μέση, ἐν ᾗ ἐστι καὶ αὐτὴ ἡ καλουμένη νάπη.* b. *Ἀπολ-* DGQ *λωνίαν νάπην τὴν Πυθῶνα λέγει ἐνταῦθα.*

10 10 a. *τὸν οὐ χειμέριος ὄμβρος: τὸν ὕμνον, ὃν καὶ* BEGQ *θησαυρὸν εἶπεν.* 11 B b. *ἄλλως· ὁ νοῦς· ὅντινα τὸν ὕμνον* BDEGQ *οὔτε ὁ χειμὼν τῆς μεγαλοήχου νεφέλης ἀπηνὴς στρατὸς ἐπελθὼν οὔτε ἄνεμοι ταῖς πνοαῖς τύπτοντες καὶ στρέφοντες τῇ πολυφόρῳ χεράδι ἄξουσι καὶ ἐμβαλοῦσιν εἰς τὰ βάθη τῆς*
15 *θαλάσσης.* 13a B

11. *ἐριβρόμου νεφέλας στρατός: τὸν ὄμβρον φησί,* BDEGQ *σκληρᾷ μεταφορᾷ χρησάμενος διθυραμβωδῶς, παρόσον πολλῶν νεφῶν εἰς ταὐτὸ συναγομένων ῥήγνυνται οἱ ὄμβροι. τὸν οὖν τῶν ὕμνων θησαυρὸν ὑπ' οὐδενὸς ἀπαχθήσεσθαι, οὔτε*
20 *ὑπὸ ὄμβρου οὔτε ὑπὸ ἄλλου τινός.* 10b B

13 a. *παμφόρῳ χεράδι: τῷ κοπρώδει φορυτῷ. κυρίως* BDEGQ *ἡ ἐκ τῆς χαράδρας ἀκαθαρσία.* | *Ὅμηρος* (Φ 319)· BEGQ

---

1 cfr. Hes. *Τοξίου βουνός*? 21 sch. Hom. Φ 319. Ap. soph. 167, 21. Hes. Suid. *χεράδος*. EM 808, 40 (etym. gen. p. 309 M.)

---

1 *παιᾶσιν*] + *ἀγῶνες ἐτελοῦντο, τινὲς δέ φα(σιν)* B, sed punctis supra positis del. 3 *οἱ* om. DG 4 *εἶπε* om. D ‖ *ὁμώνυμον* b 6 l. DGQ (sed *νάπῃ* DQ): *ἀπολλωνίαν νάπαν* E om. B ‖ *τινὲς*] + *δὲ* B 8 *αὐτὴ* BEQ: *αὕτη* DG 8. 9 *ἀπολλωνίαν νάπην*] *ἐνταῦθα δὲ* D, om. q. s. *ἐνταῦθα* 10 *τὸν ὕμνον*] *ὄμβρον τὸν ὕμνον φησίν* B ‖ *καὶ* om. E 11 *ἄλλως*] *τὸν οὐ χειμ. ὄμβρος* D om. B ‖ *ὁ νοῦς*] *ὁ δὲ νοῦς* B om. D 13 *οὔτε* om. D ‖ *στρέφον* E 14 *χοιράδι* DG (*χειράσι* rec.) ‖ *ἐμβάλλουσιν* EG *ἐμβάλουσιν* D 16 l. E: *ἐριβρ. νεφ.* DGQ om. B ‖ *τὸν ὄμβρον φησὶ* om. B 17 *διθυραμβωδῶ* B *θυραμβωδῶς* E 19 *θησαυρῶν* E ‖ *ἀπαχθήσεται* E *ἀπαχθήσεσθαί φησιν* DGQ (rec.) 21 l. *ἄλλως* praem. B ‖ l.] + *τυπτόμενοι* G ‖ *πολυφόρῳ* B ‖ *τῷ*] *ἤτοι τῷ* B ‖ *πρώδει* B ‖ *φορυκτῷ* E ‖ *κυρίως* E: *φορυτὸς δὲ κυρίως* B *κυρίως φορυτὸς* DGQ 22 *καὶ ὅμ.* DG

εἰλύσω ψαμάθοισιν, ἅλις χεράδος περιχεύας.

DGQ b. χερὰς δὲ ὁ μετὰ ἰλύος καὶ λίθων συρφετός. | c. τὸ δὲ τυπτόμενοι ἀντὶ τοῦ τύπτοντες.

BDEGQ 13 d. φάει δὲ πρόσωπον: ἔξωθεν προσληπτέον εἰς τὸν πλήρη λόγον ἔχων· ἔχων τὸ πρόσωπον ἐν φωτὶ καθαρῷ, τουτέστι λελαμπρυσμένος τῷ προσώπῳ καὶ ἐπιφανὴς ὢν ὁ θησαυρός. e. ὁ δὲ Θρασύβουλος υἱός ἐστι Ξενοκράτους, (16 B) ἐπιστατεῖ δέ, ὡς εἰκὸς, τῶν ἱππικῶν ἀγώνων, παρὸ δὴ καὶ προσδιαλέγεται αὐτῷ ὁ Πίνδαρος. 15 B f. ἢ οὕτως· ὁ νοῦς· ὁ δὲ τῶν ὕμνων ἐν καθαρῷ φωτὶ λελαμπρυσμένος τὸ πρόσωπον θησαυρὸς τῷ σῷ πατρὶ Ξενοκράτει, ὦ Θρασύβουλε, κοινὴν τῷ γένει σου τοῖς πολυθρυλλήτοις τῶν ἀνδρῶν λόγοις ἀπαγγελεῖ τὴν ἐπίδοξον τοῦ ἅρματος νίκην τὴν εὐτυχηθεῖσαν B ἐν Δελφοῖς. | ἡ γὰρ Κρίσα τῶν Δελφῶν. 19 B

BDEGQ 15. πατρὶ τεῷ, Θρασύβουλε: ὦ τοῦ Ξενοκράτους παῖ. τοῦτον δὲ ὡς φιλοπάτορα καὶ προεστῶτα τῆς ἱππικῆς ἐπαινεῖ, οὐχ ὥς τινες ἐβουλήθησαν, ἡνίοχον. ὁ γὰρ ἡνίοχος Νικόμαχός ἐστιν, ὡς ἐκ τῶν Ἰσθμιονικῶν (II 22) δῆλός ἐστιν. 13f B

BDEGQ 16. λόγοισι θνατῶν: φανερὸν ὅτι ὁ Θρασύβουλος υἱὸς Ξενοκράτους. τὰς γὰρ Χείρωνος ὑποθήκας αὐτῷ διὰ τοῦτο λέγει, ἐπειδὴ τὰς περὶ πατέρων εὐσεβείας περιέχει. (13e med. B)

BDEGQ 19 a. σύ τοι σχέθων νιν: ὁ νοῦς· σὺ τοίνυν, Θρασύβουλε, δεξιῶς καὶ ἀληθῶς ἄγεις τὴν ἐντολὴν καὶ παραίνεσιν, ἥν ποτε ἐν τοῖς ὄρεσι μονωθέντι τῷ Ἀχιλλεῖ τὸν τῆς Φιλύρας υἱὸν Χείρωνα εἰπεῖν φασιν, ἐξαιρέτως μὲν τὸν μεγαλόφωνον

---

1 ψαμμάθοισιν B ‖ περιχεύσας GQ 3 τύπτοντες DGQ: τύπτονται b (de G falsa edoctus) 4 εἰς — 5 λόγον om. B 5 ἔχων (pr.)] τὸ ἔχων ἵν' ᾖ B 6 ὁ om. E 8 ἐπιστατεῖ — 9 πίνδαρος post sch. 16 trp. B ‖ δὴ om. B 9 ἢ οὕτως om. B ‖ ὁ δὲ νοῦς B 11 θησαυρὸς om. BE 11. 12 κοινὴν τῷ γ. σου BE: καὶ τῷ γ. σου κοινὴν DGQ 12 πολυθρυλήτοις B 13 ἀπαγγελεῖ Brub.: ἀπαγγέλει D ἀπαγγέλλει BEGQ ‖ ἅρματος E: δράματος BDGQ 15 l.] καί φησιν B ‖ τοῦ om. E 16 τοῖς ἱππικοῖς et τῆς ἱππικῆς Q 18 ὡς] ὃς B ‖ δῆλον? 19 l. et φανερὸν — 20 ξενοκράτους om. B 22 l. E: σύ τοι σχ. νῦν ἐπιδέξια B σύ τοι σχέθων DG(Q) ‖ ὁ νοῦς om. Q ‖ ὦ θρασ. B 23 καὶ ὡς ἀληθ. DGsQ 24 φιλλύρας DQ 25 φασιν om. DGQ ‖ ἐξαίρετον E, om. μὲν ‖ μεγαλόφθαλμον DGQ

καὶ ἀστραπῶν καὶ κεραυνῶν δεσπότην Δία παρὰ τοὺς ἄλλους
θεοὺς τιμᾶν καὶ σέβεσθαι, ταύτης δὲ τῆς τιμῆς τῆς πρὸς
τοὺς θεοὺς μὴ στερίσκειν τῶν γεγεννηκότων [τοὺς] τὸν εἱ-
μαρμένον βίον, [ἐφ' ὧν ζῶσι χρόνων, μετιόντας]. καὶ ἔστιν ἡ
5 ἀπόδοσις τοιαύτη· οὕτω καὶ σύ, Θρασύβουλε, περὶ τοὺς θεοὺς
καὶ τοὺς γονεῖς φυλάττεις τὴν εὐσέβειαν.

19b. ἐπιδέξια: ἐπιδεξίως. c. ⟨νιν:⟩ αὐτήν, τὴν ἐντολήν. E

22. ὀρφανιζομένῳ ἤτοι χωριζομένῳ ἢ ὀρφανῷ γονέων BDEGQ
ὄντι παρὰ τῷ Χείρωνι. τὰς δὲ Χείρωνος ὑποθήκας Ἡσιόδῳ
10 ἀνατιθέασιν, ὧν ἡ ἀρχή (fr. 170)·

εὖ νῦν μοι τάδ' ἕκαστα μετὰ φρεσὶ πευκαλίμῃσιν
φράζεσθαι· πρῶτον μέν, ὅταν [εἰς σὸν] δόμον εἰσαφίκηαι,
ἔρδειν ἱερὰ καλὰ θεοῖς αἰειγενέτῃσιν. 28b B

28a. ἐγένετο καὶ πρότερον: ἐγένετο καὶ τοπαλαιόν, BDEGQ
15 φησί, γενναῖος ὁ Ἀντίλοχος, τὸ φρόνημα τοῦτο φέρων τὸ
περὶ τοὺς πατέρας εὐσεβὲς καὶ δίκαιον, ὅστις ὁ Ἀντίλοχος
ὑπεραπώλετο τοῦ πατρὸς τὸν δεινὸν τῶν Αἰθιόπων ὑπομείνας
βασιλέα Μέμνονα. 31 B b. τοῦ δεῖν περὶ τοὺς πατέρας σπου- BDGQ
δαῖον εἶναι παράδειγμα τὸν Ἀντίλοχον παρήγαγεν. 28a B

20 31. Νεστόρεον γὰρ ἵππος ἅρμα: τὸ γὰρ δὴ τοῦ Νέ- BDEGQ
στορος ἅρμα ὁ ἵππος ἐνεπόδιζε τρωθεὶς τοῖς τοῦ Ἀλεξάνδρου
βέλεσι. μέμνηται τούτου καὶ Ὅμηρος, ἔνθα φησί (Θ 86)·

σὺν δ' ἵππους ἐτάραξε κυλινδόμενος περὶ χαλκῷ.

ὅτι δὲ ὑπὲρ τοῦ πατρὸς ἐτελεύτα ὁ Ἀντίλοχος, κεφαλαιωδέ-
25 στερον εἶπε (δ 188)·

τόν ῥ' Ἠοῦς ἔκτεινε φαεινῆς ἀγλαὸς υἱός.

---

3 τοὺς seclusi 3. 4 εἱμαρμένον Schroeder: εὐδαίμονα
4 ἐφ' ὧν — μετιόντας B (soloece): om. DEGQ; seclusi 5 ἐπί-
δοσις DGQ 8 ὀρφανιζομένῳ DE: ἄλλως· τὸ ὀρφ. B[1] τὸ δὲ ὀρφ.
B[2] ὀρφ. πηλείδᾳ GQ ‖ ἤτοι] ἀντὶ τοῦ B 10 ὧν] ᾧ? E
11—13] εὖ νύ τοι τάδ' ἕκαστα μεταλᾶ θεοῖς αἰειγενέτῃσιν B
11 νῦν (in G legi putabat) h: νυ codd. ‖ πευκαλίμοισι(ν) DG
12 εἰς σὸν del. Markscheffel ‖ σὸν] τὸν D 13 αἰειγενέτοισιν E
14 l.] ὁ δὲ νοῦς τοιοῦτος B 15 τὸ φρόνημα] ὑπεραπώ-
λετο D 16 τοὺς πατέρας DEG: τὸν πατέρα Q τοὺς γονέας B
18 l. nullum DGQ: ἐγένετο καὶ πρότερον ἀντίλοχος B
20 l. E: νεστ. γάρ DGQ om. B 21 ἐνεπόδισε Q 22 τούτου
καὶ BE: δὲ τούτου DG δὲ Q 24 ὅτι — 25 εἶπε om. D ‖ δὲ B:
καὶ EQ om. G 25 εἶπε om. Q 26 om. Q

(D)GQ 33. ὁ δ' ἔφεπεν: ὁ δὲ Μέμνων ἐπεδίωκε καὶ μεθ' ὁρμῆς διεκίνει τὸ δόρυ.

BDEGQ 35 a. Μεσσανίου δὲ γέροντος: Μεσσήνιον τὸν Νέστορά φασιν οὗτοι, ὅσοι ὑπέλαβον τὴν Πύλον τῆς Μεσσήνης εἶναι, ἀλλ' οὐχὶ τῆς κατὰ τὴν Ἀρκαδίαν Τριφυλίας. ὁ μέντοι Ὅμηρος οἶδεν ὑποτεταγμένην τῇ Λακωνικῇ τὴν Μεσσήνην. φησὶ γάρ (φ 13. 15)·

δῶρα τά οἱ ξεῖνος Λακεδαίμονι δῶκε τυχήσας·
τὼ δ' ἐν Μεσσήνῃ ξυμβλήτην ἀλλήλοιϊν.

b. ὁ δὲ νοῦς· τοῦ δὲ Μεσσηνίου γέροντος ταραχθεῖσα ἡ φρὴν ἐβόα τὸν παῖδα. c. ἄλλως· καὶ Πίνδαρος τὸν Νέστορα ἐκ τῆς Μεσσηνιακῆς Πύλου φησὶν εἶναι. τριῶν γὰρ ὄντων τῶν ἐν Πελοποννήσῳ Πύλων εἷς μέν ἐστιν ὁ περὶ τὸν Ἀλφειὸν ποταμὸν ἐν Ἤλιδι Πύλος, ὃν καὶ ὑφ' Ἡρακλέος πεπορθῆσθαί [φασιν]· ἕτερος δὲ ὁ Τριφυλιακὸς Πύλος, ἐν ᾧ ὁ Ἀμαθόεις BEGQ ποταμός· τρίτος ἐν Μεσσήνῃ περὶ τὸ Κορυφάσιον. | εἰσὶ δὲ οἵ φασι τοὺς τρεῖς Πύλους περὶ τὸ Κορυφάσιον ὑπὸ τὸν Νηλέα εἶναι· δοκεῖ δὲ τῷ Διδύμῳ ἐκ τοῦ Τριφυλιακοῦ Πύλου εἶναι τὸν Νέστορα, ἔνθα καὶ Ἀμαθόεις ἐστὶ ποταμὸς καθ' Ὅμηρον.

BDEGQ 37 a. χαμαιπετὲς δ' ἄρ' ἔπος: εὐτελές. μάταιον. 38 B b. ὁ δὲ λόγος· οὐ μάταιον δὲ τὸν λόγον ἑαυτοῦ ἔρριψεν.

3 cfr. ad sch. P. V 93. — sch. φ 13. 15. Strab. 8, p. 353.
11 Strab. 8, p. 339.

1 l. hab., schol. om. D ‖ ἐπέδωκε G 2 μετεκίνει Q 3 l. E: μεσσᾶν ἰδὲ γέροντος B μεσ(σ)ανίου DG μεσσ. δέ Q ‖ μεσήνιον DEG rec. 4 φησιν DEG[ac] ‖ ὅσον EQ ‖ μεσήνης etc. fere codd. 5 εἶναι om. B 6 τὴν λακωνικὴν τῇ μεσήνῃ DGQ rec. 8 λακεδαίμονε E 9 ἀλλήλοιν EQ 10 δὲ (alt.) om. E ‖ φρὴν] φωνὴ E 11 καὶ ὁ πίνδ. B 12 τοῦ μεσηνιακοῦ EQ(B[cp]) ‖ μεσηνικῆς πύλης DG rec. ‖ εἶναι om. B ‖ τριῶν] τῶν τριῶν DG ‖ οὐσῶν rec. (item 13 μία etc.) 13 πελοπονήσῳ EQ ‖ ἀλφειόν mirum 14 πέλος DG ‖ ὑφ'] ἀφ' E 15 φασιν om. DEGQ (cfr. rec.); seclusi ‖ δὲ om. B ‖ ὁ om. DG rec. ‖ πέλος DG 16 κορυφάσινον B 17 περὶ τὸ κορυφάσιον om. B rec. Ft. τὸν τρίτον Πύλον τὸν περὶ τὸ κ. scribend. 18 εἶναι om. B ‖ τῆς τριφυλιακῆς G 19 εἶναι om. B 21 l. BE: χαμαιπετές DGQ ‖ χαμαιπετὲς τὸ εὐτελὲς καὶ μάταιον B 22 ὁ δὲ νοῦς B ‖ ἔρριψεν] + τὸν λόγον E

ὑπομείνας γὰρ ὁ θαυμαστὸς Ἀντίλοχος ἠγόρασε τῷ μὲν ἰδίῳ θανάτῳ τὴν τοῦ πατρὸς ἀνακομιδὴν καὶ ζωήν, ἔδοξε δὲ ἐν τοῖς ἀρχαιοτέροις πρῶτος γεγονέναι. 44a B

38. θεῖος ἀνήρ: ὁ Ἀντίλοχος, ὅτι δὴ ὑπ' ὀφθαλμοῖς BDEGQ
5 ἔχων καὶ προορώμενος τὸ δεινὸν ὅμως ὑπὲρ πατρὸς μετὰ προθυμίας ἀπέθανεν.

39 a. ἐδόκησέ τε τῶν πάλαι: ἔδοξε τοῖς ἀρχαίοις πρῶ- BDEGQ τος γεγονέναι πρὸς τὸν πατέρα φιλόστοργος ἐν τοῖς ὁπλοτέροις. b. τὸ δὲ ἑξῆς· τῶν πάλαι ἔργον τελέσας πελώριον ἐν
10 τῇ γενεᾷ τῶν ὁπλοτέρων ὕπατος ἀμφὶ τοκεῦσιν ἔμμεν ἐδόκησεν. 37b B

44 a. τῶν δὲ νῦν καὶ Θρασύβουλος: τῶν δὲ ἀνθρώ- BDEGQ πων τῶν καθ' ἡμᾶς ὁ Θρασύβουλος πρὸς τὴν τοῦ πατρὸς ἑαυτοῦ στάθμην καὶ ὀρθότητα μάλιστα βαίνει, οἱονεὶ τὸν
15 πατέρα αὐτοῦ τιμᾷ. b. τὸ δὲ πάτρῳ, τῷ πρὸς πατρὸς θείῳ Θήρωνι. ἐπερχόμενος οὖν πρὸς τὴν τοῦ θείου ἀγλαΐαν, καὶ κατὰ τὸν κόσμον ἴσον ἑαυτὸν ἀπέδειξεν. c. ἢ οὕτως· ἀντὶ τοῦ πατρωϊ ποιητικῶς. τὸν γὰρ Θήρωνα λέγειν θέλει τὸν ἀδελφὸν Ξενοκράτους. d. τῶν δὲ καθ' ἡμᾶς ἀνθρώπων
20 Θρασύβουλος τὴν πρὸς τοὺς πατέρας ἑαυτοῦ στάθμην εὐθεῖαν ἔχει εὔνοιαν. πρὸς τὴν στάθμην δὲ τὰ πάντα εὐθύνεται.

47 a. νόῳ δὲ πλοῦτον ἄγει: μετὰ λογισμοῦ πλουτεῖ. BDEGQ νόῳ γὰρ ἄγει τὸν πλοῦτον· οὐχ ὑπὸ τοῦ πλούτου εἰς ἀκρασίαν τρέπεται τὸν νοῦν, ἀλλὰ λογισμῷ κατέχει τὸν πλοῦτον
25 ἐφ' ἃ δεῖ, τῆς τε ἥβης ἀπολαύει οὔτε εἰς πλημμέλειαν οὔτε εἰς ὑπεροψίαν ἀποχρώμενος αὐτῇ. 47c E

---

4 θεῖος δὲ ἀνήρ B ‖ ὅτι] ὃς B 5 πατρὸς] + καὶ E 7 l. E: ἐδόκησεν τῶν πάλαι B ἐδόκησέ τε DG [ἐ]νίκησέ τε Q ‖ ἔδοξε] ἔδοξεν οὖν B 8 φιλόστοργος] lac. Q 10. 11 ἔμμεναι δόκησεν B 12 τῶν (pr.)] τὰ D 14. 15 τὸν ἑαυτοῦ πατέρα B 15 πάτρῳ B: πατρῷαν DEGQ 16 οὖν] αὖ E ‖ ἀγλαΐαν] ἀγγελίαν Q 17 κατὰ om. DG ‖ ἑαυτὸν ἴσον B 18 πάτρωι] θείῳ, πάτρωι Beck ‖ ποιητικῶς] + λέγει B ‖ θέλει λέγειν E 19 sch. 44d ὁ δὲ νοῦς praem. B 20 τὴν — 21 εὔνοιαν sensu cassa; πρὸς τὴν τοῦ πατρὸς (et ἔννοιαν) Schroeder 21 ἔννοιαν r 22 δὲ om. B ‖ πλούτῳ E ‖ ἄγει om. D ‖ μετὰ] τουτέστι μετὰ B 23 οὐχ] τουτέστιν οὐχ B 24 τρέπεται] παρέπεται E 25 ἃ] ᾧ B[1] οὗ B[2] 26 χρώμενος B

BDEGQ 47 b. ἄδικον οὔτε: οὔτε εἰς ἄδικον οὔτε εἰς ὑπερήφανον τὴν ἑαυτοῦ ἥβην δρεπόμενος, ἀντὶ τοῦ οὐ καταχρώμενος τῇ ἑαυτοῦ νεότητι πρὸς ἀλαζονείαν. 49 E

BDEGQ 47 c. ὑπέροπλον ἥβαν δρέπων, σοφίαν δέ: δρεπόμενος δὲ τὴν σοφίαν καὶ καταδεδυκὼς εἰς τοὺς ταύτης μυχούς. ἐκ δὲ τούτου ὅτι ἄγαν σοφός ἐστι. ἀπὸ κοινοῦ δὲ τὸ δρέπων. 47b E 5

BDEGQ 49. τίν τε, Ἐλέλιχθον: σοὶ δὲ, ὦ Πόσειδον, προσέρχεται καὶ προσοικειοῦται, ὃς εὗρες ἱππείαν εἴσοδον· τουτέστιν ἱππικὰς ἁμίλλας· ὅτι ἵππιος ὁ θεός. ἡ δὲ φρὴν αὐτοῦ κατὰ τὴν πρὸς τοὺς συμπότας ὁμιλίαν γλυκειά ἐστιν, ὥστε τὰ κηρία παραλλάσσειν καὶ παραπορεύεσθαι τῇ γλυκύτητι τῶν φρενῶν· ἀντὶ τοῦ νικᾷ τὸ μέλι. 10

Scholia in Pythionicarum carmen VII.

DEG Μεγακλεῖ Ἀθηναίῳ ἵπποις Ὀλύμπια· Ἴσθμια· [Πύθια].

B Τῆς ζ' ᾠδῆς ἡ στροφὴ καὶ ἀντίστροφος κώλων ἑπτά. τὸ α' ἰαμβικὸν τρίμετρον καταληκτικόν. τὸ β' Ἰωνικὸν ἀπὸ μείζονος δίμετρον ἀκατάληκτον. τὸ γ' σύνθετον ἐκ διμέτρου βραχυκαταλήκτου ἰαμβικοῦ καὶ πενθημιμεροῦς ἰαμβικοῦ. τὸ δ' προσοδιακόν. τὸ ε' Φερεκράτειον ἀπὸ βραχειῶν ἀρξάμενον. τὸ ϛ' δίμετρον Ἰωνικὸν καταληκτικόν. τὸ ζ' δίμετρον τροχαϊκὸν ὑπερκατάληκτον. 15 20

---

1 l.] ἤτοι B 2 ἀντὶ τοῦ] τουτέστιν B 4 l. om. BD || δρέπων GQ: διέπων E || σοφίαν δέ G: σοφίαν E om. Q 6 ἐστι] + δηλοῖ B || δὲ om. E 8 l. EGQ: μάλα ἅδοντι νόῳ ποσειδᾶν προσέρχεται B ὑπέροπλον ἥβαν D 9 ὃς] οὓς B || ἱππείας εἰσόδους B 10 ὅτι ἵππιος E: ἵππιος γὰρ B ὅτι ἱππικὸς DGQ || ἡ δὲ φρὴν αὐτοῦ] τήν τε ἐλέλιχθον D 12 παραλλάσσειν καὶ] παραβαλλόμενα B || πορεύεσθαι E 13 ἀντὶ τοῦ] τουτέστι B || νικᾶν B || P. VI τέλος subscr. E 14 πύθια om. E; seclusi 15 ad col. α' „ἀλκμαινιδῶν aliâs" mg. Brub. 16 ἐπιωνικὸν dici debuisse monuit Pauw 18 βραχυκατάληκτον ἰαμβικὸν καὶ πενθημιμερὲς ἰαμβικόν B; correxi 19 βραχειῶν Pauw: βραχείας

ἡ ἐπῳδὸς κώλων ἐννέα. τὸ α΄ τροχαϊκὸν μονόμετρον **B**
ὑπερκατάληκτον. τὸ β΄ τὸ αὐτὸ ὁμοίως. τὸ γ΄ ἰαμβικὸν
δίμετρον βραχυκατάληκτον. τὸ δ΄ τὸ αὐτὸ ὁμοίως. τὸ ε΄
παιωνικὸν δίμετρον καταληκτικόν. τὸ ϛ΄ ἰαμβικὸν δίμετρον
5 *βραχυκατάληκτον. τὸ ζ΄ ὅμοιον τῷ* (Archil. fr. 94, 2) *τίς*
σὰς παρήειρε φρένας. τὸ η΄ χοριαμβικὸν δίμετρον ἀκατά-
ληκτον. τὸ θ΄ ἰαμβικὸν πενθημιμερές.

Inscr. a. *Γέγραπται Μεγακλεῖ Ἀθηναίῳ νικήσαντι τὴν* **BDEGQ**
κε΄ Πυθιάδα τεθρίππῳ. ἔστι δὲ οὗτος οὐχ ὁ τὰ Ὀλύμπια
10 *νενικηκώς, ἀλλ' ἕτερος· τὴν δὲ ἐκείνου νίκην τούτῳ προσ-*
άπτει ὁ Πίνδαρος συνήθως ἑαυτῷ. τὴν γὰρ μζ΄ ἐκεῖνος Ὀλυμ-
πιάδα ἀναγράφεται νενικηκώς· ὁ δὲ τὴν πϛ΄ ἕτερος [*δὲ*] *ἂν*
εἴη Μεγακλῆς τούτῳ ὁμώνυμος. **BDEGQ** b. *ἄλλως· γέγραπται*
μὲν ἡ ᾠδὴ Μεγακλεῖ Ἀθηναίῳ ἀναφέροντι τὸ γένος εἰς Ἀλκ-
15 *μαίωνα τὸν γενόμενον ἄγαν πλουσιώτατον. τοῦτον γάρ φα-*
σιν ἐληλυθέναι πρὸς Κροῖσον, τὸν δὲ συγχωρῆσαι αὐτῷ δια-
σκευασθῆναι ὡς βούλεται, καὶ σκευὴν ἀναλαβεῖν ὁποίαν προ-
ῃρεῖτο, καὶ εἰσελθόντα εἰς τὰ βασίλεια καὶ εἰς τὰ ταμιεῖα
ἀναλαβεῖν ὅσον βούλοιτο χρυσόν. ὑποδησάμενος οὖν κοθόρ-
20 *νους, οἵ εἰσιν ὑποδήματα Διονυσιακά, καὶ κόλπωμα ποιήσας*
ἐνεσώρευσε τῷ κολπώματι χρυσόν· ἔτι δὲ καὶ τοὺς πλοκάμους
ἐνέδησεν ὑποβαλὼν αὐτοῖς καὶ τὸ στόμα. διὰ δὲ τὸ βάρος

---

15 — 202, 4 cfr. Her. 6, 125

---

4 *παιονικὸν* **B**; corr. Beck 8 *γέγραπται*] + *ἡ ᾠδὴ* **B**
9 *κε΄*] *πβ΄* (vix *πη΄*) **B**, *ὀγδοηκοστὴν ὀγδόην* **r**. — Cfr. Wilamowitz Aristot. u. Athen II 323, Pomtow Rh. Mus. 51 (1896) p. 586
11 *ἑαυτῷ*] *αὐτῷ* **B** 12 *ἀναγέγραπται* **B** ‖ *πϛ΄* **EG** *π*[*ϛ*]*΄* **B**? *ὀγδοηκοστὴν ὀγδόην* **r** *κϛ΄* **D** *μϛ΄* **Q** *κε΄ πυθιάδα* **b** ‖ *δὲ* del. Wilamowitz 13 *ἄλλως* **DG** (**Q** legi nequit): *ἄλλως· κάλλιστον αἱ μεγαλοπόλιες* **E** om. **B** ‖ *γέγραπται* — 14 *ἀθηναίῳ* om. **B**
14 *ἀναφέρων* **B** 14. 15 *ἀλκμαίονα* etc. fere ubique **BE**
15. 16 *φησιν* **E** 18 *ταμεῖα* **Q** (**E**[ac]?) 19 *λαβεῖν* **B** rec. ‖ *χρυσίον* **EP** 19. 20 *κο . . θόρνους* **E** (lac. 2 litt.) 26 *ὑπόδημα διονυσιακὸν* **DGQ** 21 *τοῖς πλοκάμοις* **Q** 22 *ἐνέδησεν* (quod in **B** praeter *-σεν* legi nequit) corrupt. vid. ‖ *ὑποβαλὼν* — *στόμα* om. **D** (*ἐν τοῖς πλοκ. καὶ ἐν τοῖς ποσὶ καὶ ἐν τῷ στ.* rec.) ‖ *αὐτοῖς* **BEQ**[cp]: *αὐτ(οὺς)* **G**[cp] ‖ *τὸ στόμα* **BEQ**: *τῷ στόματ(ι)* **GP**

βίᾳ ἐπορεύετο· διαχυθεὶς οὖν ὁ Κροῖσος ἐπ' αὐτῷ γέλωτι, ἐπί τε τῇ ὄψει καὶ τῷ γλίσχρῳ, καὶ ἕτερον αὐτῷ προσεδωρήσατο. διά τοι τοῦτο ἐπιφανέστατος κατὰ τὴν Ἀττικὴν γεγένηται, ὡς ἄγαν ὢν πλουσιώτατος. γεγόνασι δὲ ἐξ αὐτοῦ οἳ ἐκλήθησαν Ἀλκμαιωνίδαι, οἳ καὶ κατέλυσαν τὴν τῶν Πεισι- 5
στρατιδῶν τυραννίδα. 1b BEGQ 4a D

DEGQ 1 a. *Κάλλιστον αἱ μεγαλοπόλιες· κάλλιστόν ἐστι προοίμιον τῇ εὐρυσθενεῖ γενεᾷ τῶν Ἀλκμαιωνιδῶν αἱ μεγαλοπόλιες Ἀθῆναι, καὶ θεμέλιον τῶν ᾠδῶν τοῖς ἵπποις βαλέσθαι,*
BDEGQ *καὶ ἀπὸ κοινοῦ· κάλλιστόν ἐστι προοίμιον αἱ Ἀθῆναι·* | *ἀντὶ* 10
τοῦ ἐπὶ τῇ νίκῃ κάλλιστόν ἐστιν ἐν τῷ ὕμνῳ ἐγκωμιάσαι τὸν
BEGQ *νικηφόρον ἀπὸ τῶν Ἀθηνῶν.* 3 B inscr.b DEGQ b. *ὁ λόγος· κάλλιστόν ἐστι προοίμιον τῶν Ἀλκμαιωνιδῶν αἱ Ἀθῆναι, ὥστε κρηπῖδα ὑποβαλέσθαι τοῦ ἐπαίνου τὸν ἀπὸ τῆς πατρίδος κόσμον.* 1a B 4a EGQ 15

BDEGQ 3. *εὐρυσθενῆ δὲ εἶπε τὴν γενεὰν αὐτῶν διὰ τὸ τὸν Ἀλκμαίωνα ἀνδρεῖόν τινα καὶ ἐπιφανῆ γενέσθαι· ἀφ' οὗ καὶ οἱ Ἀλκμαιωνίδαι, οἳ τὴν τῶν Πεισιστρατιδῶν τυραννίδα κατέλυσαν.* 1a DEGQ

DEGQ 4 a. *ἐπεὶ τίνα ἀκηκοέναι ἐπὶ τῇ Ἑλλάδι περιφανέστερον* 20
BDEGQ *οἶκον οἰκοῦντα εἴπω;* b. *ἄλλως· ἐπεὶ τίνα πατρίδα τίνα τε οἶκον ἐν τῇ Ἑλλάδι ἐπιφανέστερον τῶν Ἀλκμαιωνιδῶν εἰπεῖν δυνήσομαι; ἰδίως δὲ τὸ ναίων παρείληπται· ὅθεν τινὲς γράφουσι ναίοντα. ἄλλοι γράφουσιν, οἶκόν τ' ἀΐων, ὅ ἐστιν ἀκούων.* 25

DEGQ 6 a. *ναίων ὀνυμάξαι: τινὲς ἀφαιροῦσι τὸ ν̄, γράφοντες*

---

1 *ἐπ' αὐτῷ* BE: *ἐπὶ τῷ* DGQ 2 *ἕτερα* B 3 *τοῦτο*] *οὕτως* B 4 *γεγόνασι — 6 τυραννίδα* DEGQ rec.: *ἀφ' οὗ* (17) — *κατέλυσαν* (h. e. fin. sch. 3) B 5. 6 *πεισιστράτων* E 7 l. praem. *ὡς* DGQ 9 *τῆς ᾠδῆς* b 10 *καὶ* om. E 11 *καλόν* (sic et PQ) *ἐστιν ἐπὶ τῇ νίκῃ* B 12 l. nullum E: *ἄλλως* G(Q) *κάλλιστον αἱ μεγαλοπόλιες* B ‖ *ὁ λόγος* om. B 13 *προοίμιον*] + *τῇ εὐρυσθενεῖ γενεᾷ* B 18 *οἳ* (alt.) — *κατέλυσαν* hic om. B; cfr. ad 4 20 l. nullum E: *ἐπεὶ τίνα* Q *ἐπεὶ τίν' οἶκον* DG ‖ *ἐπὶ*] *ἐν* E 21 *οἰκοῦντα* del. Hartung (?) ‖ *ἄλλως* om. B 23 *δὲ* om. E 24 *ναίοντι* B ‖ *γράφουσιν* B: *γὰρ* E *δ' οὕτως* DGQ 25 *ἀκούων*] + *ἀφαιροῦντες τὸ ν̄* BP (cfr. D ad 26) 26 *ναίω* D ‖ *τινὲς*] + *καὶ* DG ‖ *ἀφαιροῦσι* DGQ (cfr. B ad 25): *ὑφαιροῦσι* E ‖ *γράφοντες — 203, 2 ὀνομάσω* om. D (cfr. B)

ἀντὶ τοῦ ναίων αἰών. ἢ τίνα οἶκον ἐπιφανέστερον τούτων
ὀνομάσω. | ἕτεροι δὲ πάλιν τὸ μὲν ν̄ αἴρουσι, τὸν δὲ τόνον BDEGQ
οὕτω προφέρονται, αἰῶν᾽· ἵν᾽ ᾖ συναλοιφὴ ἀντὶ τοῦ αἰῶνι,
οἷον τῷ αἰῶνι ὀνυμάξομαι, τῷ αἰῶνι παρακαταθήσομαι. ὁ δὲ
5 Δίδυμος ἁπλούστερον ἀκούει· αὐτὸς ἐγὼ ναίων ἐν τῇ Ἑλλάδι,
ἀντὶ τοῦ οἰκῶν, | τίνα ἐπιφανέστερον οἶκον ὀνυμάξομαι; οὐκ BEGQ
ἐξ ἀκοῆς ἀκηκοὼς, ἀλλ᾽ αὐτὸς ναίων ἐν τῇ Ἑλλάδι τίνα δυ-
ναίμην ἂν αὐτῆς ἐπιφανεστέραν ὀνομάσαι; b. τὸ δὲ ναίων BDEGQ
ἀντὶ τοῦ ναίοντα, ὡς καὶ Ὅμηρος (B 350)·
10 φημὶ γὰρ οὖν κατανεῦσαι ὑπερμενέα Κρονίωνα,
εἶτα ὑποβαίνων· ἀστράπτων ἐπιδέξια, ἀντὶ τοῦ ἀστράπτοντα.

8. πάσαισι γὰρ πολίεσιν: ἐν γὰρ πάσαις ταῖς πόλεσιν BDEGQ
ὁ λόγος καὶ ἡ φήμη ἀναστρέφει περὶ τῶν τοῦ Ἐρεχθέως πο-
λιτῶν, τουτέστι τῶν Ἀθηναίων· οἱονεὶ πᾶσα πόλις θαυμάζει
15 τὰς Ἀθήνας καὶ τὰς ἀνδραγαθίας τῆς πόλεως. 9[b] DGQ

9 a. Ἄπολλον, οἷ τεόν τε δόμον: οἵτινες οἱ Ἀλκμαιω- BDEGQ
νίδαι, ὦ Ἄπολλον, ἐν τῇ ἐξοχωτάτῃ Πυθῶνι τὸν σὸν οἶκον
θαυμαστὸν κατεσκεύασαν. 11 DGQ b. Ἄπολλον, οἷ τεόν
τε δόμον: οἱ μὲν, ὅτι διὰ τον ὕμνον καὶ τὴν νίκην ἐπιφα-
20 νέστερον ἐποίησαν τὸν τοῦ Ἀπόλλωνος νεὼν, οἱ δὲ παρὰ τὴν
ἱστορίαν. λέγεται γὰρ ὅτι τὸν Πυθικὸν νεὼν ἐμπρησθέντα,
ὥς τινές φασιν, ὑπὸ τῶν Πεισιστρατιδῶν οἱ Ἀλκμαιωνίδαι

8—10 cfr. sch. B 353

---

3 προφέρονται **BE**: προστιθέασι **DQ** προτιθέασι **G** ‖ αἰῶν᾽ **E**: αἰῶν **BG** αἰων **D** om. **Q** 4 ὀνομάξομαι **GQ** ὀνομάζομαι **D** ὀνυμάζομαι **E** 5 δίδυμος **BEP**: ἀπολλώνιος **DGQ** 6 τίνα — 8 ὀνομάσαι vix sana 6 ἐπιφανεστέραν **GQ** ‖ οἶκον ὀνυμάξομαι **B**: πάτραν ὀνυμάξομαι **E(P)** ὀνομάσαιμι πάτραν **GQ** 6. 7 οὐκ ἐξ **BE**: δι᾽ **GQ** 8 ἂν Schroeder: ἀντ᾽ ‖ ὀνομάσαι **BE**: ὀνομάξαι **GQ** 9 ἀντὶ τοῦ om. **DG** ἀντὶ om. **Q** 10 φημὶ] φησί· μὴ **E** 11 ὑποβαίνων **BE**: ὑπὸ δ᾽ **DG** δ᾽ ὑπὸ δ᾽ **Q** ‖ ἐπιδέξι᾽ **B** ‖ ἀστράπ-τοντα] + φησίν **B** 12 πολίεσιν **r**: πολίεσσιν **B** πόλεσσιν **Q** πό-λεσιν **DG** om. **E** 13 ἀναστρέφεται **PQ** 16 l. **B**: οἷ τεόν τε δόμον **E** om. **DGQ** 17 ὦ ἄπ. ἐν om. **Q** 18 l. **E**: ἄπ. οἷ **G** ἄπολλον **DQ** om. **B** 19 οἱ μὲν] φασὶ γὰρ οἱ μὲν **B** (rec.) 21 νεὼν] ναὸν **BD** rec. ‖ πρησθέντα **B** 22 τινές om. **B** ‖ πει-σιστρατῶν **B** ‖ ὑπὸ τ. πεισ. om. **b**, non recte ‖ οἱ — 204, 1 πει-σιστρατιδῶν om. **Q**

φυγαδευθέντες ὑπὸ τῶν Πεισιστρατιδῶν ὑπέσχοντο ἀνοικοδομήσειν, καὶ δεξάμενοι χρήματα καὶ συναγαγόντες δύναμιν ἐπέθεντο τοῖς Πεισιστρατίδαις, καὶ νικήσαντες μετ' εὐχαριστηρίων πλειόνων ἀνῳκοδόμησαν τῷ θεῷ τὸ τέμενος, ὡς Φιλόχορος (FHG I p. 395) ἱστορεῖ, εὐξάμενοι πρότερον τῷ θεῷ. 9a DGQ 5

BDEGQ 11. ἄγοντι δέ με: ἀντὶ τοῦ ἄγουσι δέ με καὶ προτρέπονται ἐπὶ τὸν ὕμνον, ὦ Μεγάκλεες, αἱ ὑμῶν νῖκαι καὶ τῶν προγόνων, πέντε μὲν ἐν Ἰσθμῷ γενόμεναι, μία δὲ ἐξοχωτάτη ἐν τῇ Ὀλυμπίᾳ· δύο δὲ ἐκ Δελφῶν.

BDEGQ 14. Διὸς Ὀλυμπιάς: οὐ νενίκηκεν οὗτος Ὀλύμπια, 10 ἀλλὰ ἄλλοι ὁμώνυμοι τούτου· ἕνεκα δὲ τοῦ ἀπολαμπρῦναι αὐτὸν καὶ τὴν προγονικὴν τούτῳ ἀνατίθησι νίκην.

BDEGQ 18a. χαίρω τι, τὸ δ' ἄχνυμαι: Ἀρίσταρχος, συμβεβηκέναι αὐτῷ τι σύμπτωμα περὶ τὴν νίκην ταύτην· ὅθεν καί φησι τὸ μὲν χαίρειν, τὸ δὲ ἄχνυσθαι, φθόνου τινὸς παρακειμένου τοῖς καλοῖς ἔργοις· οὕτω μέντοι γε γίνεσθαι παραμονίμους τὰς εὐτυχίας, ἐπὰν ἔχωσί τι κρᾶμα καὶ δυστυχήματος. ἔοικε δὲ τὸ περὶ τὴν Ἱπποκράτους τελευτὴν περὶ τοῦτον τὸν καιρὸν ἀπηντηκέναι, εἰς ὃν καὶ θρῆνον γράφει ὁ Πίνδαρος· DGQ ἦν δὲ ὁ Ἱπποκράτης συγγενὴς τοῦ νικηφόρου. b. ἄλλως· 20 ἐπὶ τῇ νῦν εὐτυχηθείσῃ νίκῃ χαίρω, ἄχνυμαι δὲ διὰ τὸν Ἱπποκράτην.

DEGQ 23. τὰ καὶ τά: ἀντὶ τοῦ ἀγαθὰ καὶ κακά. βεβαίαν δέ

---

1 φυγόντες E ‖ ὑπὸ τῶν πεισιστρ. EG: ὑπ' αὐτῶν B ὑπὸ τούτων D ‖ ὑπόσχοντο DQ 1. 2 ἀνοικοδομῆσαι B (rec.) 3 μετ' εὐχαριστηρίων BQ: μετὰ χαριστηρίων DEG (rec.) 4 ὡς om B 5 εὐξάμενοι — θεῷ om. B ‖ ἀξόμενοι Q 6 l.] + πέντε μὲν ἰσθμοῖ νῖκαι B ‖ ἀντὶ τοῦ om. B 6. 7 προτρέπουσιν B 8 ἐν om. DG ‖ ἰσθμοῖ B 9 τῇ om. B 10 l. om. B ‖ οὐ] ἔνιοι δέ φασιν ὅτι οὐ B ‖ οὐκ ἐνίκησεν DG 11 ἀλλ(ὰ) ἄλλοι DGQ: ἀλλ' οἱ BE ‖ τούτου DE (B^cp G^cp): τούτῳ Q 12 αὐτὸν om. Q ‖ νίκην τούτῳ ἀνατίθησι(ν) DGQ 13 l. E: χαίρω, τὸ δ' ἄχν. DGQ νέᾳ δ' εὐπραγίᾳ χαίρω τι B ‖ ἀρίσταρχός ⟨φησι⟩ Horn p. 51 15 τὸ μὲν] ἔν τινι B 16 καλῶν E 17 εὐδαιμονίας B ‖ κρᾶμα BE: κόμμα DQ κάμμα G 18 τὴν ἱππ. τελευτὴν EP: τὴν τοῦ ἱ. τ. B τὴν τελ. ἱ. Q τελ. ἱ. DG 19 ὃν] ἣν B 20 ἦν — συγγενὴς] ὡς συγγενὴν (?) D 21 χαίρω ἐπὶ τῇ νῦν εὐτ. νίκῃ DG 23 l.] om. D + φέρεσθαι G

φησι τὴν εὐδαιμονίαν εἶναι, ὅταν τῇ πολλῇ εὐπραγίᾳ παρέπηταί τι φαῦλον. τοιοῦτόν ἐστι τὸ παρ' Ὁμήρῳ (ϑ 63)·
τὸν πέρι Μοῦσ' ἐφίλησε, δίδου δ' ἀγαθόν τε κακόν τε·
| ὀφθαλμῶν μὲν ἄμερσε, δίδου δ' ἡδεῖαν ἀοιδήν. DGQ

Scholia in Pythionicarum carmen VIII.

5 Ἀριστομένει Αἰγινήτῃ παλαιστῇ νικήσαντι Πύθια. 1b DG DEQ(Q)
Τῆς ὀγδόης ᾠδῆς ἡ στροφὴ καὶ ἀντίστροφος κώλων ἐννέα. τὸ α' ὅμοιον τῷ (Arch. fr. 94, 2) τίς σὰς παρήειρε φρένας. τὸ β' τροχαϊκὸν μονόμετρον ὑπερκατάληκτον. τὸ γ' Ἰωνικὸν δίμετρον βραχυκατάληκτον. τὸ δ' χοριαμβικὸν 10 δίμετρον ὑπερκατάληκτον. ⟨τὸ ε' χοριαμβικὸν δίμετρον ὑπερκατάληκτον.⟩ τὸ ϛ' ἰαμβικὸν δίμετρον βραχυκατάληκτον. τὸ ζ' ἰαμβικὸν δίμετρον ὑπερκατάληκτον. τὸ η' ἰαμβικὸν τρίμετρον βραχυκατάληκτον. τὸ ϑ' ἰαμβικὸν δίμετρον βραχυκατάληκτον. B

15 ἡ ἐπῳδὸς κώλων ἕνδεκα. τὸ α' ἰαμβικὸν δίμετρον ὑπερκατάληκτον. τὸ β' ἰαμβικὸν τρίμετρον βραχυκατάληκτον. τὸ γ' ἰαμβικὸν πενθημιμερές. τὸ δ' περιοδικόν· ἢ λέγεται διπλοῦς τροχαῖος, ὑπερκατάληκτον. τὸ ε' Ἰωνικὸν δίμετρον ἀπὸ μείζονος βραχυκατάληκτον. τὸ ϛ' τὸ αὐτὸ ὁμοίως. τὸ B

2 sch. ϑ 63. Eust. ibid., p. 1685, 39.

1. 2 πρέπηται E[1] 2 ἐστι] + καὶ Q rec. 4 ὀφθαλμῶν G: -μῶ D -μὸν Q 5 pro inscr. sp. vac. Q ‖ πύθια E: λε' πυθιάδα G (? ε' an η' inc.) H λε' (?) ὀλυμπιάδα D 6. 7 ἐννέα B[3] (manu recentissima): ὀκτὼ B[1] 9 ἰωνικὸν Pauw: ἰαμβικὸν B ‖ δίμετρον B: τρίμετρον Pauw ‖ col. δ' et ϛ' (quod in B est ε') permut. Pauw 10 ὑπερκ. B: βραχυκ. b ‖ col. quintum addidi, *quatuor numeros seq. uno maiores feci* 11 ἰαμβικὸν] χοριαμβικὸν b ‖ βραχυκ.] ὑπερκ. b 12 ὑπερκ.] βραχυκ. Pauw 13 τρίμ. βραχ.] δίμ. ὑπερκ. Pauw 14 τὸ ϑ' περιοδικόν add. r
15 ἕνδεκα B[3]: δέκα B[1] 16 βραχυκατάληκτον] καταληκτικόν Pauw 18 τροχαῖος, ⟨δίμετρον⟩ ὑπερκατάληκτον Pauw (non male)

ζ′ ἰαμβικὸν δίμετρον βραχυκατάληκτον. τὸ η′ Γλυκώνειον. ⟨τὸ θ′ Γλυκώνειον.⟩ τὸ ι′ ἀναπαιστικὸν δίμετρον καταληκτικόν. τὸ ια′ ἰθυφαλλικόν.

BEQ Inscr. Γέγραπται ἡ ᾠδὴ Ἀριστομένει Αἰγινήτῃ παλαιστῇ νικήσαντι τὴν λε′ Πυθιάδα. 1b BQ 5

BDEGQ 1 a. ἰδίᾳ Αἰγινήταις ἦσαν στάσεις περὶ τὸν τῆς νίκης τοῦ Ἀριστομένους καιρόν· διὸ καὶ οἰκείως τὴν Ἡσυχίαν κατεύχεται, ποιητικώτατα δὲ τὴν ἡσυχίαν τῆς δικαιοσύνης ἔφη παῖδα εἶναι, ᾗ καὶ ἐκ τῶν ἐναντίων τῆς ἀδικίας τὸν θόρυβον. 3b B 3c DGQ 10

BDEGQ 1 b. Φιλόφρον Ἡσυχία: τὴν Ἡσυχίαν καταλεῖται διὰ τὸ νεωστὶ λελύσθαι τὰ Περσικά. δύναται δὲ καὶ ἁπλῶς λέγειν ὁ Πίνδαρος ὡς περὶ εὐνομουμένων τῶν Αἰγινητῶν. καὶ ἐπαινεῖ τὴν ἡσυχίαν ὡς μεγιστόπολιν· ὅπου γὰρ ἡσυχία, καὶ εἰρήνη. εἰρήνη δ' ἀνὰ γῆν κουροτρόφος (Hes. 15 O. D. 228).

BDEGQ 3 a. βουλᾶν τε καὶ πολέμων ἔχοισα κλεῖδας: οὕτω κατὰ τὸ αὐτοφυλακτικόν· ἐν ᾗ βουλαί εἰσι· πολέμων δὲ, ἵνα διακλείῃ αὐτοὺς καὶ ἀπείργῃ. 1a B b. ὁ δὲ νοῦς· ὦ Ἡσυχία φιλοφρονητικὴ καὶ μεγίστη ἐν ταῖς πόλεσιν οὖσα, τῆς Δι- 20 καιοσύνης θυγάτηρ, εἰρήνης τε καὶ πολέμων καὶ βουλευτηρίων ἔχουσα τὰς μεγάλας κλεῖς. 1a DGQ c. ὦ μεγιστόπολι:

---

2 col. nonum addidi, *duos numeros seq. uno maiores feci* ‖ ἀναπαιστικὸν] τροχαϊκὸν Pauw 3 ἰθυφαλλικόν] ἰαμβικὸν δίμ. ἀκατ. Pauw ‖ τὸ ια′ τροχ. δίμ. βραχυκ. ἰθυφαλλικόν add. Γ 4 ἡ ᾠδὴ om. E 6 sch. 1a praem. καὶ ἄλλως B ἄλλως G 8 ποιητικῶς B ποιητικώτερ(ον) Q 8. 9 ἔφη παῖδα εἶναι EQ: παῖδα εἶναι ἔφη B παῖδα εἶναι DG 9 ᾗ] ἡ BD 11 καταλεῖται BE: προκαλεῖται DGQ rec. 12 καταλελύσθαι B · 12. 13 καὶ ἁπλῶς λέγειν BE: λέγειν καὶ ἁπλῶς GQ καὶ ἁπλῶς D 14 ἐπαινεῖν rec. ‖ μεγιστόπολιν B: μέγιστον πόλ(ιν) E μεγίστην τῇ πόλει DGQ rec. 17 τε B: δὲ DEGQ ‖ ἔχουσα B?EΓ ‖ οὕτω] εἰρήνης μὲν B (cfr. sch. 4); βουλῶν scrib. vid. 18 αὐτοφυλακτικόν] φυλακτικόν B 19 αὐτοὺς] αὐτὸς Q(G^cp) ἀντὶ τοῦ D ‖ καὶ om. DE[1] ‖ ἀπείργει DE[1] 21 θυγάτηρ BE: θύγατερ G(D^cp) θυγάτρα Q ‖ καὶ βουλ. om. D 22 τὰς μεγ. om. Q ‖ ὦ μεγιστόπολ(ι) G^cp: ὦ μεγιστόπολις D μεγαλόπολι Q om. E μεγιστόπολιν δὲ ταύτην ἔφη B

ἤτοι ὅτι μεγίστας ἀποτελεῖ τὰς πόλεις ἀστασιάστους οὔσας, ἢ ὅτι αὐτὴ μέγα ἐν ταῖς πόλεσιν ἰσχύει.

4. ἔχοισα κλαῖδας: τῆς μὲν εἰρήνης κατὰ τὸ φυλακτικόν, ἐν ᾗ καὶ βουλαί εἰσιν· ἀπὸ δὲ πολέμων ἵνα διακλείῃ. DEGQ

5 5. Πυθιόνικον: ἀντὶ τοῦ παρὰ Ἀριστομένους δέχου τὴν Πυθικὴν νίκην αὐτοῦ. BDGQ

7. τὺ γὰρ τὸ μαλθακόν: σὺ γάρ, ὦ Ἡσυχία, τὸ προσηνὲς καὶ ἐπιεικὲς ἔρξαι καὶ ποιῆσαι δύνασαι. BDEGQ

9. καιρῷ σὺν ἀτρεκεῖ: τουτέστιν εὐκαίρως, ὁμοδρο-
10 μοῦντος τῷ καιρῷ τοῦ παθεῖν. τὸ γὰρ ἀτρεκεῖ ἀντὶ τοῦ ὁμοτρεκεῖ, ὡς ἄλοχος ὁμόλοχος. BDEGQ

10a. τὺ δ' ὁπόταν τις ἀμείλιχον: σὺ δὲ ὅταν τις ἀπροσηνῆ, οἱονεὶ ἰταμωτάτην ὕβριν καὶ ὀργὴν ἐνθῇ τῇ ἑαυτοῦ καρδίᾳ, τραχεῖα καὶ προσάντης τῇ τῶν δυσμενῶν καὶ
15 ἀπηνῶν ἀπαντήσασα κεφαλῇ, τὴν ἀλαζονείαν αὐτῶν ἐν ἀφανείᾳ τιθεῖς. ἔθος δὲ Πινδάρῳ ἀπὸ ἑνικοῦ εἰς πληθυντικὸν καταφέρεσθαι, ὡς κἀνταῦθα· ὅταν τις, εἶτα δυσμενέων. BDEGQ 10c B

b. ὁ δὲ νοῦς ὅλος· σύ, ὦ Ἡσυχία, τοὺς ἀλαζόνας καὶ ὑβριστὰς ἀφανίζεις καὶ ἀμαυροῖς. 15 B

20 10c. ὅταν τις ἀμείλιχον: ἐάν τις, φησί, ταραχώδης καὶ ὑβριστὴς γένηται, τοῦτο γάρ ἐστι τό, ἀμείλιχον καρδίᾳ BDEGQ

---

10 (cfr. EM 165, 27. EG 91, 43. Or. 5, 1. Zon. 339). — EM 70, 29. EG p. 98 Stef.

---

1 μεγίστους E ‖ τὰς πόλεις om. D 2 αὐτὴ E: αὕτη BDGQ 3 ἔχουσα Q ‖ κλαῖδας E: κλᾶδας G κλεῖδας DQ 4 ἀπὸ suspectum 5 l. om. B ‖ ἀντὶ τοῦ] δέχου τοίνυν, ὦ ἡσυχία B, om. q. s. δέχου 7 l. om. B 7. 8 τὸ προσηνὲς καὶ ἐπ. DGQ: τὸ ἐπ. καὶ πρ. B τὸ προσηνὲς E 9 l. et τουτέστιν om. B 10. 11 ὁμοτρεχεῖ b 11 ὡς — ὁμόλοχος om. Dr ‖ ἄλοχος] λόχος E ‖ ὁμόλοχος] ἡ ὁμόλοχος (-λεχος?) B 12 ὁππότ' ἂν B ‖ ἀμείλιχον om. DGQ ‖ ὅταν] ὁπόταν B 13 οὐ προσηνῆ E ‖ οἱονεὶ] καὶ B (rec.) ‖ ὀργὴν καὶ ὕβριν B 14. 15 καὶ ἀπηνῶν om. DGQ 15 ἀπηνῶν B: ἀγαθῶν E ‖ ὑπαντήσασα E 15. 16 ἀφανείᾳ] φαντασίᾳ E 16 τιθεῖς G: τιθείς s. -εις BDEQ 17 ὡς — δυσμενέων om. D ‖ ὡς κἀνταῦθα om. G 18 καὶ] καὶ τοὺς B 20 l. EQ et (praem. ἄλλως) DG: ἄλλως B ‖ ἀμείλιχον E: ἀμείλιχος DGQ 21 ἀμείλιχον] + καὶ DGQ

κότον ἐνελάσῃ, ὑπαντιάξασα αὐτῷ σύ, ὦ Ἡσυχία, τουτέστιν ἀπαντήσασα, τραχεῖα τῷ τῶν πολεμίων κράτει, ὅ ἐστι πολέμους ἐπιστήσασα, τιθεῖς αὐτοῦ τὴν ὕβριν ἐν ἄντλῳ, τουτέστι βαπτίζεις αὐτοῦ τὴν ὕβριν.

BDEGQ 14. ἐν ἄντλῳ: τῷ ὕδατι καὶ ἀφανείᾳ. ὡς Ὅμηρος (ο 479)· 5

ἄντλῳ δ' ἐνδούπησε πεσοῦσ' ὡς εἰναλίη κήξ. 10b B

BDEGQ 15a. τὰν οὐδὲ Πορφυρίων: ἣν οὐδὲ ὁ Πορφυρίων γίγας ᾔσθετο παρὰ τὸ καθῆκον ἐξερεθίζων· διόπερ καὶ ἀνηρέθη. b. ὁ δὲ νοῦς· ἥντινα τὴν Ἡσυχίαν ἀποστραφεὶς καὶ 10 παρὰ τὸ δέον ἐρεθίζων οὐδὲ ὁ Πορφυρίων ἔγνω· διὸ καὶ ἀπώλετο.

BDEGQ 17. κέρδος δὲ φίλτατον: ὄνησίς ἐστι τῶν διδομένων, ὅταν τις παρ' ἑκόντος λαμβάνῃ, τὸ δὲ μετὰ βίας ἀγόμενον κέρδος ἀνόνητόν ἐστι. τοῦτο δὲ εἶπεν, ὅτι Πορφυρίων ἐπε- 15 χείρει βοῦς ἀποσπάσαι Ἡρακλέος ἄκοντος αὐτοῦ.

BDEGQ 19. βία δὲ καὶ μεγάλαυχον: ἡ τοῦ σώματος ἰσχὺς τὸν μεγαλαυχήσαντα ἐπὶ τῇ ῥώμῃ σφάλλει τῷ χρόνῳ· ὑποδείγματι δὲ τῷ Τυφῶνι ἐχρήσατο καὶ τοῖς ἑξῆς.

BDEGQ 23. δμᾶθεν δὲ κεραυνῷ: πάλιν συλληπτικῶς· οὔτε γὰρ 20 ὁ Τυφὼς καὶ ὁ Πορφυρίων ἐκεραυνώθησαν καὶ ὑπὸ Ἀπόλλωνος ἐτοξεύθησαν, ἀλλ' ὁ μὲν Τυφὼς διοβλὴς γέγονεν, ὁ δὲ

---

5 Ap. soph. 33, 6. Hes. ἄντλον 20 cfr. sch. P. IV 303a. 305. 306a.

---

1 ἐνελάσει B ‖ σὺ om. DG 2 ὑπαντήσασα rec. ‖ τραχεῖα] ὦ τραχεῖα DG ‖ τῷ — 3 ἐπιστήσασα om. DGQ rec. 2. 3 πολέμους B: πολεμίους E 5 l. om. B ‖ καὶ] + τῇ B (ὡς ἐν ὕδατι τῇ ἀφανείᾳ rec.) 7 ὡς — κήξ om. D ‖ κήξ B: κῆϋξ EG κῆϊξ Q 8 l.] + μάθεν B ‖ ὁ om. E 9 τὸ om. E ‖ διόπερ — 11 ἐρεθίζων om. D 10 καὶ om. E 13 κέρδος — 14 ἀγόμενον post 16 αὐτοῦ repet. E 13 φίλτατον om. E[a] 15. 16 ἐπεχείρησεν B 16 βοῦς ἀποσπάσαι EQ rec. ἀποσπάσαι βοῦς B βοῦς ἀποσπάσασθαι DG 17 l. E: + ἔσφαλεν B βία δέ DGQ ‖ ἡ] ἡ δὲ G ‖ στόματος D[ac]?E 18 μεγαλαυχήσαντα] + φησὶν B ‖ σφάλει E ‖ χρόνῳ] χρίρῳ B 19 καὶ om. E 20 l. E: οὐδὲ μὰν βασιλεὺς γιγάντων B δμᾶθεν DGQ ‖ οὔτε] οὐδὲ rec., ft. recte 21 καὶ (alt.)] ἢ rec. 22 διοβλὴς BQ: δι' αὐτῆς D διαυλὴς G κεραυνόβλητος E

Πορφυρίων ὑπὸ Ἀπόλλωνος ἐτοξεύθη. | *ὁ δὲ τὸ τῷ ἑτέρῳ* BEGQ
συμβεβηκὸς ὡς κατ' ἀμφοτέρων ἔφη.

26 a. *Ξενάρκειον ἔδεκτο: τὸν Ἀριστομένην· ἔστι γὰρ* BDEGQ
Ξενάρκους υἱός. πρὸς ὃ τὸ χ', καὶ ὅτι Κίρραθεν εἴρηκεν, οὗ
5 *συντελεῖται ὁ ἀγὼν ὁ ἱππικὸς ὑπὸ Δελφῶν.* b. *ὁ δὲ νοῦς·*
ὅστις ὁ Ἀπόλλων εὐμενεῖ νόῳ ὑπεδέξατο ἐν Δελφοῖς ἐστεφα-
νωμένον τῇ δάφνῃ τὸν Ἀριστομένην.

29 a. *Δωριεῖ τε κώμῳ: τῷ τῶν Αἰγινητῶν ὕμνῳ· Δω-* BDEGQ
ριεῖς γὰρ ἀπὸ Ἄργους εἰς Αἴγιναν κατῴκησαν. 31 DEGQ
10 b. *Δωριεῖς γάρ, ἄποικοι ὄντες Ἀργείων.* DEGQ

30. *οὐκ ἔξω Χαρίτων ἡ Αἴγινα, οὐκ ἄχαρις.* 34 DEGQ BDEGQ

31. *ἁ δικαιόπολις: ἡ δὲ δικαιόπολις νῆσος Αἴγινα οὐκ* BDEGQ
ἐξέπεσε τῶν Χαρίτων, θίγουσα ταῖς τῶν Αἰακιδῶν ἀρε-
ταῖς. 29b DEGQ

15 34. *δόξαν ἀπ' ἀρχᾶς: ἐξ ἀρχῆς δὲ τελείαν ἔχει τὴν δό-* DEGQ
ξαν ἡ Αἴγινα καὶ οὐ νῦν μόνον.

35. *πολλοῖσι μὲν γάρ: πολλοῖς μὲν γὰρ ἀνυμνεῖται* BDEGQ
ἀγῶσι καὶ ἐν ταῖς ὀξείαις μάχαις γενναίους καὶ πολεμικοὺς
ἀγαγοῦσα ἥρωας, διαπρέπει δὲ καὶ ἐν ἀνδράσιν εὐβουλίας ἕνε-
20 *κεν καὶ γνώμης.* 40b B

40 a. *εἰμὶ δ' ἄσχολος ἀναθέμεν: ἀντὶ τοῦ, οὐκ εὐ-* BDEGQ
καιρῶ πᾶσαν αὐτῆς τὴν ἀρετὴν ἐμπεριλαβεῖν τῷ ὕμνῳ. δεῖ
γάρ με τὸν νικηφόρον ἐπαινεῖν, εὐλαβοῦμαι δὲ μὴ προσκορὴς
φανῶ. 43 B b. *ἄλλως· εἰμὶ δ' ἄσχολος: ἐν ἀσχολίᾳ, φη-*
25 *σίν, εἰμὶ καὶ οὐκ εὐκαιρῶ, ὥστε πᾶσαν τὴν τῆς Αἰγίνης μα-*

---

3 l. E: *ξενάρκειον* DGQ *ὃς εὐ[μενεῖ νόῳ]* *ξεν.* Br ‖ *τὸν*] *τοὺς* E ‖ *ἀριστομένην*] + *φησὶν* B (rec.) 4 *πρὸς ὃ τὸ χ'* b: *πρὸς οὓς ὁ χ'* DEGQ om. B ‖ *εἴρηται* B 5 *ὁ ὑπὸ δ. ἱππ.* DG *ὑπὸ δ. ὁ ἱππ.* Q 6 *ὁ* om. E ‖ *εὐσθενεῖ* DGQ 8 *κώμῳ*] + *ἀντὶ τοῦ* B 10 *γὰρ* E: *δὲ* DGQ ‖ *ὄντες* E: *εἰσὶν* DGQ 11 l. nullum BE: *τὸ δὲ χαρίτων ἐκάς. ἤγουν* DGQ ‖ *ἔξω*] + *δὲ* B ‖ *χάριτος* B ‖ *οὐκ ἄχαρις* om. D 12 l. om. B 13 *χαρίτων*] + *φησὶ* B ‖ *θί-γουσα* omnes 15 l. om. D 17 l. E: + *ἀείδεται* B *πολλοῖσι μέν* DGQ ‖ *γὰρ* (alt.)] + *φησὶν* B 21 l. E: *εἰμὶ δ' ἄσχολος* DGQ om. B ‖ *ἀντὶ τοῦ*] *οἱ δὲ οὕτως* B 22 *αὐτοῦ* GQ(D^cp) ‖ *ἐμ-περιλαβεῖν* E: *ἐμπεριβαλεῖν* B *περιλαβεῖν* DGQ 23 *δὲ*] *τε* E 24 *φανῶ*] *ὀφθῇ ὁ λόγος μου* B ‖ *ἄλλως* om. B ‖ l. om. DG

κρηγορίαν ἀναθεῖναι τῇ λύρᾳ καὶ τῷ ἡδεῖ φθέγματι, οἱονεὶ τῇ ᾠδῇ. c. οὐκ ἔστι καιρὸς τὰ ἐγκώμια τῆς Αἰγίνης καὶ
DEGQ τῶν Αἰακιδῶν λέγειν, μή τις φθόνος βλάψῃ με. 40a B d. οἱ δέ, μὴ προσκορὴς ὀφθῶ.

BDEGQ 43 a. μὴ κόρος ἐλθών: ὑπερθέμενος, φησί, τὸ παρεκ- 5 βάσει περὶ Αἰγίνης τι εἰπεῖν, μὴ κόρος ἐπιδράμῃ μου τοῖς ποιήμασι, ὃ νῦν ἐξείληφα ἔργον, τὸ ἐν ποσί μου τρέχον, τουτέστι τὸ πρόσφατον· τί δέ ἐστι τοῦτο; ἡ νίκη· ταύτην ὑμνήσω. 44b DGQ 46a B

BDEGQ 44 a. τὸ δ' ἐν ποσί μοι: τὸ νῦν παρὰ ποσί μου ὄφλημα, 10 τοῦτο νῦν τρέχον καὶ μετὰ σπουδῆς παραγινέσθω ταχὺ παρὰ
DEGQ τῇ ἐμῇ γνώμῃ. 46b B 46a DGQ b. τὸ τρέχον ὡς ἐπὶ σταδίου τῇ μεταφορᾷ κέχρηται. 44a DGQ

BDEGQ 46 a. ἐμᾷ ποτανόν: ἢ πετόμενον, ἐπεὶ τὰ ποιήματα εἰς πᾶσαν διϊκνεῖται πόλιν, ἢ μετέωρον. 44a B b. ἢ οὕτω· τὸ 15 πρᾶγμα πτηνὸν καὶ τὸ χρέος γινέσθω, τουτέστι τὸ ποίημα ταῖς ἐμαῖς τέχναις, ὥστε καὶ διαπόντιον δύνασθαι εἶναι.
DGQ c. νεώτατον καλῶν: πρόσφατον· ὑπόγυος γὰρ ἡ νίκη. 48b B

BDEGQ 48 a. παλαισμάτεσσι γάρ: τοῖς γὰρ παλαίσμασι τοὺς πρὸς μητρός σου θείους μεταδιώκων καὶ ζηλῶν οὔτε τὸν 20 Ὀλυμπίᾳ Θεόγνητον νικήσαντα καταισχύνεις οὔτε τὴν Κλειτομάχου ἐν Ἰσθμοῖ νίκην, καὶ ἀπὸ κοινοῦ τὸ κατελέγχεις. 53a B

---

1. 2 οἱονεὶ τῇ ᾠδῇ om. DGQ 2 sch. 40c praem. ἢ οὕτως B ἀντὶ τοῦ DGQ 3 αἰακιδῶν] + μακρηγορίαν ἀναθεῖναι τῷ λόγῳ ἤτοι DG ‖ φθόγγος DGQ 3. 4. οἱ δὲ E: ἤγουν DGQ 4 ὀφθῶ] φανῶ Q 5 l.] + κνίσῃ B ‖ ὑπερεθέμην B ‖ τὸ] τῇ DE 6 τι om. B ‖ μου] μοι r 6. 7 τοῖς ποιήμασιν DEGQ: τῇ ποιήσ τοῖς ποιήμα[σιν] ὃ [νῦν] ἐξείληφα ἔργον οὕτ(ω) φη(σιν) τουτέστι [τὸ πρ]όσ[φατ]ον, sed delet. τῇ ποιήσ et ὃ — τουτέστι, B 7 ἐν ποσί μου] ἐμπόδιμος E ‖ μου] μοι B 8 ταύτην BE: καὶ ταύτην DGQ 10 l. E: ἢ οὕτως B ἄλλως GQ om. D ‖ post l. add. ὁ νοῦς E ‖ μου] μοι B 12 sch. 44b l. nullum E: τὸ δ(ὲ) ἐν ποσί μου DGQ ‖ ὡς om. Q 13 τῆς μεταφορᾶς Q 14 l. om. B ‖ ἢ DGQ: τὸ E ποτανὸν δέ φησιν ἀντὶ τοῦ B ‖ πετώμενον B[ac]? Er ‖ εἰς om. DG 15 ἢ οὕτω om. B 16 πρᾶγμα] + γὰρ B 17 εἶναι BDG: ἰέναι EQ 18 ὑπόγυος scripsi: ὑπέγγυος 19 l.] + ἰχνεύων Q ὁ δὲ νοῦς B ‖ γὰρ (alt.) om. DE (rec.) 22 καὶ om. B

b. ὁ δὲ Κλειτόμαχος καὶ Θεόγνητος θεῖοι τοῦ νικηφόρου· Ὀλυμπιονίκης δὲ ὁ Θεόγνητος, ὁ δὲ Κλειτόμαχος Ἰσθμιονίκης. φησὶ δὲ αὐτὸν μὴ κατελέγχειν τοὺς τῆς μητρὸς ἀδελφούς, ἀλλὰ κατ' ἴχνη τούτων βαίνειν. 48ᵃ B

5 53 a. *αὔξων δὲ πάτραν Μιδυλιδᾶν λόγον φέρεις*: BDEGQ φατρία ἐν Αἰγίνῃ Μιδυλιδῶν ἀπὸ Μιδύλου προγόνου ἐπιδόξου γεγονότος. αὐτὸς δ' ἐν ἄλλοις (fr. 190)· ἁ Μιδύλου δ' αὐτῷ γέννα, φησί. μαρτυρεῖ δὲ καὶ Ὅμηρος (*N* 354)·

ἦ μὰν ἀμφοτέροισιν ὁμὸν γένος ἠδ' ἴα πάτρη,

10 ἀντὶ τοῦ φατρία. τῷ οὖν σῷ γένει τοῖς Μιδυλίδαις δόξαν προσέθηκας. b. ὁ δὲ νοῦς· τῶν δὲ Μιδυλιδῶν τὴν φατρίαν αὔξων τὸν λόγον φέρεις ἐκεῖνον, ὃν εἶπέ ποτε Ἀμφιάραος, ἡνίκα ἐθεάσατο ἐν ταῖς ἑπταπύλοις Θήβαις παραμένοντας τοὺς υἱοὺς τῶν ἑπτὰ ἐπὶ Θήβας, | ὅτε ἀπὸ τοῦ Ἄργους τὴν BEGQ
15 δευτέραν ἐπάνοδον ἐπανῆλθον οἱ Ἐπίγονοι.

55. *τὸν ὅνπέρ ποτ' Οἰκλέος*: τοῦτον, φησί, τὸν λό- BDEGQ γον φέρεις, ὦ Ἀριστόμενες, ὃν εἶπεν ὁ Ἀμφιάραος ἰδὼν θαρσαλέως πολεμοῦντας τοὺς Ἐπιγόνους κατὰ τῶν Θηβαίων. τί δὲ εἶπε; φυᾷ τὸ γενναῖον ἐπιπρέπει· ὅτι σῴζουσι τὴν τῶν
20 γονέων ἀρετήν. καὶ σὺ δέ, φησί, τοὺς μήτρωας ζηλοῖς τῇ ἀθλήσει. 61 B

57 a. *ἠνίξατο*: ἀντὶ τοῦ ἀπεφθέγξατο· οὐ γὰρ αἰνιγματωδῶς εἶπε. καὶ παρ' Ὁμήρῳ (*N* 374)· BDEGQ

---

1 l. nullum E: παλαισμάταισι γὰρ ἰχνεύων B οὐδὲ κλειτομάχοιο DGQ ‖ ὁ δὲ — θεόγνητος E: ὁ κ. καὶ (ὁ) θ. DGQ θ. καὶ κλ. B 2 δὲ (pr.) BE: μὲν DGQ ‖ ὁ κλ. δὲ B 3 μὴ κατελ. δέ φ. αὐτὸν DGQ 5 l. BE: αὔξων δὲ πάτραν DGQ 6 φατρία] + δ' E ‖ μιδύλου] μιδυλίδου B 7 αὐτὸς — 8 φησί om. B 7 ἁ μιδύλου] ἀμιδύλλου D 8 αὐτὸν Q^ac ‖ φησί om. E ‖ δὲ καὶ DGQ: δ' E om. B 9 ἦ μὰν] ἡμῖν E ‖ ὁμὸν] ὁ μὲν D ‖ ἠδ' ἴα] δία E ἡ δ' ἴα D 10 πατριά sch. *N* 354, al. 11 ὁ δὲ νοῦς] + οὕτω B ‖ φάτρην Q 12 ὁ ἀμφ. DGQ rec. 14 θήβαις B rec. ‖ ὅτε] ὁπότε B ‖ τοῦ] τοὺς E 16 l. E: τὸν ὅνπέρ ποτε DGQ ἢ οὕτως B 17 εἶπεν] εἶπέ ποτε D 19 τὸ] γὰρ E 20 τοὺς] μὴ τ E ‖ μήτρωας B μητρώας E: μητραδέλφους DGQ rec. 22 l.] ἰδὼν υἱοὺς θηβαίων ἠνίξατο B 23 εἶπε — ὁμήρῳ BE: εἶπεν ὅμηρος DGQ

Ὀθρυνεῦ, πέρι δή σε βροτῶν αἰνίζομ' ἁπάντων.
b. πῶς δὲ ταῦτα ὁ Ἀμφιάραός φησιν; εἰ μὴ ὅτε ζῶν κατεπόθη, κατά τινα θείαν ἐπίνοιαν προσδιελέγετο τοῖς Ἐπι-
DGQ γόνοις. 63b B c. ἄλλως· ἠνίξατο ἐπήνεσεν εἶπε παρὰ τὸν αἶνον. 5
BDEGQ 61. ὧδ' εἶπεν: ὁ δὲ Ἀμφιάραος τῶν Ἐπιγόνων μαχομένων εἶπε· τῇ φύσει τὸ συγγενὲς ἐκ πατέρων προθύμημα τοῖς παισὶν ἐπιπρέπει. Ὅμηρος (Ε 253)·
οὐ γάρ μοι γενναῖον ἀλυσκάζοντι μάχεσθαι,
τουτέστι συγγενικόν. 57a B 64 DGQ 10
DEGQ 63 a. ἐκ πατέρων παισί: τοῖς ἐπιγόνοις ἐπιπρέπει τὸ
BDEGQ ἐκ πατέρων. b. πῶς ὅτι θεάομαι σαφὲς δράκοντα; ὡς τοῦ
DEG Ἀλκμαίονος ἔχοντος ἐπὶ τῆς ἀσπίδος ἐπίσημον δράκοντα, | ὅτι ἐπιτήδειον πρὸς οἰωνοὺς τὸ ζῷον καὶ καταδῦνον εἰς τὰς ὀπὰς τῆς γῆς, κατέδυ δὲ καὶ ὁ Ἀμφιάραος, ὁ δὲ παῖς ση- 15 μεῖον τῆς τοῦ πατρὸς ἔσῳζε τέχνης. 66 DGQ
BDEGQ 64. λῆμα. θεάομαι σαφές: θεωρῶ γάρ, φησί, σαφῶς ἐν ταῖς Θήβαις τὸν Ἀλκμαίονα, ποικίλον δράκοντα ἐπὶ τῆς καταπληκτικῆς ἀσπίδος διακινοῦντα.
DEGQ 65 a. δράκοντα ποικίλον αἰθᾶς: τῆς λαμπρᾶς, παρὰ 20 τὸ αἴθειν. b. ἀντὶ τοῦ θεωρῶ τὸν Ἀλκμᾶνα διακινοῦντα ἐπὶ τῇ ἀσπίδι ἐπίσημον δράκοντα. 63 DGQ

---

1 Ap. soph. 14, 29. Hes. αἰνίζομαι. EM 36, 12. Phot. p. 56, 25 R. 8 sch. E 253. Ap. soph. 54, 17. Hes. γενναῖον.

---

1 ὀθρυνεῦ om. DEGQ ‖ αἰνίζομ' B: αἰνίξομ' DEGQ 2 φησιν ὁ ἀμφ. B ‖ εἰ om. D ‖ μὴ] + ἄρα E ‖ ὅτε scripsi: ὅτι DEGQ ὅτι ὅπου B 3 ἐπίν. θείαν EQ ‖ ἐπίπνοιαν cj. h probabiliter ‖ προσδιελέγετο om. Q 6 l. DG: ὧδε δ' εἶπεν Q ὅδε δ' εἶπε μαχομένων E ἢ οὕτως B ‖ ὁ δὲ — 7 εἶπε om. BD 8 ἐπιπρέπει BG: ἐπιτρέπει (D)EQ 9 ἀλισκάζοντι DEQ 11 ἐπιπρέπει G: ἐπιτρέπει 12 ἐκ] + τῶν E ‖ πῶς ὅτι om. B ‖ θέομαι E φάομαι Q ‖ ὡς] τοῦτό φησιν ὡς B 13 ἀλκμαίονος EG: ἀλκμᾶνος BDQ 15 κατέδυ E: καὶ κατέδυ DG 17 l. E (sed θέομαι): λῆμα θεάομαι DG om. B et (lac. rel.) Q 18 ἀλκμαίονα (D)EG: ἀλκμάονα B ἀλκμᾶνα Q ‖ ποικίλον] ἐπίσημον ποικίλον B (cfr. sch. 65b) 19 διακονοῦντα E 20 l. E: δρ. ποικ. DG δρ. αἰθᾶς Q 21 διακινοῦντα] διώκοντα οὖν E

66 a. *Ἀλκμᾶν' ἐπ' ἀσπίδος*: διατί ὁ Ἀλκμαίων εἶχεν BDEGQ
ἐπὶ τῆς ἀσπίδος δράκοντα; ὅτι ἐπιτήδειον πρὸς οἰωνοὺς τὸ
ζῷον, μάντις δὲ καὶ ὁ Ἀμφιάραος· ὁ δὲ παῖς σημεῖον τῆς τοῦ
πατρὸς ἔσῳζε τέχνης. b. ἐπεὶ γηγενὲς τὸ ζῷον καὶ κατα- DEGQ
5 δύον εἰς τὰς ὀπὰς τῆς γῆς, κατέδυ δὲ καὶ ὁ Ἀμφιάραος.
c. ἢ καθὸ ἦν ἀπὸ Μελάμποδος. ἱστοροῦσι δὲ δύο δράκοντας BDEGQ
διαλεῖξαι τὰς ἀκοὰς τοῦ Μελάμποδος καὶ διατρῆσαι πρὸς
ἀλλήλας· διὸ καὶ δοκεῖ αἰσθάνεσθαι τῆς τῶν ἀλόγων ζῴων
φωνῆς.

10 68 a. *ὁ δὲ καμὼν προτέρᾳ πάθᾳ*: ὁ δὲ τῷ προτέρῳ BDEGQ
πάθει καμὼν καὶ τὸν στρατὸν ἀπολέσας Ἄδραστος νῦν κρείσ-
σονος οἰωνοῦ ἐνέχεται ἀγγελίᾳ· νικήσει γὰρ τῇ μάχῃ, τὸ δὲ
κατὰ τὸν ἴδιον οἶκον ἐναντίως πράξει. πρότερον μὲν γὰρ
ἐσώθη μόνος, κατὰ δὲ τὴν δευτέραν στρατείαν πάντων σω-
15 θέντων, αὐτὸς μόνος τὸν υἱὸν ἀπέβαλεν Αἰγιαλέα, ὥς φησιν
Ἑλλάνικος (FHG I p. 47) λέγων ἐν Γλίσαντι τὴν συμβολὴν γε-
γενῆσθαι. b. ἢ οὕτως· ὁ δὲ καμὼν Ἄδραστος τῇ προτέρᾳ
συμφορᾷ, νῦν βελτίονος ἔχεται τύχης, τῇ τοῦ ὄρνιθος ἀγγελίᾳ
καὶ κληδόνι. οἰωνιστὴς γὰρ ὁ Ἀμφιάραος.

20 71. *τὸ δὲ οἴκοθεν ἀντία πράξει*: ἐναντίως τοῖς πᾶσι DEGQ
τὰ κατὰ τὸν οἶκον πράξει· μόνος γὰρ τὸν παῖδα ἀπολέσει.
| ἐν γὰρ τῇ πρώτῃ στρατείᾳ οἱ μὲν ἄλλοι ἓξ στρατηγοὶ ἀπώ- BDEGQ
λοντο, ἐν δὲ τῇ δευτέρᾳ, ὅτε οἱ Ἐπίγονοι, μόνος ὁ Ἀδράστου

---

6 sch. λ 290. Eust. 1685, 25. Apollod. I 9, 11, 3.

---

1 l. om. **BQ** ‖ διατί — 2 δράκοντα om. **Q** ‖ διατί] + δὲ **B** ‖ ἀλκμάων **B** 3 ζῷον] + καὶ καταδῦνον εἰς τὰς ὀπὰς τῆς γῆς **B** (cfr. sch. 63 b, 66 b) ‖ ἀμφιάραος] + καὶ κατέδυ καὶ αὐτὸς ὑπὸ γῆν **B** (cfr. sch. 63 b, 66 b) 7 καταλεῖξαι **E** 7. 8 πρὸς ἀλλήλας **E** πρὸς ἄλλη(α) **B**: om. **DGQ** rec. 8 ἀλλόγων **Γ** ἀλό-γων Brub.: ἄλλων codd., rec. 10 l. **BE**: ὁ δὲ καμών **DGQ** 11 πάθει **BE**: πολέμῳ **DGQ** 12 οἰωνὸς **E** 12. 13 τὸ δὲ κατὰ **BE**: κατὰ δὲ **DGQ** 15 τὸν υἱὸν om. **DG** ‖ ἀπέβαλεν **BE**: ἀπώ-λεσεν **DGQ** (rec.) 16 συμβολὴν **B**: συμβουλὴν 19 καὶ κλη-δόνι **BE**: om. **DGQ** ‖ οἰωνιστὴς γὰρ **BE**: μάντις γὰρ καὶ οἰωνι-στὴς **DGQ** 20 l. **E**: τὸ δὲ οἴκοθεν **DGQ** 21 τὸν om. **G** 23 ἐπίγονοι **BE**: ἀπόγονοι **DGQ**

παῖς Αἰγιαλεὺς ἀπώλετο. οὕτω καὶ ἐξ αὐτοῦ φασιν Ἀδράστειαν κληθῆναι τὴν Νέμεσιν.

BDEGQ 73. μόνος γὰρ ἐκ Δαναῶν: μόνος γὰρ τῶν Ἑλλήνων τοῦ Θηβαίου στρατοῦ τελευτήσαντος τοῦ υἱοῦ τὰ ὀστᾶ συναγαγὼν καὶ συλλέξας ἀφίξεται εἰς τὸ Ἄργος σὺν τῷ στρατο- 5 πέδῳ ἀβλαβεῖ καὶ περισωθέντι.

BDEGQ 77 a. ἰστέον ὅτι Ἄβας ὁ Λυγκέως ᾤκησε τὸ Ἄργος, εἶτα μετέστη εἰς Εὔβοιαν. ὅτι δὲ Λυγκέως Ἄβας, ἐξ ἐκείνου δῆλον (trag. fr. adesp. 454)·

> σφαγὰς δὲ Δαναοῦ παρθένων Λυγκεὺς φυγὼν 10
> Ἄβαντα φύει διάδοχον τυραννίδος.

DGQ b. ἄλλως· Ἄβας πατὴρ Ταλαοῦ, ἐξ οὗ ὁ Ἄδραστος.

BDEGQ 78 a. τοιαῦτα μὲν ἐφθέγξατ' Ἀμφίαρηος: ὡς ἀπὸ τοῦ χοροῦ τὸ πρόσωπον μιμουμένου τοῦ νενικηκότος. ταῦτα δὲ εἴρηκεν ὡς ὑπάρχοντος ἡρῴου καὶ γειτνιῶντος τῇ τοῦ νι- 15 κηφόρου οἰκίᾳ, προσυποτίθεται δὲ ὅτι καὶ ὑπήντησε πορευομένῳ εἰς τὸν ἀγῶνα καὶ τῆς μαντείας ἐφήψατο καὶ αὐτὸς ὢν μάντις. ἐμφαίνει δὲ διὰ τούτων, ὅτι ἐγεγόνει τις μαντεία περὶ τῆς νίκης αὐτοῦ. b. ἄλλως· ἐφηδόμενος δὲ καὶ αὐτὸς τὸν Ἀλκμάονα στεφανῶ τῇ ᾠδῇ, ὅτι δή μοι ὁ τούτου πατὴρ 20 Ἀμφιάραος γείτων ἐστὶ καὶ φύλαξ τῶν ἐμῶν κτημάτων, καὶ ὅτι ἀπιόντι εἰς τὸν τῆς γῆς ὀμφαλόν, τουτέστιν εἰς τὴν Πυθῶνα, ἀπήντησε καὶ τῶν μαντευμάτων ἐφήψατο τοῖς συγγεννηθεῖσιν αὐτῷ τυχὸν [δὲ λέγει συγγόνοις τέχναις].

---

1 Suid. Phot. (p. 33, 16 R.) Ἀδράστεια. Eust. Il. B 828, p. 355, 30.

---

1 φασιν] φησιν B?E 1. 2. ἀνδράστειαν E 3 l. om. E 7 sch. 77 l. ἄβαντος praem. DG ‖ ἰστέον EGQ ἰστέον δὲ D: ἄβαντος δὲ ἀγυίας τὸ ἄργος φησὶν B ‖ λυγκέως] + πατὴρ ταλαοῦ ἐξ οὗ ὁ ἄδραστος B (cf. sch. 77 b) 8 λιγγέως ἄβω E 10 σφαγ(ὰς) DG ‖ παρθένον Q ‖ λυγγεὺς EQ 13 l. E: τοιαῦτα μὲν ἐφθέγξατο GQ τοιαῦτα μέν D χαίρων δὲ καὶ αὐτός B 14 τὸ om. E 15 ἥρωος B 17 εἰς] + τὴν μαντείαν DEGQ 18 διὰ om. E 19 ἐφηδόμενοι E 20 ἀλκμάονα B ἀλκμάωνα E: ἀλκμᾶνα DGQ 22 ἀπιόντι] lac. Q ‖ τὴν BE: τὸν DGQ 23. 24 συγγενηθεῖσιν DE 24 τυχὸν δὲ λέγει συγγόνοις τέχναις B: τυχόν DGQ τέχναις E. Scrib. vid. ταῖς συγγεννηθείσαις αὐτῷ τέχναις, del. δὲ — τέχναις

82. *γείτων ὅτι μοι*: τῇ Ἀριστομένους οἰκίᾳ παρίδρυτο **BDEGQ**
Ἀλκμάονος ἡρῷον, ἴσως δὲ καὶ τῇ αὐτοῦ μαντείᾳ χρησάμενος
ἐπὶ τὸν ἀγῶνα ἐπορεύθη καὶ ἐνίκησεν.

83 a. *κτεάνων φύλαξ ἐμῶν*: ἐπεὶ οἱ ἀπὸ τοῦ χοροῦ **DEGQ**
5 Αἰγινῆταί εἰσιν. b. ἐπεὶ ἐκ προγόνων ἦν μάντις, διὰ τοῦτο **DGQ**
εἶπε συγγόνοισι.

88. *τὺ δ' ἑκαταβόλε*: σὺ δέ, ὦ Ἄπολλον, τὸν πάντας **BDEGQ**
δεχόμενον ἐν τῷ Πυθῶνι νεὼν εὐδόξως διανέμων τοῦτο μὲν
τὸ μέγιστον κλέος τῆς νίκης αὐτόθι ἐν τῷ Πυθῶνι παρέσχες,
10 ἐν Αἰγίνῃ δὲ πρὸ τοῦ ἐνίκησε τὰ Δελφίνια Ἀπόλλωνος ἀγῶνα.

91. *τόθι χαρμάτων*: ὡς τοῦ Ἀριστομένους, πρὶν λα- **BDEGQ**
βεῖν τὰ Πύθια, νενικηκότος ἐν οἴκῳ, τουτέστιν ἐν Αἰγίνῃ
ἀγῶνα ἱερὸν Ἀπόλλωνος πένταθλον. ἄγεται δὲ ἐν Αἰγίνῃ
Δελφίνια Ἀπόλλωνι.

15 94. *σὺν ἑορταῖς ὑμαῖς*: ταῖς σαῖς, καὶ πλεονάζει τούτῳ **BDEGQ**
ὁ Πίνδαρος. τιμᾶται δὲ σφόδρα ἐν Αἰγίνῃ Ἀπόλλων καὶ
Ἄρτεμις.

95 a. *ἑκόντι δ' εὔχομαι νόῳ*: σοὶ δέ, ὦ Ἄπολλον, εὔ- **BDEGQ**
χομαι ἐφορᾶν σε ἕκαστον τῶν ποιημάτων, ὅσα κατά τινα ἁρ-
20 μονίαν ἐπέρχομαι καὶ γράφω. b. ἄλλως· ἤτοι διαβεβαιοῦμαι,
ἢ εὔχομαί σοι, ὦ Ἄπολλον, καθ' ἁρ|μονίαν πρὸς πάντα ἔρχε- **BDEQ**
σθαι πράγματα, οἷον πρὸς μηδὲν πλημμελῶς ἔρχεσθαι.

99 a. *κώμῳ μὲν ἀδυμελεῖ*: τῷ μὲν χορῷ ἡμῶν δικαιο- **BEQ**
σύνη παρέστηκε, τουτέστιν οὐ ψευδόμεθα οἷς λέγομεν περὶ
25 τοῦ Ἀριστομένους. b. ἢ οὕτως· δικαίως κωμάζεται ὁ Ἀρι-
στομένης καὶ ἐπιτηδείως· ἀγαθὸς γάρ ἐστι. τὴν δὲ τῶν μετὰ

---

1 l.] *ἄλλως* **B** 2 *μαντείᾳ*] lac. **Q** 4 l. **E**: *κτεάνων φύλαξ* **DGQ** 6 *συγγόνοισι*] + *τέχναις* **Q** 7 *ἑκατηβόλε* **D** 8 *τῷ*] *τῇ* **E** ‖ *μὲν* **B**: *μου* **E** *μοι* **DGQ** 9 *μέγιστον κλέος* **EQ**: *κλέος μέγ.* **D** *κλ. τὸ μέγ.* **G** *κλέος* **B** ‖ *αὐτόθι*] *τόθι* **E** ‖ *τῷ*] *τῇ* **E** (**B**cp?) ‖ *πυθῶ* **E** 10 *πρὸ τοῦ* **E**: *πρὸ τούτ(ων)* **B** *τὸ πρὶν* **DGQ** 11 l. et *ὡς τοῦ ἀρ.* om. **B** ‖ *πρὶν*] + *γὰρ* **B** 12 *νενίκηκεν* **B** 15 l.] *τὸ δὲ ὑμαῖς ἀντὶ* **B** ‖ *τοῦτο* **DG** 18 *νόῳ* om. **DGQ** 19 *εὐφορᾶν* **E** 20 *ἄλλως*] *καὶ ἄλλως* **B** ‖ *ἤτοι* — 21 *ἢ* om. **DGQ** 21 *ἢ* **E**: *καὶ* **B** ‖ in *ἁρ-* def. f. 114v **G**; 115r inc. ab *εἰ γὰρ* sch. 103 22 *πρὸς μηδὲν πλημμελῶς*] *προμηθῶς καὶ ἐπιμελῶς* **Q** 23 l.] + *δίκα παρέστακε* **E** 25 *ἢ οὕτως* **EQ**: *ἤτοι* **B** 26 *τῶν* om. **E**

ταῦτα ἐπιστροφὴν παρὰ τῶν θεῶν εὔχομαι ἀνεπίφθονον ἐπὶ ταῖς ὑμετέραις τύχαις γενέσθαι. ὁ δὲ Ξενάρκης πατὴρ τοῦ νικηφόρου.

BDEGQ 103 a. *εἰ γάρ τις ἐσλὰ πέπαται*: εἰ γάρ τις, φησίν, ἀγαθὰ κέκτηται μὴ σὺν πολλῷ πόνῳ ἀλλὰ ῥᾳδίως, τοῖς πολλοῖς τῶν ἀνθρώπων δοκεῖ σοφὸς ὢν ἐν ἄφροσι τὸν ἑαυτοῦ βίον κορύσσειν, τουτέστιν αὔξειν, ταῖς ὀρθοβούλοις ἑαυτοῦ ἐπιτεχνήσεσιν. b. ἢ οὕτως· εἴ τις ἄνευ πόνου ἀγαθόν τι περιεκτήσατο, τοῦτον οἱ πολλοὶ τῶν ἀφρόνων δοκοῦσι σοφὸν

BEGQ εἶναι, | καὶ τοῦτο ἐκ τῆς σοφίας δοκεῖ οὕτω περιπεποιῆσθαι. ἐγὼ δέ φημι τοῦτο ἐν θεῷ εἶναι, καὶ ἔστι τὸ δαιμόνιον αἴτιον τῆς κτήσεως. c. *πέπαται* δέ, ἀντὶ τοῦ κέκτηται. καὶ Ὅμηρος (Δ 433)· πολυπάμμονος ἀνδρὸς ἐν αὐλῇ, ἀντὶ τοῦ πλουσίου.

BDEGQ 107. *τὰ δ' οὐκ ἐπ' ἀνδράσι κεῖται*: ταῦτα δὲ οὐκ ἔστιν ἐν ἀνθρώποις, τὸ ἐκ περινοίας κτήσασθαι· τὸ δαιμόνιον δὲ ἑκάστῳ παρέχει.

BDEGQ 108. *δαίμων δὲ παρίσχει*: ἐπεὶ προεῖπεν ὅτι ὁ δαίμων πάντα παρέχει, ἐπήγαγεν ὅτι ποτὲ μὲν ἄλλοτε ἄλλον ὑψηλὸν ποιῶν, ἄλλοτε δὲ ὑποχείριον ποιῶν καὶ οἰκτρὸν καὶ ταπεινόν.

DEGQ 110. *ἄλλον δ' ὑπὸ χειρῶν*: ὑπὸ χειρῶν μέτρον περι-

DGQ φραστικῶς περὶ τὰς χεῖρας ποιεῖ, | ἀντὶ τοῦ τῇ χειρὶ αὐτοῦ καὶ τῇ ἐξουσίᾳ.

---

12 sch. Δ 433. Ap. soph. 132, 32. Hes. πεπᾶσθαι, πολυπάμονος, πολυπάμων. EM 681, 47. EG 474, 30. Phot. πολυπάμων. Zon. 1561.

---

2 ἡμετέραις E ‖ τύχαις Q rec. (Schneider): εὐχαῖς BE 4 πέπαται om. DGQ 7 κορύσσειν G: κηρύσσειν ‖ αὔξειν] + δὲ DEGQ ‖ ταῖς omnes ‖ αὐτοῦ G αὐτοῦ D 8 ἐπιτεχνήσεσιν BE: ἐπιτεχνήμασιν DGQ rec. 9 ἀφρόνων BE rec.: ἀνθρώπων DGQ ἀφρόνων ἀνθρώπων cj. Hartung 10 περιποιεῖσθαι Q 11 φησι E 12 τὸ δὲ πέπαται B ‖ καὶ om. B καὶ ὅμ. om. E 13 πολυπάμπονος E πολυπάλμονος Q ‖ ἀντὶ τοῦ] τουτέστι B 15 κεῖται om. Q ‖ δὲ] + φησὶν B 18 l. E: δαίμων δέ DGQ ἄλλοτε δ' ἄλλον ὕπερθε βάλλων B ‖ ὅτι om. E 19 παρέχοι πάντα B 20 ποιῶν (alt.) om. B ‖ ταπ. καὶ οἰκτρόν DG ‖ καὶ om. E 21 l.] ἄλλον δ' D ‖ μέτρον (D[cp])EG[s]Q: μέτρα G[1]b ‖ post μέτρον add. ποιῶν DGQ 22 χεῖρας] πεῖρας E ‖ ποιεῖ EQ: ποιῶν DG om. b. Locus corruptus; ὑπὸ τὰς χ. ποιεῖ ⟨ἢ⟩ ἀντὶ Hartung ‖ τῇ om. DG

111 a. *μέτρον καταβαίνει*: ἀντὶ τοῦ καταβαίνειν ποιεῖ. BDEGQ
b. μεμετρημένα ἑκάστῳ τὰ κακὰ καὶ τὰ ἀγαθὰ παρέχεται,
οὔποτε τῶν ἐν μονίμῳ τύχῃ κρατῶν.
113 a. *μυχῷ τ' ἐν Μαραθῶνος*: ἀντὶ τοῦ ἔχεις γέρας, DEGQ
5 ἀπὸ κοινοῦ. b. τουτέστι τὰ Παναθήναια.
113 c. *Ἥρας τ' ἀγῶν' ἐπιχώριον*: ὡς καὶ ἐν Αἰγίνῃ BDEGQ
Ἡραίων ἀγομένων κατὰ μίμησιν τοῦ ἐν Ἄργει ἀγῶνος· ἄποι-
κοι γὰρ Ἀργείων. Δίδυμος δέ φησι τὰ Ἑκατόμβαια αὐτὸν
νῦν λέγειν ἐπιχώριον ἀγῶνα Αἰγινητῶν διὰ τὴν συγγένειαν.
10 115. *νίκαις τρισσαῖς*: σὺν ταῖς τρισὶ ταύταις νίκαις BDEGQ
καὶ τὰ Πύθια νικήσας τέτρασι. σώμασι τῶν ἀνταγωνιστῶν
ἄνωθεν ἐνέπεσας, ἧττον αὐτῶν φροντίζων.
116. *δάμασσας ἔργῳ*: μετ' ἔργου καὶ ἐνεργείας πολλῆς BDEGQ
καθυπέταξας σαυτῷ.
15 117. *τέτρασι δ' ἔμπετες*: ὡς ἄνευ κλήρου τέσσαρας DEGQ
παῖδας προκαλεσαμένου καὶ νικήσαντος.
119. *τοῖς οὔτε νόστος ὁμῶς*: οἵστισι τοῖς ἡττηθεῖσιν BDEGQ
ἐκ τῆς Πυθίας ἡ ἀνακομιδὴ οὔτε ἡδεῖα οὔτε προσηνὴς
ἐγένετο, οὔτε ἐλθόντων αὐτῶν ἐπὶ τὴν πατρίδα περὶ τὴν μη-
20 τέρα καὶ τοὺς γονεῖς γέλως γλυκὺς χάριν ἐκίνησε τὴν ἐκ τῆς
νίκης· ἐκ δὲ τοῦ ἐναντίου λύπη καὶ συμφορὰ περὶ τὸν οἶκον
τῶν ἡττηθέντων γέγονεν.
124 a. *ἐχθρῶν ἀπάοροι πτώσσοντι*: ἀφωρισμένοι, DEGQ
κεχωρισμένοι. b. οἷον εὐλαβοῦνται καὶ φεύγουσι τοὺς ἐχ- BDEGQ
25 θροὺς τῇ τῆς ἥττης συμφορᾷ δακνόμενοι. 126b B

1 l. E: μέτρῳ καταβαίν[ει] B καταβαίνει DGQ 2 μεμετρ.] ἀντὶ τοῦ μεμετρ. DG. In iis q. s. locus poetae latere vid. ‖ ἑκάστῳ] τὲ [λαοῖς?] B ‖ καλὰ BE 3 μονίμῃ Q(D^cp G^cp) ‖ κρατῶν] μέτρων Hartung 4 ἔχει E 5 παναθήναια hic locum non habere monuit b 6 l. BE: ἥρας τ' ἀγῶνα DGQ ‖ ἐν om. E 8 ἀργείων] + αἰγινῆται B ‖ νῦν om. E 10 νίκαισι EQ ‖ τρισὶ BQ: τρισσαῖς DEG 12 ἐνέπεσεν B 13 δαμάσσας E δάμασας G δαμάσας DQ τὸ δὲ δαμάσαις B ‖ μετ' ἔργου] ἀντὶ τοῦ μετ' ἔργου B 14 καθυποτάξας B ‖ σαυτῷ B: αὐτῷ DEGQ 15 l. E: τέτρασιν D(G)Q 17 ὁμῶς om. DGQ 19 ἐπὶ B: περὶ DE^cp GQ ‖ περὶ codd.: παρὰ Schneider ap. b 21 περὶ — 22 γέγονεν BE: γέγονεν αὐτοῖς ὡς ἡττηθεῖσιν DGQ (rec.) 23 ἐπάοροι E ‖ πτώσσοντι om. DGQ ‖ ἀφωρισμένοι DG: ἀπηωρισμένοι EQ 24 καὶ κεχωρ. Q ‖ οἷον] ἄλλως B

BDEGQ 126 a. *ὁ δὲ καλόν τι νέον*: ὁ δὲ καλὸν πράξας ὑπὸ τῶν ἐλπίδων μετέωρος φέρεται. 131 B b. ἄλλως· ὁ δὲ νεωστὶ καλὸν καταπραξάμενος καὶ νικήσας, ἀπὸ μεγάλης ἁβρότητος καὶ εὐδαιμονίας ἐκ τῶν εὐτυχηθεισῶν ἐλπίδων ὑψοῦται, ταῖς ταχείαις αὐτοῦ ἐπαιρόμενος ἀνδρείαις, ἔχων καὶ κρείττονα 5 πλούτου τὴν φροντίδα, τουτέστι τὴν νίκην. 126a B

BEGQ 131 a. *ἐν δ' ὀλίγῳ βροτῶν τὸ τερπνὸν αὔξεται*: B λείπει τὸ χρόνῳ. b. τουτέστι χρόνον μικρὸν αὔξει τοὺς ἀνθρώπους καὶ καταβάλλει ἡ τυχοῦσα πρόφασις. ἔξωθεν οὖν BDEGQ προσληπτέον τὸ χρόνῳ. c. ἐν ὀλίγῳ δὲ χρόνῳ τὸ τῶν ἀν- 10 θρώπων ἡδὺ καὶ καλὸν εἶναι δοκοῦν αὔξεται καὶ παραμένει· οὕτω δὲ πάλιν ταχέως αὐξηθὲν τὸ ἀγαθὸν ἀφανίζεται ἀηδεῖ τινι γνώμῃ καὶ πείρᾳ σεσεισμένον καὶ νικηθέν.

DGQ 133. *ἀποτρόπῳ*: τῇ παρὰ τρόπον καὶ παρὰ τὸ δέον ἐχθρᾷ γνώμῃ. [καὶ πείρᾳ σεσεισμένον καὶ νικηθὲν καὶ] οὐ κατὰ 15 τὴν ἡμῶν δόκησιν.

BDEGQ 135 a. *ἐπάμεροι, τί δέ τις*; τῶν ἐφημέρων ἀνθρώπων τί ἄν τις εἴποι ὅτι ἔστι τις, ἢ πάλιν ὅτι οὐκ ἔστι; ταχέως μὲν γὰρ ἔστιν εἰπεῖν, ὅτι ἐστί τις οὗτος, ταχέως δὲ ὅτι οὐδείς, διὰ τὴν μετάπτωσιν τῶν πραγμάτων. διὰ τοῦτο δὲ καὶ 20 ἐπιφέρει, ὅτι σκιᾶς ὄναρ ἄνθρωποι, εὖ τῇ ἐμφάσει χρώμενος, ὡς ἄν τις εἴποι τοῦ ἀσθενοῦς τὸ ἀσθενέστερον. οὐ γὰρ οἷον ἀνθρώπου ὄναρ ἐστίν, ἀλλὰ σκιᾶς ἀνθρώπου. b. ἢ οὕτως· *ἐπάμεροι*· ὦ ἄνθρωποι, τίς ἐστιν ὁ δοκῶν εἶναι καὶ μέγας

---

1 l. E: ὁ δὲ καλόν τι DGQ ἄλλως B ‖ καλὸν (alt.)] καλῶς B 2 φέρεται] φαίνεται E^{ac}Q^{mg} ‖ ἄλλως] ὁ δὲ καλόν τι καὶ νέον λαχὼν B 3 μεταπραξάμενος E ‖ ἀπὸ] ἐπὶ Schneider ap. b (rec.) 5 τραχείαις B 6 post νίκην add. ἔχων κρέσσονα πλούτ(ου)· τὴν φροντίδ(α). τουτέστι τὴν νίκην G 7 l. B: ἐν δ' ὀλίγῳ EGQ (et D ante 131 c) 8 λείπει] ἔξωθεν E ‖ τὸ G: τῷ E om. BQ 10 ἐν ὀλίγῳ B: ὀλίγῳ DGQ λέγω E ‖ χρόνῳ] + φησὶ B 11 δοκοῦν B: δοκεῖ E δοκεῖ καὶ DGQ ‖ post παραμένει inser. οὕτω δὲ καὶ πιτνεῖ E 12 δὲ] + καὶ B 13 καὶ — νικηθέν om. DG ‖ νικηθέν Q (cfr. sch. 133): κινηθέν E ἡττηθέν B 15 καὶ πείρᾳ — καὶ om. Q; seclusi ‖ νικηθὲν καὶ om. D 16 δόκησιν] + νικηθέν D 17 l. E: + τί δ' οὔτις B ἐπάμεροι DGQ ‖ ἐφ. ἀνθρ. BEQ: ἀνθρ. τῶν ἐφ. DG 18 πάλιν ὅτι] ὅτι πάλιν DG 19 ἐστί om. B 21 εὖ — 23 ἀνθρώπου (alt.) om. Q (cfr. ad 23) 23 ἀνθρώπου (alt.)] ἄνθρωποι DG

καὶ πλούσιος; τίς δὲ ὁ νομιζόμενος οὐδεὶς καὶ εὐτελής; ὀνεί-
ρατα σκιᾶς ἐσμεν οἱ ἄνθρωποι.

136 a. ἀλλ' ὅταν αἴγλα διόσδοτος ἔλθῃ: ἀλλ' ὅταν BEGQ
ἐκ Διὸς δεδομένη αἴγλη ἐπέλθῃ, τουτέστιν ὅταν ὁ Ζεὺς ἐπι-
5 λαμπρύνῃ, ἡδὺς ὁ βίος γίνεται τοῖς ἀνθρώποις. b. ἀλλ' BDEGQ
ὅταν αἴγλα Διός: ἀλλ' ὅταν αἴγλη τις καὶ φῶς ἐκ θεοῦ
παραγένηται, λαμπρὸν φέγγος ἔπεστι κατὰ τῶν ἀνθρώπων
καὶ προσηνὴς ὁ βίος καὶ ἡ ζωή. c. ἐπιμέμφονταί τινες τῷ
Πινδάρῳ, ὅτι ἐγκώμιον γράφων θρηνεῖ τὸν ἀνθρώπινον βίον.

10 140 a. Αἴγινα, φίλα μᾶτερ: τὸν λόγον πρὸς τὴν ἡρω- BDEGQ
ίδα ἀπέστρεψεν, ἀφ' ἧς καὶ ἡ νῆσος. b. ὁ δὲ νοῦς· ὦ προσ-
φιλεστάτη μῆτερ Αἴγινα, τὴν ὁμώνυμόν σοι πόλιν φύλασσε
καὶ περίεπε σὺν ἐλευθερίᾳ, φύλασσε δὲ σὺν τῷ Διῒ καὶ τῷ
βασιλεῖ Αἰακῷ καὶ τοῖς ἐξ αὐτοῦ ἥρωσιν. c. ἢ οὕτω· τοῦτο
15 ἐκ τοῦ χοροῦ λέγοιτο ἄν, ὥστε τὴν Αἴγιναν μητέρα τῶν χο-
ρευόντων λέγεσθαι. d. ἐλευθέρῳ δὲ στόλῳ ἀντὶ τοῦ ἐλευ-
θέρᾳ στάλσει ἢ στάσει καὶ σχήματι, μὴ ταττομένη ὑπ' ἄλλοις.
e. Αἴγινα φίλα μᾶτερ: προσφωνεῖ τῇ ἡρωΐδι. B

142. σὺν Διῒ καὶ κρέοντι: τὸ χ', ὅτι ὑπερβάτως εἴ- DGQ
20 ρηκε σὺν Διῒ καὶ κρέοντι καὶ σὺν Αἰακῷ.

Scholia in Pythionicarum carmen IX.

Τελεσικράτει Κυρηναίῳ ὁπλιτοδρόμῳ 1a E DEQ(Q)

Τῆς ἐννάτης ᾠδῆς ἡ στροφὴ καὶ ἀντίστροφος κώλων ιε'. B
τὸ α' ἀναπαιστικὸν δίμετρον ὑπερκατάληκτον. τὸ β' τρο-

---

1. 2 ὀνείρατα BE: ὀνείρατος DGQ 2 οἱ om. DG 3 l. B (sed ἔλθοι): ἀλλ' ὅταν ἐκ διὸς αἴγλα E et praem. spat. (h. e. ἄλλως) Q ἄλλως G 4 ἐκ τοῦ διὸς EQ ‖ αἴγλη δεδ. G ‖ διδομ. E^ac ‖ ἡ αἴγλη E 5. 6 l.] ὁ δὲ νοῦς B 7 παραγίνηται E ‖ φάος B 8 sch. 136c praem. ὅρα DG ‖ ἐπιμέμφονται] + δέ B
10 ἄγινα B ‖ μᾶτερ om. DGQ ‖ τὴν om. E 11 ἡ om. E
17 ἢ στάσει om. D ‖ ταττομένη BE: ταραττ(σσ)ομένη DGQ ‖ ὑπ'] ἐπ' E 19. 20 εἴρ. διὶ καὶ κρ. σὺν αἰ. b εἴρ. τὴν σύν, ἤγουν τῷ δί rec. Ft. εἴρ. σὺν διὶ κρέοντι καὶ σὺν αἰ. (cfr. rec. ad 140)
21 proinscr. spat. vac. Q

χαϊκὸν τρίμετρον καταληκτικὸν, εἰς ἴαμβον καταλῆγον. τὸ γ' Ἀρχιλόχειον, ὅμοιον τῷ (Archil. fr. 79) Ἐρασμονίδη Χαρίλαε. τὸ δ' πενθημιμερὲς δακτυλικόν. τὸ ε' τὸ αὐτὸ τῷ γ', ἀλλὰ τοῦτο δωδεκάσημον, τὸ δὲ γ' ἑνδεκάσημον. τὸ ς' δίμετρον ἐπιχοριαμβικὸν ἀκατάληκτον. τὸ ζ' δίμετρον Ἰωνικὸν ἀπ' ἐλάσσονος ἀκατάληκτον. τὸ η' δακτυλικὸν πενθημιμερές. τὸ θ' τρίμετρον δακτυλικὸν ἀκατάληκτον. τὸ ι' δακτυλικὸν πενθημιμερές. τὸ ια' τὸ αὐτὸ τῷ γ' καὶ ε'. τὸ ιβ' δακτυλικὸν πενθημιμερές. τὸ ιγ' τροχαϊκὸν δίμετρον καταληκτικὸν Εὐριπίδειον. τὸ ιδ' τὸ αὐτὸ τῷ ιγ'. τὸ ιε' ἰαμβικὸν δίμετρον ὑπερκατάληκτον.

B ἡ ἐπῳδὸς κώλων ἐστὶ ιδ'. τὸ α' Πινδαρικόν· ἔστι δὲ ἐγκωμιολογικόν. τὸ β' δακτυλικὸν τρίμετρον καταληκτικόν. τὸ γ' τροχαϊκὸν δίμετρον ἀκατάληκτον. τὸ δ' πενθημιμερὲς δακτυλικόν. τὸ ε' ἐπιχοριαμβικὸν δίμετρον ἀκατάληκτον. τὸ ς' Ἰωνικὸν δίμετρον καταληκτικόν. τὸ ζ' τροχαϊκὸν δίμετρον ἀκατάληκτον. τὸ η' ἐπιχοριαμβικὸν δίμετρον ἀκατάληκτον. τὸ θ' Ἰωνικὸν δίμετρον καταληκτικὸν ἀνακλώμενον. τὸ ι' Πινδαρικὸν παρὰ τὸ πρῶτον Σαπφικὸν καὶ ἰαμβέλεγος. τὸ ια' ἰαμβέλεγος μετατεθεικὼς τὴν πρώτην ἐπὶ τὴν τελευταίαν συλλαβήν. τὸ ιβ' τροχαϊκὸν δίμετρον καταληκτικὸν Εὐριπίδειον. τὸ ιγ' δακτυλικὸν πενθημιμερές. τὸ ιδ' ὅμοιον τῷ ια'.

BDEGQ Inscr. a. Γράφει τῷ προειρημένῳ τὴν ᾠδὴν νικήσαντι κη' Πυθιάδα. ἐνίκησε μέντοι καὶ στάδιον τὴν λ' Πυθιάδα, οὐ φαίνεται δὲ ὁ Πίνδαρος ταύτης τῆς νίκης μνημονεύων, ἴσως ὅτι φθάσας τῆς εἰκοστῆς ὀγδόης ἔγραψεν. b. ἄλλως· γράφεται Τελεσικράτει Κυρηναίῳ νικήσαντι τὴν κη' Πυθιάδα

1 καταληκτικὸν] ἀκατάληκτον Pauw 2 ἐρασμονίδα B 2. 3 χαρμόλαε B (corr. mg. Brub.) 10 ιγ' Pauw: γ' B 23 ια' scripsi: πρώτῳ B, quod falsum esse animadv. Pauw 24 τῷ πρ. τὴν ᾠδὴν B: τῷ πρ. τῶν ᾠδῶν E ὁ πίνδαρος τὴν ᾠδην τελεσικράτει DG(Q) ‖ κη' DEQ τὴν εἰκοστὴν ὀγδόην B: λη' G 25 ὀλυμπιάδα Q ‖ τῇ λ' πυθιάδ(ι) B; secl. Bergk 25. 26 οὐ δὲ φαίνεται E 26 μνημονεύων om. E 27 φθάσας BE: προφθάσας DGQ 28 τῆς κη' GQ τῆς εἰκοστῆς ὀγδόης B: τὴν κη' D τὴν κ///// (ras.) ὀγδόην E; secl. Bergk ‖ ἔγραφε E 27. 28 γράφεται om. DF 28 κυρηναίῳ] + ὁπλιτοδρόμῳ DGQ rec. (cfr. ad 221,1)

ὁπλίτῃ, τῇ δὲ λ΄ στάδιον· παρὸ δὴ οὐ μνημονεύει τῆς ἐν τῷ σταδίῳ νίκης. τούτου δὲ ἀνάκειται ἐν Δελφοῖς ἀνδριὰς ἔχων κράνος. ἐκ προγόνων δέ ἐστι δρομεύς· Ἀλεξίδαμον γάρ φησιν αὐτοῦ εἶναι πρόγονον Λίβυν, ἐλθόντα ἐπὶ τὴν Ἀνταίου θυγα-
5 τέρα καὶ ἀγωνισάμενον. πολλοὶ δὲ ταύτης μνηστῆρες. 1b B 6E

1 a. ὁ νοῦς· βούλομαι τὸν Πυθιονίκην Τελεσικράτην ἐγ- BDEGQ κωμιάζων σὺν ταῖς βαθυζώνοις Χάρισιν ἀνυμνεῖν, εὐδαιμονέστατον ἄνδρα, στέφανον καὶ δόξαν ὄντα τῆς ἱππικῆς Κυρήνης. 6 B b. *χαλκάσπιδα*, ὅτι σὺν ἀσπίσι χαλκαῖς
10 τὸν ὁπλίτην ἔτρεχον δρόμον. inscr. E c. τὸ ἑξῆς δέ, σὺν βα- B θυζώνοις Χάρισιν. 1a B

6 a. *τὰν ὁ χαιτάεις*: εἰς τὴν ἡρωίδα, ἀφ᾽ ἧς τοὔνομα BDEGQ ἔλαβεν ἡ πόλις Κυρήνη, μετάγει τὸν λόγον. ἀπὸ δὲ Ἠοίας Ἡσιόδου τὴν ἱστορίαν ἔλαβεν ὁ Πίνδαρος, ἧς ἡ ἀρχή (fr. 128)·

15 ἢ οἵη Φθίῃ Χαρίτων ἄπο κάλλος ἔχουσα
Πηνειοῦ παρ᾽ ὕδωρ καλὴ ναίεσκε Κυρήνη.

b. ὁ δὲ νοῦς· ἥντινα τὴν Κυρήνην ὁ κομήτης Ἀπόλλων ἐκ τῶν ὑψηλῶν τοῦ Πηλίου κόλπων ἥρπασε καὶ ἤνεγκε χρυσῷ δίφρῳ, τὴν θηρευτικὴν καὶ ἀγρευτικὴν παρθένον. c. *ἀνε*- DEGQ
20 *μοσφαράγων*: τῶν ψόφον ἀποτελούντων ἐκ τοῦ ἀνέμου.

11. *τόθι νιν πολυμήλου*: ἔνθα αὐτὴν τῆς πολυπρο- BDEGQ βάτου καὶ εὐκάρπου γῆς ἔθηκε δέσποιναν, καὶ οἰκεῖν θάλλουσαν καὶ γαυριῶσαν τὴν ἐπέραστον τρίτην μοῖραν τῆς ἠπείρου γῆς, τουτέστι τὴν Λιβύην.

---

20 Hes. *σφάραγος*, al.

---

1 *ὁπλίτῃ* om. **DGQ** ‖ *τῇ* **BE**: *τὴν* **DGQ** rec. ‖ *οὐ* **B**: om. **DEFGQ** 4 *ἀνταίου* Beck: *ἀνιαίου* 5 *δὲ*] *δὴ* **E** 6 *ὁ δὲ νοῦς* **GQ** 9 sch. 1b praem. *ἐθέλω χαλκάσπιδα πυθιονίκαν* **B** ‖ *χαλκάσπιδα*] + *φησιν* **B** om. **E** 10 *ἔτρεχε* **E** 12 *χετάεις* **BD** *χαιτάεις ἄνεμος* **E** 13 *κυρήνη* **BD**: *κυρήνην* **EGQ**pc *κυρήναν* **Q**ac ‖ *τὸν λ. μετάγει* **DGQ** ‖ *δὲ ἠοίας* **B**: *δ᾽ ἐννοίας* **B**3**E** *δὲ ἐννοίας* **G** *δὲ εὐνοίας* **Q** *δ᾽ ἐν οἵῃ φθίῃ* (om. *ἡσιόδου*) **D** *ἐννοίῃ φοίῃ* **F** (*γρ. καὶ νοίας. νοίῃ. φοίῃ* **G**mg) 15 *ἠοίη* **B** *ἡ οἵη* **E** *ἢ οἵη* **DGQ** 17 *ὁ κομήτης*] *ἀκομίτης* **E** 19 *θηρατικὴν* **EQ** ‖ sch. 6c hab. et **B**3 21 l. **BE**: *τόθι νῦν* **DGQ** ‖ *αὐτὴν* **BQ**cp: *αὐτ(ῆς)* **E** *ἀντ(ὶ)* **G** *ἀπὸ* **D** 22 *εὐκάρπου* **BQ**: *συγκάρπου* **DEG** ‖ *καὶ* (alt.) om. **DGQ** 23 *τρίτην μοῖραν* om. **Q** 24 *γῆς* om. **E**

BDEGQ 14 a. *ῥίζαν τρίταν*: τὸ χ΄, ὅτι τὴν Λιβύην τρίτην εἶπε ῥίζαν τῆς γῆς διὰ τὸ μερίζειν τινὰς ὅλην τὴν οἰκουμένην εἰς BE Ἀσίαν καὶ Εὐρώπην καὶ Λιβύην. b. εἰς ἔπαινον τοῦτο εἴληφε· τουτέστιν, ὅτι ἡ Λιβύη τρίτον ἐστὶ τῆς οἰκουμένης καθ᾽ αὑτήν, καὶ οὐ τῇ Ἀσίᾳ συντεταγμένη. 5

BDEGQ 16 a. *ὑπέδεκτο δ᾽ ἀργυρόπεζ᾽ Ἀφροδίτα*: ζητεῖται, διατί καὶ ἐνταῦθα ἡ Ἀφροδίτη εὑρίσκεται συμπροπέμπουσα τὸν Ἀπόλλωνα καὶ ἐφαπτομένη τοῦ δίφρου. καὶ ἤτοι ὅτι μετέρχεται τὰ γαμήλια ἔργα ἡ θεός, ἢ ὅτι, ὡς αὐτός φησι (P. V 31), κῆπος Ἀφροδίτης ἡ Λιβύη. καὶ ἴσως διὰ τὸ 10 ἐπέραστον τῶν χωρίων· οὐκ ἔχομεν γὰρ ἐξ ἱστορίας δεῖξαι, ὅτι ἱερὰ ἦν ἡ Λιβύη τῇ θεῷ. b. ὁ δὲ νοῦς· ὑπεδέξατο δὲ ἡ λευκόπηχυς Ἀφροδίτη τὸν Δήλιον ξένον, τουτέστι τὸν Ἀπόλλωνα, κούφως καὶ ἠρεμαίως τῶν θείων ὀχημάτων τῇ χειρὶ (B)DEGQ αὐτῆς ἁπτομένη. c. ἄλλως· τὴν Ἀφροδίτην φησὶ προσῆφθαι 15 τοῦ ὀχήματος διὰ τὸ προεστάναι τὴν θεὸν τῶν γάμων·

ἀλλὰ σύ γ᾽ ἱμερόεντα μετέρχεο ἔργα γάμοιο (E 429).

BDEGQ d. ξένον δὲ ἔφη τῇ Κυρήνῃ τὸν Ἀπόλλωνα διὰ τὸ νῦν πρῶτον ἐπιδημῆσαι. διὰ τιμῆς δὲ ἄγουσι τὸν θεόν.

BDEGQ 19. *καί σφιν ἐπὶ γλυκεραῖς*: καὶ δὴ αὐτῶν ταῖς γλυ- 20 κεραῖς κοίταις ἐπέραστον ἔβαλεν αἰδῶ, κοινὸν ἁρμόζουσα τὸν μιχθέντα γάμον τῷ θεῷ καὶ τῇ τοῦ Ὑψέως κόρῃ Κυρήνῃ.

BDEGQ 25 a. *τουτάκις*: τότε. b. ὅστις ὁ Ὑψεὺς τῶν ἀνδρειο-

---

1 l. **E**: ῥίζαν ἀπείρου (**D**)**GQ** om. **B** ‖ τὸ χ΄ — 2 γῆς] τρίτην δὲ εἶπε ῥίζαν γῆς τὴν λ. **B** 2 μερίζειν **BE**: διαιρεῖν **DGQ** rec. ‖ τὴν οἰκ. τινὰς, om. ὅλην, **DGQ** rec. 3 καὶ (pr.) om. **DGQ** rec. ‖ sch. 11b praem. ἄλλως τρίτην ῥίζαν **E** ‖ ἔπαινον] + δὲ καὶ **B** 5 οὐ om. **E** ‖ συντασσομένη **E** 6 l. **BE**: ὑπέδ. δ᾽ ἀργ. **GQ** ὑπέδεκτο **D** ‖ ὑποδέκτετο **B** ὑπέδεκτ᾽, om. δ᾽, **E** ‖ ἀφροδίτα **E**: -τη **B** 7 καὶ] om. **Q** rec., post ἐνταῦθα trp. Lehrs p. 143 9 ἡ θεὸς ἔργα **B**, add. ὅμηρος· ἀλλὰ — γάμοιο (cfr. sch. 16c) ‖ ὅτι om. **B** ‖ ⟨τὴν Κυρήνην⟩ φησὶ Lehrs p. 144, cl. P. V 31 12 τῇ] τῷ **FG** ‖ δὲ (alt.) om. **DGQ** 13 λευκόπους Lehrs p. 144 15—17 versum Hom. in sch. 16a inser. **B**, omissis cett.; cfr. ad 9 16 τὴν] τὸν **DQ** 17 μετέρχετο **E** 18 δὲ ἔφη] δ᾽ ἔφησα **E** 18. 19 πρώτως **DGQ** rec. 19 τὸν] τὴν **E** 20 l. **DEG**: + εὐναῖς **B** καί σφιν ἐπί **Q** ‖ αὐτῶν Beck: αὐτῆς **B** αὐταῖς **DEGQ** 20. 21 γλυκείαις **E** 21 ἔβαλλεν **DG** ‖ ἁρμόζοισα **DGQ** 23 sch. 25a om., sch. 25b praem. ὃς λαπιθᾶν ὑπερόπλων **B**

τάτων Λαπιθῶν βασιλεὺς ἐτύγχανεν ἐξ Ὠκεανοῦ δεύτερος
κατάγων τὸ γένος. ἐξ Ὠκεανοῦ γὰρ Πηνειὸς ὁ ποταμός, ἀφ'
οὗ ἐγένετο ὁ Ὑψεύς.

27 a. ὅν ποτε Πίνδου: τῷ Θετταλικῷ ὄρει· Πίνδος BDEGQ
5 γὰρ ὄρος Περραιβίας, ἡ δὲ Περραιβία τετράπολις τῆς Θεσσα-
λίας. b. τὸ δὲ ναῒς εὐφρανθεῖσα, ἀντὶ τοῦ παννυχίσασα
διὰ τὴν εὐφροσύνην. Ναΐδος δὲ καὶ Πηνειοῦ τὸν Ὑψέα
Φερεκύδης (FHG I p. 72), Ἀκέσανδρος δὲ (ibid. IV p. 285) Φιλύρας
τῆς Ἀσωποῦ καὶ Πηνειοῦ ἱστορεῖ τὸν Ὑψέα. c. ὁ δὲ νοῦς· B
10 ὅντινα τὸν Ὑψέα ποτὲ ἐν ταῖς ἐξοχαῖς τῆς Πίνδου ἡ Ναῒς
εὐφρανθεῖσα τῇ τοῦ Πηνειοῦ μίξει ἐγέννησε Κρέουσα Γῆς
οὖσα θυγάτηρ.

31. ὁ δὲ τὰν εὐώλενον: ὁ δὲ Ὑψεὺς τὴν λευκόπηχυν BDEGQ
Κυρήνην ἀνέθρεψεν. ἔσχε δὲ ταύτην ἐκ Χλιδανώπης· οὐ
15 μόνον δὲ Κυρήνην ἔσχεν, ἀλλὰ καὶ Ἀλκαίαν.

33 a. παλιμβάμους: παλιμπορεύτους. αἱ γὰρ ὀρθαὶ BDEGQ
ὑφαίνουσαι προπορεύονται καὶ πάλιν τὸν αὐτὸν πορεύονται
τόπον καὶ ὑποστρέφουσιν. ὡς καὶ Ὅμηρος (Α 31)·

ἱστὸν ἐποιχομένην καὶ ἐμὸν λέχος ἀντιόωσαν. 35 B

20 b. ὁ δὲ νοῦς· αὕτη μὲν οὖν ἡ Κυρήνη οὔτε τὰς παλιμπορεύ-
τους ἐφίλησε τῶν ἱστῶν ὁδοὺς οὔτε τῶν δείπνων ταῖς τέρψε-
σιν ἢ τῶν ἑταιρῶν τῶν οἴκου δεσποζουσῶν, ἀπὸ κοινοῦ οὐχ
εἵλετο, τὰς τέρψεις. 37 B

---

4 cfr. sch. P. I 126. 16 Hes. ἐποιχόμεναι. Eust. ad Α 31, p. 31, 4.

---

1 λαπίδων **E** λαπίθων cett. (**B** l. n.) 2 κατάγων τὸ γένος **B**: κατὰ τῶν **DEGQ**. An κατάγων? 3 ἐγένετο om. **Q** 4 l. **E**: + κλεενναῖς ἐν πτυχαῖς **B** πίνδου κλ. **DQ** π. κλ. ἐν πτ. **G** 5 ὄρος om. **DGQ** ‖ περρεβίας **BE** περρεβοίας **DGQ**; tum περρεβία **BEG** περρεβοία **DQ**; corr. Beck 7 εὐφρόνην Lehrs p. 144 (tum debuerat παρὰ τὴν εὐφρόνην) 8 φιλλύρας **EQ** 10 τῆς] τοῦ **h**
13 l.] + θρέψατο **B** 14 ἀνέθρεψεν — 16 κυρήνην om. **DG** 16 l.] ἁ μέν, οὔθ' ἱστῶν παλιμβ. ἀντὶ τοῦ **B** 20 αὕτη] αὐτὴ **DGQ** 21. 22 ταῖς τέρψεσιν (**D**)**EGQ**: τὰς τέρψεις **B** 22 ἢ **BEQ**: οὔτε **DG** μετὰ? Mommsen sch. Thom.-Tricl. in P. V—XII p. 15. Verba ταῖς τέρψεσιν ἢ corrupta vid.; τ. τ. del. Schroeder ‖ ἑταιρῶν] ἑτέρων **B**[1] ‖ τῶν οἴκου **BG**: τοῦ οἴκου **DE** τῶν **Q** ‖ οὐχ] τὸ οὐχ **r** τὸ Bergk N. Jhrb. 117, 45

BDEGQ 35 a. *δείπνων οἰκουριᾶν*: *οἰκοδεσποινῶν, οἱονεὶ τῶν*
DGQ *ἤδη γεγαμημένων καὶ ἀρχουσῶν οἰκιῶν.* 35b B b. *γράφεται*
δὲ καὶ δεῖπνον οἰκουριῶν.
BDEGQ 37. *ἀλλ' ἀκόντεσσί τε χαλκέοις*: *ἀλλὰ χαλκοῖς δόρασι*
καὶ ξίφει μαχομένη ἐπόρθει καὶ ἀνῄρει τοὺς ἀγρίους θῆρας, 5
πολλὴν ἡσυχίαν καὶ εἰρήνην ταῖς πατρῴαις παρέχουσα βου-
σίν· ἀναιρουμένων γὰρ τῶν ἀγρίων θηρῶν εὐμαρῶς καὶ ἀδεῶς
τὰ ἥμερα τῶν ζῴων νέμεται.
BDEGQ 42. *τὸν δὲ σύγκοιτον*: *καὶ τὸν ἑωθινὸν δὲ ὀλίγον*
ἐπερχόμενον τοῖς βλεφάροις ἡδὺν ὕπνον ἀφανίζουσα καὶ ἀνα- 10
λίσκουσα· ἔξωθεν τὸ ἐθήρα. 44b B
DEGQ 43 a. *παῦρον ἐπὶ βλεφάροις*: *οἷον εἶχε περὶ θήραν*
ἐμμανῶς, ὡς καὶ πρὶν ἡμέρας θηρᾶν καὶ μὴ κοιμᾶσθαι τὸν
BDEGQ *ἑωθινὸν ὕπνον.* b. *οἱ δὲ προστιθέντες ὅτι δι' ὅλης νυκτὸς*
καὶ μέχρι τοῦ ἑωθινοῦ ἐθήρα, ἄτοποι. οὐ γὰρ οἷόν τε νυκ- 15
τὸς σκότους ὄντος θηρᾶν, ἀλλ' εἰ ἄρα, περὶ τὸν ὄρθρον. 45 B
c. *ἄλλως· παῦρον ἐπὶ βλεφάροις*: *ὡς τὰς νύκτας ὅλας*
περὶ τὰ κυνηγέσια γινομένης αὐτῆς, πρὸς ὄρθρον δὲ κοιταζο-
μένης αὐτῆς. οὗτος γάρ ἐστιν ὁ πρὸς τὴν ἕω ῥέπων ὕπ-
νος. 43b B 20
(B)DEGQ 44 a. *ῥέποντα*: *ἀντὶ τοῦ ἐπερχόμενον.* b. *ἄλλως·*
ὕπνον ἀναλίσκουσα: *ἔξωθεν προσυπακουστέον τὸ ἐθήρα.*
BEGQ c. *ὁ δὲ λόγος· οὕτως ἐμμανῶς εἶχε περὶ θήραν ὡς καὶ πρὸ*
ἡμέρας θηρᾶν καὶ μὴ κοιμᾶσθαι τὸν ἑωθινὸν ὕπνον. 43c B
BDEGQ 45. *κίχε νιν*: *κατέλαβε δὲ ἐν τῷ Πηλίῳ τότε τὴν Κυ-* 25
ρήνην ὁ Ἀπόλλων τῷ ἰσχυρῷ ἄνευ δόρατος μόνην διαμαχο-
μένην λέοντι. καὶ Καλλίμαχος (in Apoll. 91)·

---

1 l. **E**: *δ. οἰκουριῶν* **DGQ** *οἰκουριῶν δὲ ἤτοι* **B** 4 l. **B** et (om. *τε*) **E**: *ἀλλ' ἀκόντεσσιν* **DGQ** 9 l. **E**: + *γλυκὺν* **B** om. **DGQ** ‖ *ὀλίγον* **B** 10. 11 *ἀναλίσκουσα*] + *τὸ γὰρ ῥέποντα ἀντὶ τοῦ ἐπερχόμενόν φησιν* **B** (cfr. sch. 44 a) 11 *ἔξωθεν*] + *δὲ* **D** + *δὲ προσυπακουστέον* **B** (cfr. sch. 44 b) 14 *ἑωνικὸν* **E** ‖ *οἱ δὲ* — 15 *ἄτοποι*] *οἱ δὲ ἄτοπον εἶναι λέγουσι δι' ὅλης ν. κ. μ. τ. ἑ. θηρᾶν αὐτήν* **B** 16 *σκότου* **B** ‖ *ὄντος* om. **DG** ‖ *εἰ* **BE**: *ἢ* **DGQ** 17 l.] *τοῦτό φησιν* **B** 18 *περὶ* **BE**: *ἐπὶ* **DGQ** ‖ *παραγιν.* **DGQ** 19 *αὐτῆς* om. **DGQ** 21 sch. 44 a et b sch. 42 inser. **B**; cfr. ad 10. 11 ‖ *ἄλλως* om. **Q** 23 *περὶ τὴν θ.* **BQ** 25 l.] + *λέοντί ποτ'* **B** ‖ *δὲ* om. **E** ‖ *τότε* **DEGQ**: *ποτὲ* **B** 26 *ὁ ἀπόλλων* om. **DG**

ἔνθα λέοντα
Ὑψηΐς κατέπεφνε βοῶν σίνιν Εὐρυπύλοιο.

50 a. σεμνὸν ἄντρον, Φιλυρίδα: τὸ σεμνόν σου σπή- BDEGQ
λαιον, Κένταυρε, καταλιπὼν ἐλθὲ καὶ θαύμασον τὴν ψυχὴν
5 τῆς γυναικὸς, ὁποῖον νεῖκος ἀντὶ τοῦ ὁποίαν νίκην ἐπάγει
τῇ ἑαυτῆς κεφαλῇ ἡ νεᾶνις τοῦ καμάτου ὑπερτέραν ἔχουσα
τὴν ἑαυτῆς ψυχὴν, οἱονεὶ οὐ κάμνουσα πρὸς τὸ καταπαλαῖσαι
τὸν λέοντα· ἀλλ' οὐδὲ φόβῳ ἐχειμάσθησαν αὐτῆς αἱ φρένες.
b. αὐτὴ ἀταρβὴς οὖσα, τὴν ψυχὴν ὕπερθεν ἔχουσα τοῦ
10 μόχθου, τουτέστιν οὐ νικωμένη τῷ μόχθῳ, οἵαν φιλοτιμίαν
ἐπάγει τῇ ἑαυτῆς κεφαλῇ.

58. τίς νιν ἀνθρώπων τέκε: τίς δὴ αὐτὴν ἀνθρώπων BDEGQ
ἐγέννησεν; ἀπὸ ποίας δὲ φύσεως καὶ γέννης ἀποσπασθεῖσα
[καὶ γεννηθεῖσα] τῶν συμφύτων ὀρῶν τοὺς κευθμῶνας ἔχει,
15 ἀντὶ τοῦ θηρᾷ. ἡ δὲ μεταφορὰ ἀπὸ τῶν κλάδων τῶν ἀπο-
σπωμένων τῶν φυτῶν.

61 a. γεύεται δ' ἀλκᾶς: γεύεται δὲ καὶ ἐφάπτεται BDEGQ
ἀπείρου καὶ πολλῆς ἀνδρείας, οἷον ἰσχυρά ἐστιν. Ὅμηρος
(Υ 258)·
20 γευσόμεθ' ἀλλήλων χαλκήρεσιν ἐγχείῃσιν,
ἀντὶ τοῦ πολεμήσωμεν. b. [ἢ οὕτω·] πέρας οὐκ ἐχούσης
διὰ τὸ μέγεθος. c. τὸ δὲ ἑξῆς· ἆρα ὅσιόν ἐστι τὴν χεῖρα
προσενεγκεῖν καὶ δρέψαι τὴν παρθενίαν αὐτῆς; ὁ γὰρ λόγος
ἐρωτηματικὸς παρ' Ἀπόλλωνος ἐν ἤθει λεγόμενος. d. ὅσιόν

---

5 cfr. sch. Μ 276

---

1 ἔνθα] ἧχι codd. Callim. 2 βοῶ E 3 l. E: + προλιπὼν B σεμνὸν ἄντρον DGQ ‖ φιλλυρίδα E 4 ὦ κέντ. B ‖ ψυχὴν B[1]: τύχην 5 ὁποῖον — τοῦ om. B 7 ψυχῆς E ‖ κάμνουσα BE: κάμνει DGQ (rec.) 8 οὐδὲ] οὐ E 9 sch. 50b praem. ἄλλως B οἷον ἀταρβεῖ νεῖκος E ‖ αὐτὴ D: αὕτη BEGQ 10 οὐ] ἡ D ἢ μὴ Q ‖ οἵαν B: οἷον ‖ φιλοτιμία E 12 l. BE: τίς νιν ἀνθρ. DG τίς νιν Q ‖ δὴ B: δὲ DEGQ 12. 13 ἀνθρ. αὐτὴν ἐγένν. B αὐτὴν ἐγ. ἀνθρ. D 14 καὶ γενν. om. DEGQ; seclusi 16 τῶν] ἀπὸ τῶν B 17 l.] + ἀπειράντου B 20 γευσόμεθ' B: γευσώμεθ' E -σάμεθ' DGQ 21 πολεμήσομεν Beck ‖ ἢ οὕτω] om. E ἀπείρου δέ φησιν ἀντὶ τοῦ B. Seclusi 22 τὴν] ἔνδοξον E 24 ὅσιον] ἆρα ὅσιον B

ἐστι τὴν ἔνδοξον χεῖρα αὐτῇ ἐπενεγκεῖν ἆρα, καὶ ἐκ τῶν κοιτῶν ἡδεῖαν βοτάνην ἀποκεῖραι; ἀντὶ τοῦ διαπαρθενεῦσαι αὐτήν. 64b B

BDEG 64 a. κεῖραι μελιαδέα ποίαν: τὸ σημεῖον, ὅτι μετα-BDEGQ φορικῶς εἴρηκε τὴν ἀκμήν. 64c B b. ἄλλως· καὶ γεννῆσαι ἐξ αὐτῆς παῖδα. τοῦτο γάρ ἐστι τὸ κεῖραι μελιηδέα ποίαν. 5
64a B c. ἢ τὴν παρθενίαν.

BDEGQ 65. Κένταυρος ζαμενής: ζαμενὴς νῦν ὁ συνετός. τινὲς δὲ ὁ ἰσχυρός. τὸν δὲ Ἀπόλλωνα εὐθέως ὁ συνετὸς Κένταυρος τῇ ἀγανῇ αὐτοῦ ὀφρύϊ προσηνὲς καὶ ἡδὺ γελάσας ἀνταπεκρίνατο. 10

BDEGQ 66 a. χλαρὸν γελάσας: ἤτοι πολύ, κεχαλασμένον· χλιδὸν γὰρ λέγουσι τὸ πλῆθος· ἢ προσηνὲς καὶ ἡδύ, παρὰ τὸ χλιαρόν· τὰ μὲν γὰρ ἀπηνῆ τοῖς ψυχροῖς παραβάλλουσι, τὰ δὲ προσηνῆ καὶ τερπνὰ τοῖς θερμοῖς διὰ τὴν γινομένην διάχυσιν. οὕτως οὖν ἐπιπολὺ γελάσας· οὐ γὰρ ὡς οἱ σκυθρω- 15
EGQ πάζοντες συνηγμένας εἶχε τὰς ὀφρῦς. b. ἢ οὕτω· χλαρὸν ἀντὶ τοῦ χλιαρὸν καὶ ἡδὺ κατὰ συναίρεσιν.

BDEGQ 67. μῆτιν ἐάν: κατὰ τὴν ἑαυτοῦ διάνοιαν, οἱονεὶ ὑπομειδιάσας, ἵνα μὴ δῶμεν αὐτὸν πολὺ καὶ ἄκαιρον γελάσαντα.

---

8 Hes. ζαμενής· ὁ ἄγαν ἰσχυρός. 9 Hes. χλῆδος?

---

1 τὴν ἔνδοξον B: ἔνδοξον DGQ om. E ‖ αὐτῆς E ‖ προσενεγκεῖν Q ‖ ἆρα (ἄρα) καὶ DGQ: καὶ ἄρα E καὶ B ‖ κοιτῶν] + αὐτῆς DG(Q) rec. 2 ἀποκεῖραι — αὐτήν om. Q ‖ ἀντὶ τοῦ] ἤτοι B ‖ διαπαρθενεῦσαι B: -εύσειν DEG 3 l. E: κεῖραι μελιηδέα DG om. B ‖ τὸ σημεῖον ὅτι] καὶ B 4 τὴν ἀκμήν] τὸ κεῖραι rec. ‖ ἀκμήν] + ἢ τὴν παρθενίαν μελιηδέα ποίην B (cfr. sch. 64 c) ‖ ἄλλως DG: + κεῖραι μελιηδέα E om. BQ ‖ καὶ B (qui h. sch. ad 61 d adjunx.) E: ἤγουν DGQ 5 ἐξ αὐτῆς γενν. B ‖ ποίην B? r 6 sch. 64 c ad 64 a add. B (cfr. ad 4) 7 l.] τὸν δὲ κ. ζ. B ‖ νῦν BE: νῦν μὲν DG μὲν Q ‖ συνετός Lehrs p. 147: σεμνός 7. 8 τινὲς δὲ ὁ GQ: τινὲς καὶ ὁ D τινὲς E ἢ ὁ B 8 εὐθὺς B ‖ συνετὸς] σεμνὸς B? Beck 9 ἑαυτοῦ B 11 l.] ἄλλως· χλιαρόν B ‖ χλαρὸν Q: χλιαρὸν ‖ ἤτοι] φησι B ‖ τὸ πολὺ καὶ κεχαλ. B 11. 12 χληδὸν E; utrumque inauditum 12 ἡδὺ] + γελάσας DG 13 προσβάλλονται E 14 γενομένην B 15 οὕτως — γελάσας sensu cassa; q. s. ad ἀγανᾷ ὀφρύι rettulit Lehrs ‖ οὖν] οὐκ r 16 συνημμένας DG ‖ εἶχον Q ἔχουσι D ‖ τὰς om. E 18 l.] τὸ δὲ μ. ἐ. ἀντὶ τοῦ B ‖ οἱονεὶ] + οἷον DG 18. 19 ἐπιμειδιάσας D 19 θῶμεν?

68a. κρυπταὶ κλαΐδες ἐντὶ σοφᾶς Πειθοῦς: ἕκαστος, φησί, κρύπτει τοὺς λόγους τοὺς περὶ συνουσίας. ἔοικε παρεγχειρεῖν ὁ Χείρων τὸν Ἀπόλλωνα, ἐπεὶ προεῖπεν ἐκεῖνος· ὅσια κλυτὰν χεῖρά οἱ προσενεγκεῖν; b. ἢ οὕτως ἀποδοτέον· σὺ Ἄπολλον ἐρωτᾷς με, εἰ ὅσια κλυτὰν χεῖρά οἱ προσενεγκεῖν, | ὁ πᾶν τὸ ἐσόμενον εἰδώς· μάντις γὰρ εἶ. ἀλλ' ἐπεὶ αἰσχυνόμεθα περὶ τούτων λέγειν καὶ κρυπτῶς ταῦτα ἐνεργεῖται, καὶ σὺ αἰδούμενός με ἐρωτᾷς· ἐπίστασαι γὰρ μάντις ὤν. c. ἄλλως· τῆς περὶ τὰς γυναῖκας πειθοῦς, φησίν, ὦ Ἄπολλον, κρυπταί εἰσι τῶν ἱερῶν συνουσιῶν αἱ κλεῖς· ἐν θεοῖς [γὰρ] καὶ ἀνθρώποις ὁμοίως ἐστὶ τοῦτο· ἀπερυθριῶν γὰρ ἡμῶν ἕκαστος αἰσχύνεται ἐκ τοῦ φανεροῦ περὶ ἀφροδισίων διαλέγεσθαι. BDEGQ B BDEGQ

73a. αἰδέοντ' ἀμφαδόν: αἰσχύνονται γὰρ οἵ τε ἄνδρες καὶ οἱ θεοὶ τὸ πρῶτον ἐκ τοῦ φανεροῦ τῆς ἡδείας κοίτης τυχεῖν. b. ἢ οὕτως· αἰδοῦνται, ὦ Ἄπολλον, [οἵ τε ἄνδρες καὶ οἱ θεοὶ] φανερῶς τὸν ἔρωτα λέγειν. BDEGQ

75a. καὶ γὰρ σέ: καὶ γὰρ σέ, ὃν οὐδὲ θεμιτὸν οὐδὲ δυνατὸν ψεύσασθαι, παρέτρεψεν ὁ προσηνής σου τρόπος ἐρωτᾶν με περὶ Κυρήνης τοῦ γένους καὶ τῆς μίξεως, καίπερ εἰδότα ἀκριβῶς πάντα. b. ἡ αἰδὼς ἐποίησέ σε τὸν μάντιν πυνθάνεσθαι, ὃν οὐδεμία διαφεύγει ἀλήθεια, πάντα δὲ τὰ μέλλοντα προγινώσκεις. BDEGQ

77. κούρας δ' ὁπόθεν γενεὰν ἐξερωτᾷς ὦ ἄνα: ὁ BDEGQ

1 l. BE: κρυπταὶ κλαΐδες DGQ 2 τοὺς (alt.)] οὓς B (om. puncto post συνουσίας) 3 ἀπόλλω B 4 ὁσία BE ὅσια D || κλειτὰν DEQ || οἱ χεῖρα B || χέρα DG 6 ὁ om. D || μάντις γὰρ εἶ om. D 9 φησί, πειθοῦς B 10 εἰσιν αἱ κλ. τ. ἱ. συνουσ. DG || οὐσιῶν E || αἱ] ἐν E 11 γὰρ B: om. DEGQ; seclusi || τοῦτο — 13 διαλέγεσθαι om. D || ἀπ' ἐραθιῶν E ἐπερυθριῶν GQ || γὰρ om. E 12 αἰσχύνεται om. G || ἐκ τοῦ φανεροῦ om. Q 14 l.] ἢ οὕτως B || γὰρ om. B 15 τὸ πρῶτον om. Q 16 οἵ τε — 17 θεοὶ om. DEGQ; seclusi 17 φανερῶς BE: φανερὸν DGQ 18 l. E: + τὸν οὐ θεμιτόν DGQ + τὸν οὐ θ. ψεύδει θιγεῖν B || οὐδὲ θεμιτὸν DEG: οὐ θεμιτὸν, φησὶν B om. Q 19. 20 ἐρωτᾶν] ἐρωτᾷς δὲ B 21 sch. 75b l. null. Q: ἢ οὕτως B ἄλλως DG καὶ γάρ σε ψεύδει θιγεῖν E || σε om. DQ 23 post προγινώσκεις sch. 75a (usque ad τοῦ γένους) repet. E 24 l.] κούρας γενετὰν ἐξερωτᾷς ὦ ἄναξ E κ. δ' ὁπόθεν γενεὰς ἐξερωτᾷς B κούρας δ' ὁπόθεν DGQ

λόγος ἠθικός· ἐμὲ ἐρωτᾷς, ὦ δέσποτα Ἄπολλον, πόθεν τῆς κόρης ἡ γενεὰ καὶ τίνες οἱ γονεῖς; ὅστις πάντων τῶν ὑπὸ τὸν βίον οἶδας τὸ τέλος καὶ πάσας τὰς ὁδοὺς καὶ ὅσα ἐν τῷ ἔαρι φύλλα ἀναφύει.

BDEGQ 86. *χὤ,τι πόθεν ἔσσεται: καὶ πόθεν νῦν τὴν ἀρχὴν μέλλει λαμβάνειν, καλῶς καὶ ἀπταίστως καθορᾷς. ἀπὸ κοινοῦ, ὃς ταχὺ πάντα οἶδας καὶ δύνασαι, ἐμὲ περὶ τῶν τῆς κόρης γονέων ἐρωτᾷς;* 5

BDEGQ 88 a. *εἰ δὲ χρὴ καὶ πὰρ σοφὸν ἀντιφερίξαι: εἰ δὲ* **BEGQ** *χρὴ καὶ σοφῷ σοι ὄντι ἐξισωθῆναι, ἐρῶ.* b. *ἄλλως· εἰ δὲ ἐξισωθῆναί σοι δεῖ καὶ μαντεύσασθαι, ὡς σὺ μαντεύῃ, [ἐρῶ].* 10

BDEGQ 89. *ἵκεο βᾶσσαν: παραγενοῦ ταύτῃ πόσις, ταύτην τὴν βῆσσαν καὶ τὸ σπήλαιον, ἔξωθεν τὸ καταλιπών.*

BDEGQ 90 a. *καὶ μέλλεις ὑπὲρ πόντου: μέλλεις γὰρ αὐτὴν διὰ τοῦ πόντου εἰς τὸν τοῦ Διὸς ἔξοχον κῆπον ἐνεγκεῖν. φησὶ δὲ τὴν Λιβύην.* 15

BDEGQ 90 b. *Διὸς ποτὶ κᾶπον: τὴν Λιβύην Διὸς κῆπον λέγει διὰ τὸ πλησιάζειν τῇ Αἰγύπτῳ, ἣν Διὸς τέμενος οἱ ποιηταί φασιν* (P. IV 56). c. *ἢ διὰ τὸ τὸν Ἄμμωνα Δία νομίζεσθαι. Ἄμμων Ὀλύμπου δέσποτα* (fr. 36)· *καὶ πάλιν* (P. IV 66)· *Διὸς ἐν Ἄμμωνος θεμέθλοις. Ἄμμωνος δὲ ἡ Λιβύη.* 20
d. *ἄλλως· πῶς Διὸς κῆπος ἡ Λιβύη; ὅτι δοκεῖ ὁ Ζεὺς ἐν*

---

2 *κόρης* **BDG**: *κυρήνης* **EQ** rec. ‖ *γενεὰ*] *γέννα* **B** ‖ *πάντων* om. **Q** 3 *τῶν βίων* **E** ‖ *οἶδε* **E** 4 *ἀναφύει* ⟨*ἡ γῆ*⟩ rec., Lehrs p. 150 5 l. **E**: + *εὖ καθορᾷς* **B** *χ' ὥτι πόθεν* **DG(Q)** ‖ *νῦν* om. **B** 8 *ἐρωτᾶν* **E** 9 l. **E**: + *ἐρέω* **B** *εἰ δὲ χρὴ* **D** *εἰ δὲ χρὴ καὶ πὰρ σοφόν* **GQ** 10 *ἄλλως*] *ἢ οὕτως* **B** 11 *ἐξισ. σοι δεῖ*] *χρὴ ἐξισ. σοι* **B** *φησιν ἐξισ. σοι δεῖ* **E** *ἐξισ. σοι δεῖ φησι* **Q** *ἐξισ. δεῖ φησι* **G** ‖ *μαντεύ[εσ]θαι* **Br** ‖ *ἐρῶ* om. **EGQ**; seclusi 12 l. om. **B** ‖ *παραγεροῦ* **E** ‖ *τὴν*] *τὴς* **E** 13 *σπήλαιον*] *παλαιὸν* **E** ‖ *ἔξωθεν τὸ* **E**: *ἔξωθεν δὲ τὸ* **B** *ἔξωθεν* **Q** om. **DG** 14 l. om. **B** ‖ *πόντ(ου)* **DE** *ποντίου* **G** ‖ *μέλλεις* (alt.) **B**(**E**^{cp}**G**^{cp}): *μέλλει* **DQ** ‖ *αὐτὸς* **DQ**(**G**^{cp}) 15 *φησὶ* — 16 *λιβύην* om. **B** 16 *δὲ* om. **E** 17 l. **E**: *διὸς ἔξοχον ποτὶ κῆπον* **Q** *ἔξοχον ποτὶ κᾶπον* (*κῆπον* **D**) *ἐνεῖκαι* (-*εν* **D**) **DG** om. **B** ‖ *λέγει δὲ τὴν λ. δ. κῆπον* **B** 19 *τὸν* om. **E** 19. 20 *νομίζεσθαι* **EQ** rec.: *ὀνομάζεσθαι* **BDG** 20 *δέσποτα*] + *φησί* **B** ‖ *καὶ* — 21 *θεμέθλοις* om. **D** 22 *πῶς* om. **B** ‖ *δοκεῖ* om. **Q** ‖ *ὁ*] *ὡς* **B**^{pc}

Λιβύη Ἄμμων τιμᾶσθαι· ὥς φησι Φαῖστος ὁ τὰ Λακεδαιμονικὰ συνταξάμενος (FHG IV p. 472)·

Ζεῦ Λιβύης Ἄμμων κερατηφόρε κέκλυθι μάντι.

92 a. *ἔνθα νιν ἀρχέπτολιν: αὐτήν. ἡ γὰρ πόλις ἀπ'* BDEGQ
5 *αὐτῆς Κυρήνη κληθήσεται.* b. *ἔνθα αὐτὴν, ἐπὶ τὸ ὑψηλὸν μέρος τῆς Λιβύης, δέσποιναν ἀποδείξεις, τὸν ἐκ Θήρας ὄχλον ἀναστήσας καὶ συναθροίσας.* 95 E

94 a. *ὄχθον ἐς ἀμφίπεδον: ἀμφίπεδον εἶπεν ὄχθον* BDEGQ *τὴν Κυρήνην διὰ τὸ αὐτὴν μὲν ἐπ' ὄχθου ἱδρύσθαι, περὶ*
10 *αὐτὴν δὲ πεδιάδα εἶναι.* b. *ἀμφίπεδον δὲ, ἑκατέρωθεν πεδία ἔχοντα.* 99 E c. *ἢ τὸν πανταχόθεν ὁδευόμενον τοῖς πεδίοις.* DGQ

95. *νῦν δ' εὐρυλείμων: ὁ νοῦς· ἐπὶ δὲ τοῦ παρόντος* BDEGQ *αὐτὴν ἡ πλατεῖς ἔχουσα λειμῶνας Λιβύη ὑποδέξεται τὴν ἔνδοξον νύμφην ἐν τοῖς τιμίοις αὐτῆς οἴκοις μετὰ προθυμίας,*
15 *ἔνθα αὐτῇ τὴν μερίδα τῆς γῆς εὐθέως κατασκευάζειν καὶ οἰκονομεῖν ἐννόμως καὶ δικαίως παράσχοι, οὔτε πολυκάρπων φυτῶν ἄμοιρον, οὔτε ἀνεπίγνωστον θηρίων, τουτέστι πολύθηρον.* 94 E

99. *ἵνα οἱ χθονὸς αἶσαν: ὅπου τῆς ἰδίας γῆς μέρος* BDEGQ
20 *δωρήσεται ἡ Λιβύη τῇ Κυρήνῃ οὔτε φυτῶν ἀπεστερημένον οὔτε ἔξω κυνηγεσίων, ὥστε συντελεῖν ἐννόμως αὐτῇ, ὥστε συνάπτεσθαι καὶ συμβάλλεσθαι πρὸς τὴν κατασκευήν.*

---

1 *ὥς*] *ὅ* E ‖ *φησι* om. B ‖ *φαῖστος* b (cl. sch. P. IV 28): *φῆστος* l. 2 *λακεδαιμονικὰ* b (item): *μακεδονικὰ* 2 *συνταξάμενος* E: *συντάξας* B *συγγραψάμενος* DGQ 3 *ζεὺς* Q ‖ *ἄμμωνε* B ‖ *κερατοφόρε* E ‖ *κέκλυθε* Q 4 l.] *ἔνθά νιν* DGQ ‖ *ἀρχέπολιν* B ‖ *αὐτ(ὴν)* G[cp]Q[cp]: *αὐτὴ* E *αὐτὸς* D om. B ‖ *ἡ γὰρ*] *γὰρ ἡ* E 5 *αὐτὴν*] B(G[cp]): *αὐτὸς* DEQ ‖ *αὐτὴν*] + *φησὶν* B ‖ *ἐπὶ* — 6 *λιβύης* post *ἀποδείξεις* trp. Lehrs p. 150 6 *ὦ δέσποινα* E 7 *ἀναστήσας*] + *καὶ συναγείρας* DGQ ‖ 8 l. DGQ: *ἀμφίπεδον. νῦν δ' εὐρυλείμων* E om. B ‖ *ἀμφ. δὲ ὄχθον εἶπε* B 10 *πεδιάδα* B(E[cp]?): *πεδία* DGQ(E[cp]?) ‖ *δὲ* (alt.)] + *λέγεται τὸ* B 11 *ἔχον* B ‖ *ὁδευόμενον*] *ἐπεχόμενον* Schroeder ‖ *πεδίοις*] *περιοίκοις*? Lehrs p. 150; potius *πεζοῖς* 12 *ὁ νοῦς* om. BQ 13. 14 *εὔδοξον* B 16 *ἐννόμως* [B?]E: *εὐκόλως* DGQB[s] ‖ *δικαιῶν* B ‖ *παράσχῃ* s. *παρασχήσει* cj. Lehrs p. 151 17 *θηρίον* E 19 *αἶσαν* om. DGQ 20 *ἀπεστερημένον* h: -*νη* BDEG -*νην* Q rec. 21 ante *ὥστε* praem. l. *συντελέθειν* r (B l. n., sed l. nullum habuisse vid.) 22 *κατασκευήν* BE: *παρασκευήν* DGQ

DEGQ 100 a. *συντελέθειν*: συντελεῖν, κατασκευάζειν, ἢ οἰκο-
BDEGQ νομεῖν. b. ἄλλως· συντελοῦσαν αὐτῇ ἐν ταῖς νομαῖς καὶ
νεμήσεσι, συναύξουσαν αὐτῇ καὶ τὰς φυτείας καὶ τὰ κυνη-
γέσια. ἔνθηρος γὰρ ἡ Λιβύη.
DEGQ 102. *φυτῶν νήποινον*: κυρίως μὲν τὸν ἀνεκδίκητον, 5
νῦν δὲ τὸν ἄμοιρον καὶ ἄπειρον.
BDEGQ 104. *τόθι παῖδα τέξεται*: ὁ νοῦς· ἐν τῇ Λιβύῃ ἡ
Κυρήνη τέξεται παῖδα [λέγει δὲ] τὸν Ἀρισταῖον, ὅντινα ὁ ἔν-
δοξος Ἑρμῆς ἀνελὼν καὶ λαβὼν παρὰ τῆς μητρὸς οἴσει καὶ
δώσει τρέφειν Ὥραις, καὶ Γῇ δώσει ὡς προμάμμῃ τῆς ⟨μη- 10
τρὸς τοῦ⟩ παιδός. ἡ γὰρ Κρέουσα ἡ Ναϊὰς Γῆς παῖς οὖσα
ἔτεκε τὸν Ὑψέα τὸν πατέρα τῆς Κυρήνης.
BDEGQ 105. *Ὥραισι καὶ Γαίᾳ*: καλῶς τῇ Γῇ δίδωσιν, ἐπεὶ
καὶ ἐκ Γῆς δίδωσι καταφέρειν τὸ γένος· Γῆς γὰρ Κρέουσα,
ἧς Ὑψεύς, οὗ Κυρήνη, ἧς Ἀρισταῖος. 15
BDEGQ 107. *ταὶ δ' ἐπιγουνίδιον*: αἱ δὲ Ὧραι καὶ ἡ Γῆ ἐπὶ
τοῖς ἑαυτῶν γόνασι θεῖσαι τὸν Ἀρισταῖον καὶ θαυμάσασαι τὸ
βρέφος ἐνστάξουσι τοῖς χείλεσι νέκταρ καὶ ἀμβροσίαν, καὶ
ποιήσουσιν αὐτὸν ἀθάνατον ὥσπερ Ζῆνα καὶ Ἀπόλλωνα· ἵνα
τὸ ὥσπερ ἔξωθεν ὑπακούσωμεν. 113a B 20
DEGQ 108 a. *θησάμεναι βρέφος αὐταῖς*: δι' ἑαυτῶν.
b. ἢ οὕτως· τοῖς ὄμμασιν.

---

1 συντελεῖν] συντέλλειν E 2 ἄλλως DG(Q): ἢ B αὐτίκα συντελέθ(ειν) E ‖ αὐτῷ E ‖ ἐν] + τῇ οἰκοδομῇ καὶ ἐν DG^cp Q ‖ ταῖς νομαῖς BE: τῇ νομῇ DGQ 3 νεμήσεσι B: νεμεσήσει E νεμήσει G νεμέσει DQ ‖ καὶ συναυξ. Q ‖ συναύξουσαν BE: συν-αυξήσουσαν DQ συναυξήσασαν G ‖ τὰς] + θηρείας καὶ τὰς DGQ 3. 4 τὰς κυνηγεσίας E 4 εὔθηρος B 5. 6 τὸν (utrob.)] τὴν h 5 τὸν] γὰρ E 7 l. E: + ὃν κλυτὸς ἑρμῆς B τόθι παῖδα DGQ ‖ ὁ νοῦς] ἀντὶ [τοῦ] B ‖ λιβύῃ] κυρήνῃ r ‖ ἡ] ὦ E 8 τέξεται] + φησὶ DGQB^s ‖ λέγει δὲ B: φησὶ E τουτέστι DGQ rec. Seclusi 10 ὡς] ὡς . . . (tres litt. c. acc. gr.) B? ‖ προμάμῃ B 10. 11 suppl. b ‖ τῶν παίδων Q 11 ἡ κρ. γὰρ DGQ rec. ‖ ἡ ναϊὰς scripsi: ἡναίας E ἡ ταῖς r (B l. n.) ὠκεανὶς DGQB^s (rec.) 12 ἔτεκε — 14 κρέουσα in B l. n.; suppl. B^s, sed in B pauciora fuisse vid. 13 γαίᾳ r: γᾷ B?DEGQ ‖ ἐπεὶ] ἐπειδὴ E 14 καταφέρει E 17 ἑαυτῶν] αὐτοῖς E ‖ θεῖσαι — θαυμάσασαι om. D ‖ θαυμάσαι E 21 l. E: θησάμεναι ἑαυ-τ(αῖς) DGQ 22 τοῖς E: θησάμεναι τοῖς DGQ

112. ἁγνὸν Ἀπόλλωνα: τὸν Ἀρισταῖόν τινες Ἀπόλ- DEGQ
λωνα, τινὲς δὲ καὶ Ἀγρέα. | ἔστι δὲ τοῦ μέλιτος εὑρετής, ὃ δὴ BDEGQ
τῆς ἀθανασίας δέκατον μέρος φήθησαν εἶναι. 115ᵇ B

113 a. χάρμα φίλοις: θρέψουσι δὲ αὐτὸν τοῖς ἀνθρώ- BDEGQ
5 ποις χαρὰν καὶ ὄφελος, ἀκόλουθον ὄντα τῶν προβάτων. πρὸ
γὰρ τοῦ γενέσθαι Ἀρισταῖον τὰ πρόβατα ὀπάονας οὐκ εἶχεν.
b. ἄλλως· ἀκίνητον τῶν προβάτων ἀκόλουθον αὐτὸν θή-
σονται, τοῖς δὲ αὐτὸν Ἀρισταῖον καλεῖν, καὶ ἀπὸ κοινοῦ τὸ
θήσονται.

10 115 a. Ἀγρέα καὶ Νόμιον: ἰστέον ὅτι τὸν Ἀρισταῖον BDEGQ
διὰ τὸ τὴν κτηνοτροφίαν καὶ κυνηγεσίαν εὑρηκέναι Ἀγρέα
καὶ Νόμιον, Δία καὶ Ἀπόλλωνα προσηγόρευον. 112 B
b. φαίνεται δέ, ὅτι καὶ τὴν ἐλαιουργίαν καὶ μελιτουργίαν
πρῶτος ἐπινενόηκεν Ἀρισταῖος.

15 117 a. ὣς ἄρ' εἰπὼν ἔντυεν: οὕτως εἰπὼν ὁ Χείρων BDEGQ
παρεσκεύαζε τὸν Ἀπόλλωνα τελειοῦν τὸ τῶν γάμων τέλος.
b. ἄλλως· ἕτοιμον αὐτοῖς τόπον ἐποίει, ἵνα οὕτως ὁ γάμος
κρανθῇ. c. ἢ ὁμιλήσας, ὅτι πολυομίλης γενηθήσεται ὁ

---

2 Ath. II p. 39b 10—14 Arist. fr. 511. sch. Ap. Rh. 2, 507. Athenag. 14. Diod. 4, 81. Plin. h. n. 7, 199. Nonn. Dion. 5, 229 sqq.

---

1 ἀριστέα **DG** ‖ τινες **E**: τινὲς μὲν **DGQ** 2 καὶ om. **Q** ‖ δὲ] + καὶ **B** ‖ εὑρετὴς] + ὁ ἀρισταῖος [**B**] (non iam legi potest, sed habuit) **r** 3 ἀμβροσίας Lehrs p. 152 ex Athen. ‖ μέρος] εἶδος μέρος (**D**)**G** (qui μέρος supra εἶδος hab.) **Q** εἶδος rec. 4 l.] ἀνδράσι χ. φ. **B** 5. 6 πρὶν γὰρ γένηται ἀρισταῖος **B** ‖ εἶχον **E** 7 ἄλλως] + ὁ .... (lac. 4 litt.; h. e. ὀπάονα) **E** ‖ εὐκίνητον **B** 8 τοῖς — καλεῖν om. **D** ‖ τοῖς **EGQ**: τινὲς **B** οἱ **B**[s] ‖ αὐτὸν] τὸν **r** ‖ ἀρισταῖον] + φασι **B** + ἀγρέα φασι **r** ‖ καὶ ἀπὸ κοινοῦ **EGQ**: ἀπὸ κοινοῦ γὰρ **B** ἀπὸ κοινοῦ **Db** 10 l. [**B**?] **Er**: ἀγρέα **DGQ**. ἀγρ. καὶ νόμ. cum iis quae praecedunt conjunx., sch. 115a ἄλλως praem. **b**; aliter Lehrs p. 151 ‖ ἰστέον — ἀρισταῖον] ἔνιοι δὲ **Br** (ἰστέον — ἀρισταῖον sine dub. om. **B**) 11 τὸ om. **DGQ** τὴν om. rec. ‖ καὶ] + τὴν **DGQ** ‖ κυνηγίαν **B**(**E**[cp]?) 12 δία] διὸ **E** 13 μελλιττουρ(γίαν?) **B** (cp. dub.) 14 ἐπινενόηκεν **BE**: ἐπενόησεν **DGQ** 15 ἔντυεν om. **DGQ** 18 ὁμιλήσας corruptum? ἐπινοήσας Schroeder ‖ ὅτι] + ἐκ κυρήνης **DGQ** ‖ πολυομίλ(ης) **B** (prave): πολυομί.κης (lac. post -μι) **E** ποιμενικὸς **DGQ** πολυώνυμος Lehrs p. 152 haud male

Ἀρισταῖος καὶ ἀθάνατος παῖς, παρεσκεύασεν αὐτῷ τὸν γάμον. d. τουτέστιν, εἰ καὶ ἀνεβάλλετο τὸν γάμον ὁ Ἀπόλλων, ἀλλὰ τοῖς λόγοις προετράπη ταχέως μιχθῆναι.

BEGQ e. ὣς ἄρα εἰπών: ἀντὶ τοῦ, εἰπόντος τοῦ Χείρωνος ηὐτρεπίζετο αὐτοῖς τὰ πρὸς τὸν γάμον. 5

BDEGQ 119a. ὠκεῖα δ' ἐπειγομένων: σπευδόντων δὲ τῶν BDGQ θεῶν ταχεῖα καὶ ἡ πρᾶξις καὶ ἡ κατόρθωσις γίνεται. b. αἱ δὲ ὁδοὶ τῶν θεῶν βραχεῖαι καὶ μικραί εἰσι διὰ τὸ ταχὺ καὶ BEGQ ἀκοπίαστον αὐτῶν. c. ἄλλως· γλαφυρῶς ἀπέπαυσε τὸν νοῦν ἀπὸ τῆς μίξεως, εἰπὼν ὅτι οἱ θεοὶ πάντα ἀνύουσι καὶ ὁδοὺς 10 ἔχουσι βραχείας, ὧν ἂν θέλωσι πρᾶξαι. 121c B

BDEGQ 121a. κεῖνο κεῖν' ἆμαρ: ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ἐκεῖνο τὸ πρᾶγμα διετέλεσεν, ἐν ᾗ ὡμίλησεν αὐτῷ ὁ Χείρων, καὶ ἐτελειώθη τὰ περὶ τὸν γάμον. b. ἢ οὕτως· ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ἁρπάσας τὴν Κυρήνην ἐκόμισεν εἰς Λιβύην. 123 B 15

BQ c. ἄλλως· κεῖνο: εὐθὺς ἤγαγεν αὐτὴν εἰς Λιβύην καὶ συνῆλθεν αὐτῇ. 121a B

BDEGQ 123a. ἐν πολυχρύσῳ Λιβύας: ἐν δὲ τῷ πολυχρύσῳ θαλάμῳ τῆς Λιβύης ἐμίγη αὐτῇ ὁ Ἀπόλλων, ἔνθα τὴν καλλίστην πόλιν καὶ ἔνδοξον κατὰ τοὺς ἀγῶνας περιέπει ὁ Ἀπόλλων 20 τὴν ὁμώνυμον τῇ νύμφῃ Κυρήνην. b. ⟨Λιβύας:⟩ ἡ ἡρωίς.

BDGQ 126a. καὶ νῦν ἐν Πυθῶνί νιν: καὶ νῦν δὲ ἐν τῇ θείᾳ Πυθῶνι νικήσας ὁ Τελεσικράτης ἐπιφανῆ ἐποίησε τὴν DGQ Κυρήνην. b. ὁ δὲ Τελεσικράτης Καρνειάδου παῖς ἦν.

---

4 l. om. **B** ‖ ἄρ' **GQ** ‖ ἀντὶ τοῦ **EGQ**: ἢ οὕτως **B** ‖ οὕτως εἰπόντος **B** 4. 5 εὐτρ. **BQ** 6 l.] + θεῶν πρᾶξις ἤδη **B** ‖ ὠκεῖαι **DGQ** 7 ταχεῖαι καὶ αἱ πράξεις καὶ αἱ κατορθώσεις γίνονται **DGQ** ‖ sch. 119b praem. ἢ οὕτως **B** 9 ἀκοπίατον **B** ‖ ἄλλως om. **B** ‖ γλαφυρῶς] + δὲ **B** ‖ ἀπέσπασε Lehrs p. 152 10 πάντα οἱ θεοὶ **B** 11 ἐθέλωσι **B** 12 ἦμαρ **E** 13 διετέλεσεν] τελέσας **E** ‖ ὡμίλησεν **B**: ὁμιλήσας **E** συνωμίλησεν **DGQ** ‖ καὶ om. **B** 14 τῶν γάμων **E** 15 ἐκόμισεν **BE**: ἤγαγεν αὐτὴν **DGQ** ‖ λιβύην] + καὶ συνῆλθεν αὐτῇ **Q** 16 ἄλλως· κεῖνο **G**: ἀντὶ τοῦ εἰπεῖν **B** ‖ εὐθέως ἤνεγκεν **B** 18 l. praem. θαλάμῳ δὲ μίγεν **B** 19 ἔνθα — 20 ἀπόλλων om. **DG** 20 περιέπει] περιε.ποίει **E** (lac. post ε) 21 l. addidi ‖ ἡ ἡρωίς **DEGQ**: ἢ ἡρωϊκὴν **B** τὴν πόλιν ἢ τὴν ἡρωίνην Lehrs p. 152 (post sch. 126a) 22 νιν om. **DGQ** ‖ καὶ (alt.)] ὁ νοῦς· καὶ **GQ** 24 καρνειάδου **b**: καρνίδου **Q** κρονίδου **DGB**[s] (qui haec supra 23 τελεσικρ. add.)

130. *ἅ νιν εὔφρων δέξεται*: ἥτις αὐτὸν ἡ Κυρήνη BDGQ
εὐμενὴς δέξεται ἡ καλὰς ἔχουσα γυναῖκας, πατρίδι δόξαν
ἐπέραστον ἄγοντα αὐτὸν ἀπὸ Δελφῶν.

133 a. *ἀρεταὶ δ' αἰεί*: αἱ δὲ μεγάλαι ἀρεταὶ ἀεὶ καὶ BDEGQ
5 πολύμυθοί εἰσι, ἀντὶ τοῦ πολλῶν λόγων δέονται πρὸς τὰ ἐγ-
κώμια. b. ἢ οὕτω· περὶ τῶν μεγάλων ἀρετῶν πολλὰ ἔνε-
στιν εἰπεῖν.

134 a. *βαιὰ δ' ἐν μακροῖσιν*: ἐάν τις, φησί, μακρὰ BDEGQ
ἐκλάβῃ πράγματα καὶ βαιὰ ποιήσῃ αὐτὰ τῷ λόγῳ, ἀκοὰ σο-
10 φοῖς ἐστι, τουτέστι σοφοῦ ἀκροατοῦ δεῖται, ἵνα συνῇ τὰ
πολλὰ ἐπιτετμημένα. b. ἢ οὕτως· ἐν μεγάλοις δὲ κατορθώ-
μασιν ὀλίγα συντιθέναι καὶ λέγειν, τοῖς σοφοῖς ἡ τοιαύτη
ἀκοὴ καὶ ποίησις ᾠκείωται.

135. *ὁ δὲ καιρὸς ὁμοίως*: παντὸς δὲ πράγματος τὸ BDEGQ
15 τέλος καὶ κορυφὴν ὁμοίως ἡ εὐκαιρία ἔχει, ἀντὶ τοῦ δεῖ κατὰ
καιρὸν καὶ μεγάλα καὶ μικρὰ λέγειν.

137 a. *ἔγνων ποτὲ καὶ Ἰόλαον*: ὁ γὰρ Ἰόλαος τεθνη- BDEGQ
κὼς ἐπειδὴ ἔμαθεν Εὐρυσθέα ἐξαιτούμενον παρ' Ἀθηναίων
τοὺς Ἡρακλείδας καὶ ἐπαπειλοῦντα πόλεμον, εἰ μὴ δώσουσιν,
20 εὔξατο ἀναβιῶναι, καὶ ἀναβιώσας ἀπέκτεινε τὸν Εὐρυσθέα
καὶ πάλιν τέθνηκεν. οἱ δὲ πρὸς τὸ πιθανώτερον ἕλκουσι
τὴν ἱστορίαν, ὅτι γέρων ὢν ηὔξατο ἀνηβῆσαι, καὶ τελέσας
τὸν ἆθλον εὐθέως ἐτελεύτα. b. ὁ δὲ νοῦς· ἐγνώρισαν δέ
ποτε καὶ αἱ ἑπτάπυλοι Θῆβαι τὸν Ἰόλαον οὐκ ἀτιμάσαντα
25 τὴν τῶν πραγμάτων εὐκαιρίαν, οἱονεὶ καταχρησάμενον τῇ εὐ-
καιρίᾳ. c. ἢ οὕτως· ἔκρυψεν ἡ Θήβη αὐτὸν, ἐπεὶ τὸν Εὐ-

---

1 l. **B**: *ἅ νιν* **DGQ** 2 *εὐμενῆ* **DG** *ἐμμενὴς* **Q** ‖ *τῇ κ. ἐχούσῃ* Lehrs p. 153 3 *ἄγοντα αὐτὸν* **DGQ**: *ἄγοντι αὐτῷ* **B**; *αὐτὸν* del. Lehrs l. l. 4 l.] + *μεγάλαι πολύμυθοι* **B** ‖ *ἀεί* **GQ** 5 *ἀντὶ τοῦ*] *τουτέστι* **B** ‖ *λόγων*] *μύθων* **Q** 6 *περί*] + *δὲ* **DGQ** 6. 7 *ἔνεστιν*] *ἔστιν* **E** 8 l. **BE**: *βαιὰ δ' ἐν* **DG** *βαιὰ δ'* **Q** ‖ *φησὶ* om. **Q** 9 *ἀκοὴ* **B**[8] (**B** legi nequit) 10 *τουτέστι*] iteravit **B** *ἤγουν* **DG** ‖ *ἀκροατοῦ σοφοῦ* **DGQ** 11 *πολλὰ*] *πολὺ* **B** ‖ *ἢ καὶ οὕτως* **B** 13 *ἀκοὰ* **DGQ** 14 l. om. **B** 15 *ἔχει ἡ εὐκ.* **DG** ‖ *ἀντὶ τοῦ*] *τουτέστι* **B** 17 l. **BE**: *ἔγνων ποτέ* **DGQ** 18 *ἐπεὶ* **B** 20 *εὔξατο — ἀναβιώσας* om. **D** ‖ *ηὔξατο* **E** rec. ‖ *ἀναβιοὺς* **B** rec. 21 *τὸ* om. **E** 23 *ἐτελεύτησεν* rec. ‖ *ἐγνώρισε* **E** 24 *αἱ* om. **BEQ** ‖ *ἑπταίπυλοι* **B** 26 *θήβα* **BDG**

ρυσθέα ἀπεκεφάλισεν, ἐν τῷ τοῦ Ἀμφιτρύωνος σήματι, ὅπου αὐτοῦ ὁ προπάτωρ ἦν κείμενος. ὅτι δὲ εὐξάμενος ὁ Ἰόλαος ἀνενεώθη καὶ ἀπέκτεινεν Εὐρυσθέα, δῆλον· ηὔξατο δὲ τῷ Διῒ ἐπὶ μίαν ὥραν ἡβῆσαι, ὅτε διὰ τοὺς Ἡρακλείδας ἐν τῇ Ἀττικῇ καταφυγόντας Εὐρυσθεὺς Ἀθηναίοις πόλεμον συν- 5 εκρότησεν.

DEGQ 138. *οὐκ ἀτιμάσαντά νιν*: αὐτόν. τίνα; τὸν καιρόν. εἰς γὰρ δέον καὶ ἐν καιρῷ τοῖς πράγμασι κατεχρήσατο συνταχθεὶς τοῖς περὶ τὸν Ὕλλον καὶ τὴν κεφαλὴν τοῦ Εὐρυσθέως ἀποκόψας. 10

BDEGQ 139. *τὸν Εὐρυσθέως ἐπεί*: ὅντινα τὸν Ἰόλαον, ἐπειδὴ τῇ τοῦ ξίφους ἀκμῇ τὴν τοῦ Εὐρυσθέως κεφαλὴν ἀπέτεμεν, ὑποκάτω τῆς γῆς ἔκρυψαν παρὰ τῷ τάφῳ τοῦ ἱππικωτάτου Ἀμφιτρύωνος. 145b D

BDGQ 145 a. *ἔνθα οἱ*: ἔνθα ὁ τοῦ πατρὸς αὐτοῦ πατὴρ Ἀμ- 15 φιτρύων ὁ τῶν Θηβαίων φίλος καὶ ξένος μετοικήσας ἔκειτο BDEGQ εἰς τὰς Θήβας. 148 D b. ἐν τῇ ἀμαξιτῷ πλησίον τοῦ τάφου DGQ Ἀμφιτρύωνος ἔθαψαν Εὐρυσθέα, ἵνα ἀεὶ πατῆται. c. *λευκίπποις* δὲ εἶπε διὰ Ζῆθον καὶ Ἀμφίονα. 145a D

B 148 a. *τέκε οἷ καὶ Ζηνί*: τῷ Ἀμφιτρύωνι ἡ Ἀλκμήνη. 20
BDEGQ b. ὁ νοῦς· ἐγέννησε δὲ τῷ Ἀμφιτρύωνι καὶ τῷ Διῒ μιγεῖσα ἡ Ἀλκμήνη ἐν μιᾷ ὠδῖνι διδύμων υἱῶν πολεμικωτάτην δύναμιν.

BDEGQ 149. *ἐν μόναις ὠδῖσιν*: ἐν ἑνὶ τόκῳ καὶ μιᾷ ὠδῖνι. ἐν μιᾷ γὰρ λέγεται νυκτὶ καὶ τῇ αὐτῇ συνευνασθέντων Διὸς 25

---

1 τοῦ om. E 3 ἀνενεώθη DGQ: ἀνενέωσε E ἀνεβίω B ‖ προσηύξατο Q 4 διὰ om. B 9 τοῖς et G 11 l. E: + κεφαλάν B τὸν εὐρ. DGQ ‖ εὐρυσθέος D 12 τοῦ om. E ‖ ἀπέτεμνεν E 15 l.] + προπάτωρ DG ‖ τοῦ] πρὸς B 17 sch. 145b praem. ἄλλως DG(Q) ‖ ἐν] + γὰρ B 18 τὸν εὐρ. B 18. 19 λευκίππους G 20 l. E: + μιγεῖσα B τέκε οἱ DGQ ‖ τῷ — ἀλκμήνη B: om. DEGQ 21 ὁ δὲ νοῦς BD ‖ τῷ — 22 ἀλκμήνη B: τῷ ἀμφ. ἀλκμήνη καὶ τῷ διὶ μιχθεῖσα E καὶ ζηνὶ μιγεῖσα καὶ τῷ ἀμφ. ἡ ἀλκμ. DGQ (rec.) 22 ὀδύνῃ E 24 l. om. B ‖ ἐν ἑνὶ b (rec.): ἐν ἑνὶ γὰρ B ἐν DEGQ[corr]. Ft. ἑνί, cl. P. III 75 25 ἐν — νυκτὶ (D)EGQ (D νυκτὶ s. v. hab.): λέγεται ἐν μιᾷ νυκτὶ B ‖ καὶ τῇ αὐτῇ om. B ‖ ζηνὸς Q

καὶ Ἀμφιτρύωνος [τῇ Ἀλκμήνῃ] γενέσθαι τοῦ μὲν Ἡρακλέα, τοῦ δὲ Ἰφικλέα.

151. *κωφὸς ἀνήρ: κωφός ἐστι καὶ ἀπαίδευτος ἐκεῖνος* BDEGQ *ὁ ἀνήρ, ὅστις τῷ Ἡρακλεῖ τὸ ἑαυτοῦ μὴ περιβάλλει στόμα,*
5 *ἀντὶ τοῦ ὅστις μὴ ἐγκωμιάζει τὸν Ἡρακλέα, καὶ ὅστις μηδὲ τῶν τῆς Δίρκης ὑδάτων αἰσθάνεται | καὶ ἔχει μνήμην, ἀπὸ* BDGQ *κοινοῦ κωφός ἐστιν. ὁ γὰρ μὴ ἀκούσας οὐδὲ εἰπεῖν δύναται.*

156 a. *τοῖσι τέλειον ἐπ' εὐχᾷ: πεπονθώς τι ἐξ αὐτῶν* BDEGQ *τέλειον ἀγαθὸν διὰ τοῦ κώμου ὑμνήσω. τί δ' ἂν εἴη πεπον-*
10 *θώς; δηλαδὴ καὶ τὰ Ἰολάεια ἐνίκησεν ὁ νικηφόρος. τὸ δὲ ὑπέρβατον· τοῖσι κωμάσομαι τέλειόν τι παθὼν ἐπ' εὐχᾷ [ἐσλόν].* b. *ἄλλως· τοῖσι τέλειον ἐπ' εὐχᾷ· ὁ λόγος παρὰ τοῦ ὑμνουμένου πρὸς τὸν Ἡρακλέα καὶ Ἰφικλέα· τετυχηκὼς τῆς νίκης τῶν Ἡρακλείων κἀγὼ ἀντικωμάσω αὐτούς,*
15 *φησί, καὶ ὑμνήσω.*

158. *Χαρίτων κελαδεννᾶν μή με λίποι καθαρὸν* BDEGQ *φέγγος: τῶν ἐνδόξων Χαρίτων τὸ ἀνθηρὸν φέγγος καὶ ἡ παρρησία μή με λίποι, ἀντὶ τοῦ γένοιτό μοι χαρίεντα γράφειν.*

160. *Αἰγίνᾳ τε γάρ: διορίζομαι γὰρ τὸν νικηφόρον ἔν* BDEGQ
20 *τε Αἰγίνῃ καὶ τρίτον ἐν Μεγάροις νικήσαντα ταύτην τὴν πόλιν εὐκλεᾶ καταστῆσαι, ἔργῳ τὴν σιγηλὴν καὶ ἀπαρρησίαστον ἀμηχανίαν καὶ αἰσχύνην ἐκφυγών. οἱ γὰρ νικηθέντες ἀμηχανοῦντες καὶ αἰσχυνόμενοι σιωπῇ περιπατοῦσι, μὴ ἔχοντες παρρησίαν μετά τινος διαλεχθῆναι.*
25 161. *φαμὶ Νίσου τ' ἐν λόφῳ: ἐν Μεγάροις· ὡς εἶναι* BDEGQ

---

1 *τῇ ἀλκμήνῃ* B: om. DEGQ. Seclusi 3 l. E: + *τις* B om. DGQ 4 *ἑαυτοῦ* BE: *ἐκείνου* DGQ ‖ *περιβάλλει* B: *παραβάλλει* DEGQ 5 *ἀντὶ τοῦ*] *τουτέστιν* B 6 *αἰσθ. ὑδ.* DG 8 l. (D)EG: *κωμάσομαί τι παθὼν ἐσλὸν* B *τοῖσι τέλ.* Q ‖ *πεπονθώς* B: *ὁ πεπ.* DEGQ 10 *ἰολάεια* E rec.: *ἰόλεια* BDG *ἰόλια* Q
12 *ἐσλόν* B: om. DEGQ; seclusi ‖ *ἄλλως* et l. E: om. B *ἄλλως· τοῖσι τέλ.* DGQ 13. 14 *τετυχηκὼς* om. DG 14 *ἀντικωμάσομαι* DGQ rec. 16 l. B: om. E *χαρ. κελ.* DGQ ‖ *κελαδ[ε]ννᾶν* B 17 *εὐδόξων* B 18 *ἀντὶ τοῦ*] *τουτέστι* B ‖ *μοι χαρίεντα* r: *μοι χαρ. με* DGQ *με χαρ.* B? (aegre legitur) E 19 l. DGQ: + *φ[η]μι [νίσου] τ' ἐν λόφῳ* B *φέγγος αἰγίνᾳ τε γάρ φημι* E 20 *μεγάροισι* B 21 *σιγηλὴν* B: *σιγὴν* E *σιγηλὸν* D(G^cp)Q 24 *μετά τινος*] *ἐναντίον*? Lehrs p. 155 25 l. E: *φαμὶ νίσου* DGQ om. B ‖ *ἐν μεγάροις* om. B ‖ *ὡς* — 236, 1 *νίκας* scripsi: *ὡς*·

τέσσαρας τὰς πάσας νίκας, μίαν μὲν ἐν Αἰγίνῃ, τρεῖς δὲ ἐν Μεγάροις. ὁ δὲ λόγος ἀπὸ τοῦ νικηφόρου.

BDEGQ 163. *σιγαλὸν ἀμηχανίαν*: τῷ ἔργῳ τὴν μὲν σιγωμένην ἀμηχανίαν φυγών, εὔκλειαν δὲ κατακτησάμενος. ἀμήχανον δὲ τὴν σιγὴν εἶπεν, ὅτι κατηφεῖς εἰσιν οἱ νικηθέντες. 5 καὶ ἑτέρωθί πού (fr. 229) φησι· νικώμενοι δὲ ἀγρυξίᾳ δέδενται.

BDEGQ 164. *οὕνεκεν εἰ φίλος ἀστῶν*: διὸ εἴτε τις αὐτῷ τῷ νικηφόρῳ φίλος τῶν πολιτῶν εἴτε ἐναντίος καὶ ἐχθρός ἐστι, τὸ ἐν τῷ κοινῷ πονηθὲν ἀγαθὸν ἀνυμνείτω, αὐτὸν μὴ κατα- 10 βλάπτων τὸν λόγον τοῦ Νηρέως. ἐκεῖνος γάρ, ὁ Νηρεύς, ἔφη δεῖν τὸν καλῶς πράττοντα καὶ μετὰ δικαιοσύνης πάντα τρόπον καὶ παρὰ τῶν ἐχθρῶν ἀνυμνεῖσθαι.

GQ 165 a. *εἴ τις ἀντάεις*: ἔναντα δαείς. b. τὴν νίκην
DGQ τοῦ νικηφόρου. c. ἄλλως· *ἀντάεις*, ἐναντιούμενος, ἐχθρός. 15

BDEGQ 172. *πλεῖστα νικήσαντα*: πολλάκις σε νικήσαντα εἶδον τὰ Παναθήναια ἐν ταῖς ὡρισμέναις τελεταῖς τῆς Ἀθηνᾶς. ὁ δὲ λόγος ἀπὸ τοῦ χοροῦ πρὸς τὸν νικήσαντα.

BDEGQ 173. *ἄφωνοί τε*: ἄφωνοι καὶ ἐν ἑαυταῖς κατὰ τὴν ψυχήν, ὦ Τελεσίκρατες, ἕκασται τῶν παρθένων ηὔχοντό σε ἄν- 20 δρα εὐτυχῆσαι, αἱ δὲ γυναῖκες υἱόν, ἀπὸ κοινοῦ τὸ εὔχοντο ἔμμεν. ηὔχοντο δὲ ἐν τοῖς Ὀλυμπίοις ὁρῶσαί σε καὶ ἐν τοῖς

ἐστι τέσσαρας (δ' E) πάσας νίκας DEGQ ἔστιν οὖν εἰπεῖν τέσσαρας εἶναι τὰς π. ν. B

p. 236 1 μία GQ 2 ὁ δὲ — νικηφόρου om. BE 3 l. E: σιγαλόν DGQ ἄλλως B ‖ ἔργῳ] + φησὶ B 4 κατακτησάμενος DEG: κτησάμενος BQ^pc^ χρησ. Q^ac^ 8 l. E: + εἴ τις ἀντάεις B οὕνεκεν εἰ φ. GQ διὸ εἴ τε τις D 10 αὐτὸν vix sanum; del. Lehrs p. 155 10. 11 καταβάλλων Q 11 τῶν λόγων E 12 καὶ μετὰ — 13 τρόπον om. E 14 post δαείς distinxi 15 ἄλλως] ἀντάεις D 16 l.] + σε B ‖ σε om. EQ 17 ὁ — 18 νικήσαντα in init. scholii (post l.) trp. B 18 δὲ om. BD ‖ νικήσαντα E: νικήσαντα ἤγουν τὸν νικητήν G νικητήν BDQ 19 l. DGQ: εἶδον ἄφωνοι E ἄφωνοί θ' ὡς ἑκάσται (sic) B ‖ τὴν om. DGQ 20 ἕκασται BEGQ (de acc. B non liquet): ἑκάστα D ‖ εὔχοντο B 21 τὸ om. D ‖ εὔχοντο B(E): ἤυχοντο DGQ 22 ηὔχοντο — 237, 1 γῆς om. D ‖ εὔχοντο B ‖ δὲ] τε B ‖ ὀλυμπίοις] + φησὶν B

ἄλλοις ἀγῶσι τῆς πλατείας γῆς καὶ ἐν πᾶσιν ἁπλῶς τοῖς ἐν ἑκάστῃ πόλει ἐπιχωρίοις ἀγῶσι, πανταχοῦ ὁρῶσαί σε αἱ γυναῖκες ταῦτα ηὔχοντο.

177. *ἔν τ' Ὀλυμπίοις*: οὐ τοῖς ἐν Πίσῃ νῦν Ὀλυμ- BDEGQ
5 πίοις· οὐ γὰρ ἂν οὕτως ἔρριψεν ἁπλῶς τὸν λόγον· ἀλλὰ τοῖς ἐν Ἀθήναις. | τὸ δὲ Γῆς, ὅτι καὶ αὐτῇ ἀγὼν ἄγεται ἐν Ἀθή- DEGQ ναις, ὥς φησι Δίδυμος.

178. *ἔν τε καὶ πᾶσιν ἐπιχωρίοις*: ἐκ κοινοῦ νική- BDEGQ σαντα εἶδον καὶ ἐν τοῖς ἀγομένοις ἀγῶσι τῇ Γῇ. λέγει δὲ ἐν
10 Ἀθήναις. ἐκεῖ γὰρ ἄγεται τῇ Γῇ ἀγών, ὥς φησι Δίδυμος.

179 a. . . . . διψώσῃ τῇ ᾠδῇ προστιθέντα. BDEGQ
b. ἀκειόμενόν με καὶ θεραπεύοντα διψῶσαν ᾠδὴν τῷ θέλειν ὑμνεῖν ὑμᾶς, πράσσει τις ἐμὲ καὶ ἀναγκάζει ἔτι τοῦτο ὑπομεῖναι καὶ συμπεριλαβεῖν τὴν τῶν προγόνων ὑμῶν δόξαν.

15 183. *οἷοι Λιβύσσας*: ὁποῖοι ἦσαν μνηστῆρες οἱ τοῦ BDEGQ νικηφόρου πρόγονοι, οἳ περὶ τῆς Λιβυκῆς γυναικὸς ἦλθον εἰς τὴν Ἴρασσαν τὴν τοῦ Ἀνταίου πόλιν πρὸς τὴν ἔνδοξον κόρην. 185b B

185a. *Ἴρασσαν πρὸς πόλιν Ἀνταίου*: ὅτι ὁ ὑπὸ Ἡρα- BDEGQ
20 κλέους καταγωνισθεὶς Ἀνταῖος Ἰρασσεὺς ἦν ἀπὸ Ἰρασσῶν τῶν ἐν τῇ Τριτωνίδι λίμνῃ, ὡς Φερεκύδης φησί (FHG I p. 80).

---

1 ἄλλοις] ἄθλοις καὶ Lehrs p. 155 ‖ πλατείας] βαθείας? Lehrs ibid. ‖ ἐν (pr.) B rec.: οἷον EG οἴων D δοὺς Q 2 σε add. B[s] 3 ηὔχοντο et B? certe r 4 l.] ἄλλως B ‖ οὐ — ὀλυμπίοις] ὀλ. οὐ τοῖς ἐν π. νῦν B ‖ πίσῃ B: πίσσῃ 5 ἔριψεν E 6 αὐτῇ EG[cp]: αὐτὴ D[cp]Q 8 l. E: ἐπιχωρίοις DGQ om. B (s. d.) ‖ κοινοῦ] + γὰρ B 9 λέγει δὲ] τουτέστιν B 10 ἄγεται — ἀγὼν BE: ἄγεται ἀγὼν τῇ γῇ G ὁ ἀγὼν τῇ γῇ D ἄγεται ἀγὼν Q ‖ ὡς φ. δίδ. om. DG 11 sch. 179 l. praem. ἐμὲ δ' οὔ (sic) τις ἀοιδᾶν δίψαν ἀκειόμενον B; ceteri s. d. cum 158 continuant. Aliqua excidisse apparet 12 θιράποντα E ‖ διψῶσαν] ἢ διψῶσαν B ‖ ᾠδὴν] φωνὴν D 13 ἐμὲ om. Q ‖ ἔτι om. E 14 ὑμῶν om. E 15 l.] + ἀμφὶ γυναικός B 16 λιβύης E λιβύσσης D 18 κόρην BE: πόλιν DGQ 19 l. E: ἴρ. πρὸς π. GQ ἴρ. D om. B ‖ ὅτι E: σημείωσαι ὅτι DG[cp]Q (σημειωτέον ὅτι b) ἔνιοι γάρ φασιν ὅτι B ‖ ὁ om. DE 19. 20 ἡρακλέος (D[cp])GQ 20 ὁ ἀντ. E ‖ ἰρασσων D (s. acc.) ἰράσσων b 21 τιοιτωνίδι G τοιτωνίδη Q ‖ ὥς φησι φερ. B

ὁ δὲ Πίνδαρος ὑπὲρ τοῦ χαρίσασθαι τῷ ἐπαινουμένῳ παρατρέψας τὴν ἱστορίαν φησὶν Ἀλεξίδαμον πρόγονον τοῦ ἐπαινουμένου γενέσθαι μνηστῆρα τῆς Ἀνταίου θυγατρός· ὄνομα δὲ αὐτῇ Ἀλκηΐς, ὥς φησι Πείσανδρος ὁ Καμιρεύς (fr. 6 Ki.)· ἕτεροι δὲ Βάρκην. 188 B b. ἄλλως· Ἴρασσα, πόλις Λιβύης, 5 ἣν ᾤκησεν Ἀνταῖος, οὐχ ὁ παλαίσας Ἡρακλεῖ· ἐκεῖνος γὰρ διαλλάσσει τοῖς χρόνοις· ἀλλ' ἕτερος, ὃς τὴν θυγατέρα τοῖς μνηστευομένοις προὔθηκεν ἆθλον δρόμου τῷ φθάσαντι λαβεῖν κελεύσας. ὅμοιον δὲ ἐποίησε Δαναῷ· καὶ γὰρ ἐκεῖνος τὰς θυγατέρας δρόμῳ προὔθηκε. τὴν δὲ κόρην ταύτην τῶν 10 Τελεσικράτους τις προγόνων Ἀλεξίδαμος μνηστευσάμενος καὶ

BEGQ νικήσας τὸν δρόμον ἔγημεν. c. ἢ ὅτι Ἀνταῖος ὁ παράνομος, ὃν ἀνεῖλεν Ἡρακλῆς, οὗτός φησι, παραγενόμενον τὸν Ἀλεξίδαμον δρόμῳ νικήσαντα τοὺς σὺν αὐτῷ μνηστῆρας, λαβεῖν γυναῖκα τὴν θυγατέρα τοῦ Λιβύων βασιλέως. 185a B 15

(B)DEGQ 185 d. *Ἀνταίου*: οὐ τοῦ ξενοκτόνου, ἀλλὰ ἑτέρου· ἐκεῖνον γὰρ ἀνεῖλεν Ἡρακλῆς, ᾧ συνήκμασεν Εὔφημος, οὗ ἀπόγονοι μετῴκησαν εἰς Κυρήνην.

BDEGQ 188. *τὰν μάλα πολλοί*: ἥντινα τὴν Ἀνταίου θυγατέρα πολλοὶ τῶν ἀρίστων ἀνδρῶν ᾔτουν· ᾔτουν δὲ πολλοὶ μὲν 20 συγγενεῖς αὐτῆς, πολλοὶ δὲ καὶ ἐκτὸς ὄντες γένους, ἐπειδὴ ἐκπρεπὲς αὐτῆς ἐθρυλλεῖτο καὶ ἐθαυμάζετο εἶναι τὸ κάλλος. τῆς γὰρ ἐντίμου αὐτῆς νεότητος καρπὸν δρέψασθαι ἐβούλοντο· ἐκ δὲ τούτου, τὴν παρθενίαν αὐτῆς ἐβούλοντο λαβεῖν.

---

1 ὑπὲρ DGQ: ὑπὸ BE ‖ ἐπαινουμένῳ] + γενέσθαι E 4 πείσανδρος] πίνδαρος B ‖ καμηρεύς BD 5 ἄλλως] + ἴρασσαν πρὸς πόλιν E ‖ ἴρασα Q[1] ‖ λιβύης om. Q 6 ὁ ἀντ. E 7 διαλάσσει BDQ ‖ χρόνοις] + ὃν καὶ ἀνεῖλεν ἡρακλῆς B (cfr. sch. 185d) ‖ ἀλλ' ἕτερος om. Q ‖ post ἕτερος inser. 17 ᾧ συνήκμασεν — 18 κυρήνην B (cfr. ad 16) 7. 8 τοῖς μνηστ. om. B 8. 9 λαβεῖν om. Q 10 ταύτης E 12 τὸν del. B? ‖ sch. 185c init. corrupt.; ὅτι ⟨οὐκ⟩ Ἀντ., et οὗτος ⟨ᾧ⟩ φησι Lehrs p. 156 ‖ ὁ ἀντ. BQ 13 ἀνελεῖν E ‖ οὕτως Q 16 ἀνταίου — ἑτέρου om., cetera h. sch. in sch. 185b trp. B; cfr. ad 7 17 συνάκμασεν E 17. 18 οὗ οἱ ἀπόγ. D 19 πολλοί om. DGQ ‖ πολλοί] + ὁ νοῦς B ‖ τὴν] τοῦ E 20 ᾔτουν om. E ‖ ᾔτουν δὲ om. GQ 21 ἐκτὸς γένους ὄντες B 22 εὐπρεπὲς DGQ ‖ ἐθαυμ. καὶ ἐθρυλλ. B 24 λαβεῖν] lac. Q

194. *πατὴρ δὲ θυγατρί*: ὁ δὲ πατὴρ Ἀνταῖος ἐνδοξό- **BDEGQ**
τερον τῇ ἑαυτοῦ θυγατρὶ κατασκευάζων τὸν γάμον, πεποίηκεν
ὅπερ ἤκουσέ ποτε ἐν Ἄργει τὸν Δαναὸν ταῖς τεσσαρακοντα-
οκτὼ θυγατράσιν ἑαυτοῦ πεποιηκέναι, κἀκεῖνον ἐμιμήσατο.
5 195 a. *ἄκουσε Δαναόν*: ἤκουσε γὰρ τὸν Δαναὸν ἐν **BDEGQ**
Ἄργει ὁποῖον ταῖς τεσσαρακονταοκτὼ θυγατράσιν αὐτοῦ γά-
μον εὗρε, πρὶν τὸ μέσον τῆς ἡμέρας γενέσθαι. τὸ γὰρ ἑω-
θινὸν ἠγωνίσαντο καὶ πρὸ μεσημβρίας διελύθησαν τοῦ δρό-
μου, καὶ ἕκαστος ἣν ἠβουλήθη ἔλαβεν. 200 **B** b. ζητεῖται
10 δέ, διατί τεσσαρακονταοκτὼ εἶπε πεντήκοντα οὐσῶν; καὶ ῥη-
τέον, ὅτι Ἀμυμώνη μὲν προδιαφθαρεῖσα ἦν Ποσειδῶνι, Ὑπερ-
μήστρα δὲ ἐρασθεῖσα Λυγκέως, αἱ δὲ ἄλλαι συνδραμοῦσαι τῷ
πατρῴῳ βουλήματι ἀνεῖλον τοὺς Αἰγύπτου παῖδας. 207b **B**
200. *ὠκύτατον γάμον*: ὁ Δαναός, φησίν, ἔστησε τὰς **BDEGQ**
15 θυγατέρας ἕως μέσης ἡμέρας, ἵνα δηλονότι προθεωρήσωσιν
αὐτὰς οἱ μνηστῆρες, καὶ ἕκαστος ἕληται τῶν δρόμῳ πρωτευ-
σάντων ἣν ἂν βούληται. 195b **B**
207 a. *οὕτως δὲ δίδου*: οὕτως οὖν καὶ ὁ Ἀνταῖος ὁ **BDEGQ**
Λίβυς ἐδίδου πρὸς γάμον τὴν ἑαυτοῦ θυγατέρα, κατασκευά-
20 ζων τῇ κόρῃ τὸν προϊόντα νυμφίον ἄνδρα. (208a **B**) τῷ νική-
σαντι γὰρ καὶ αὐτὸς ἔδωκε τὴν παῖδα πρὸς γάμον. 209 **B**
b. ἄλλως· Λίβυς ὄνομα κύριον, οὐχ ὁ Ἀνταῖος, ὡς Δίδυ- **BGQ**
μος. 207a fin. **B**
208a. *ποτὶ γραμμᾷ*: πρὸς γὰρ τὸ τέλος αὐτὴν τοῦ στα- **BDEGQ**
25 δίου κοσμήσας ἔστησε, τέλος καὶ ἄκρον εἶναι αὐτὴν τῷ νική-
σαντι. ἐν μέσοις δὲ αὐτοῖς εἶπεν· ὅστις ἂν πρῶτος τῶν

---

1 l. om. **B** 3 ἤκουσε] ἤρησε **E** ‖ ποτε] + ποιῆσαι **DGQ**
4 αὐτοῦ **B** ‖ πεποιηκέναι om. **DGQ** 5 l. **DEG**: ἤκουσε δέ **Q**
om. **B** ‖ γὰρ] δὲ **Q** 6 ὁποῖον] τοιοῦτον **B** 7 εὗρε] εὑρέσθαι
B 8 πρὸς μεσημβρίαν **DQ** 8. 9 δρόμου] + καὶ ἐλύθη ὁ
δρόμος **E** 9 ἠβουλήθη **BE**: ἐβούλετο **DGQ** 10 δὲ om. **E** rec.
11. 12 ὑπερμήστρα scripsi: ὑπὸ μήστρα **D**G^{cp} ὑπερμνήστρα
BEQ rec. 14 l. om. **B** ‖ ὁ δαναός, φησίν] οὗτος γὰρ **B**
16 τῶν] τῷ **E** 17 ἂν om. **E** ‖ βούληται (D^{cp})**GQ**: βούλεται **E**
βούλοιτο **B** 18 l.] ὁ δὲ νοῦς **B** ‖ δὲ om. **Q** ‖ καὶ om. **DGQ**
21 πρὸς γάμον om. **GQ** 22 ἄλλως **G**(**Q**): οὕτω δ' ἐδίδου λίβυς
ἁρμόζων κόρᾳ **B** 24 l. **E**: + μέν **DGQ** om. **B** ‖ αὐτὴν **EQ**(G^{cp}):
αὐτὸ **D** om. **B** 25 ἔστησε] + φησὶ **B** 26 εἶπεν] + ὅτι **DGQ**

DGQ πέπλων αὐτῆς ἅψηται, ἐκεῖνος αὐτὴν ἀπαγέσθω. 214 B b. ἄλλως· ποτὶ γραμμᾶ: τῇ νύσσῃ, τῷ τέλει τοῦ σταδίου.

BDEGQ 209. αὐτὰν στᾶσε κοσμήσας: ἔστησεν αὐτὴν πρὸς τῇ ἐσχάτῃ γραμμῇ τοῦ δρόμου, τοῦτο ἄκρον καὶ τέλος διατάξας, τὴν στάσιν τῆς παρθένου. ἐχάρασσον δὲ γραμμήν τινα, ἣν 5
BDGQ ἀρχὴν καὶ τέλος εἶχον οἱ ἀγωνιζόμενοι. | ὅθεν καὶ παροιμία· μὴ κίνει γραμμήν. 207a B

DGQ 214 a. ἔνθ' Ἀλεξίδαμος: οὗτος πρόγονος ἦν τοῦ νι-
BDEGQ κηφόρου, ὡς προείπομεν. b. ἄλλως· Ἀλεξίδαμος ἦν ὁ νικήσας χάριν τῆς Λίβυος θυγατρός. c. τὸ δὲ ἔφυγεν οὐ 10 κυρίως· οὐ γὰρ ἐδίωκέ τις· ἀλλὰ τὸ τάχος βούλεται παρα-
BEGQ στῆσαι, | παρόσον οἱ διωκόμενοι ἐπιτείνουσι τὸν δρόμον.
BDEGQ d. ἐνταῦθα ὁ Ἀλεξίδαμος, ἐπειδὴ τὸν ταχὺν δρόμον ἐξέφυγε καὶ ἐνίκησε, τὴν ἔνδοξον παρθένον τῆς χειρὸς τῇ ἑαυτοῦ χειρὶ λαβὼν ἤγαγεν εἰς τὸν τῶν ἱππικῶν Λιβύων στρατόν. 15

BDEGQ 217. ἱππευτᾶν νομάδων: τῶν Λιβύων· ὅτι ὑποδύντες τὴν γῆν οἱ πλείους αὐτῶν οἰκοῦσιν· ἢ καὶ παρὰ τοῦτο οὕτω καλούμενον ἔθνος. ἐκ τούτου δὲ δῆλον, ὅτι ὁ Ἀνταῖος οὐκ ἔστιν· οὗτος γὰρ ἦν κατὰ τοὺς χρόνους Ἡρακλέους· πρὸ δὲ τοῦ Ἡρακλέους οὐδεὶς ἦν ἀγών, ὁ δὲ Ἀλεξίδαμος ἱστορεῖ- 20 ται προνενικηκέναι.

BDEGQ 218 a. πολλὰ δὲ φύλλα καὶ στεφάνους οἱ περὶ αὐτὸν

---

16 Diod. 3, 32?

---

1 πέπλων] lac. Q ‖ ἐφάψηται DGQ rec. ‖ ἀπαγ. αὐτὴν ἐκεῖνος B 2 τῇ νύσσῃ] τῷ τέλει τοῦ σταδ Q, sed del. (ut lac. relinqueret?) 3 l. E (sed ἔστασε): αὐτ(ὴν) στᾶσε G[cp] αὐτὸς στᾶσε D αὐτὴν στῆσεν Q om. B ‖ ἔστησε] + γὰρ B 4 ἄκρος E 5 στάσιν] τάξιν B 8 οὗτος om. D 9 ὡς προείπ. om. D ‖ ἄλλως DG(Q): ἔνθ' ἀλεξίδαμος E item + ἐπεὶ φύγεν B 13 l. null. E: ὁ δὲ νοῦς B ὁ νοῦς D ἄλλως ὁ νοῦς G(Q) ‖ ἐνταῦθα ὁ] ἔνθ' E ‖ ἐπεὶ B 14 τῇ — 15 λαβὼν BE: ἑλὼν τῇ ἑαυτ(οῦ) χειρὶ DGQ 15 τὸν et στρατόν] τὴν et στρατιάν B 16 ἱππευτᾶν — 17 οἰκοῦσιν DEGQ: ἄλλως· λιβύων τῶν νομάδων φησι· οἱ πλ. γὰρ αὐτῶν ὑποδ. τὴν γῆν οἰκ. B 17 καὶ om. EQ ‖ τοῦτο] τὸ Lehrs p. 158 18 ἐκ δὲ τούτου B. Q. s. ad 218 pertinent 19 et 20 ἡρακλέους r: -ος Q comp. BDEG 20 ἦν ὁ ἀγὼν DG 22 l. null. E: πολλά μιν κεῖνοι δίκον φύλλ' ἐπὶ B φύλλ' ἔπι (D)GQ ‖ πολλὰ δὲ φύλλα om. DGQ

ἑστῶτες ἔρριπτον, πολλὰ δὲ πτερὰ νίκης καὶ πρὸ τοῦ ἀγῶνος ἔλαβε, ἀντὶ τοῦ πολλοὺς καὶ ἄλλους ἀγῶνας ἐνίκησε.
b. πτερὰ δὲ νίκης, περιφραστικῶς τὴν νίκην.

Scholia in Pythionicarum carmen X.

Ἱπποκλεῖ Θεσσαλῷ παιδὶ διαυλοδρόμῳ. EG(Q)

5 Τῆς δεκάτης ᾠδῆς ἡ στροφὴ καὶ ἀντίστροφος κώλων δέκα. τὸ α΄ Φερεκράτειον. τὸ β΄ δίμετρον ἰαμβικὸν ὑπερκατάληκτον, ἄτακτον. τὸ γ΄ δίμετρον Ἰωνικὸν βραχυκατάληκτον. τὸ δ΄ σύνθετον ἐκ προσοδιακοῦ καὶ ἰαμβικοῦ πενθημιμεροῦς. τὸ ε΄ Φερεκράτειον. τὸ ϛ΄ δίμετρον ἐπιχορ-
10 ιαμβικὸν ἀκατάληκτον. τὸ ζ΄ δίμετρον χοριαμβικὸν βραχυκατάληκτον. τὸ η΄ δίμετρον δοχμιακὸν ἀκατάληκτον. τὸ θ΄ ἐπιωνικὸν τρίμετρον βραχυκατάληκτον. τὸ ι΄ ἰαμβικὸν δίμετρον βραχυκατάληκτον. B

ἡ ἐπῳδὸς κώλων η΄. τὸ α΄ ἰαμβικὸν πενθημιμερές. B
15 τὸ β΄ μητρῳακὸν τρίμετρον ἀκατάληκτον. τὸ γ΄ ἰαμβικὸν δίμετρον ἀκατάληκτον. τὸ δ΄ Ἰωνικὸν δίμετρον βραχυκατάληκτον. τὸ ε΄ ἐπιωνικὸν τρίμετρον βραχυκατάληκτον. τὸ ϛ΄ ἰαμβικὸν δίμετρον ὑπερκατάληκτον. τὸ ζ΄ ἰαμβικὸν δίμετρον ἀκατάληκτον. τὸ η΄ παιωνικὸν δίμετρον ἀκατά-
20 ληκτον.

Inscr. Ἦν μὲν τὸ γένος ὁ προκείμενος νικηφόρος Θεσσαλὸς, πόλεως δὲ Πελινναίου· ἐνίκησε δὲ τὴν κβ΄ Πυθιάδα. δοκεῖ δὲ μὴ ὑγιῶς ἐπιγεγράφθαι ἡ ᾠδὴ Ἱπποκλεῖ· δέον γὰρ BDEGQ

---

1 πρὸ] ἀπὸ **E** 2 ἀντὶ τοῦ] τουτέστι **B** ‖ καὶ om. **E** 3 δὲ **DEQ** (in **G** periit): γὰρ **B** ‖ τὴν νίκην **EQ**: ἡ νίκη **B** rec. τὴν ν. λέγει **DG** 4 pro inscr. spat. **Q** 7 ἄτακτον suspectum; del. Pauw 8 προσοδικοῦ **B** 8. 9 πενθημιμεροῦς Pauw: -ρές **B** -ρῶν **b** 10 col. ζ΄ nec choriamb. est nec brachycat. 11 δοχμιακὸν **b**: δοχμαϊκὸν **B** 15 μητρῳακὸν obscurum 16 καταληκτικόν Pauw; sed cfr. text. vs. 23 vulg. 19 παιονικὸν **B** (corr. Beck) 21 τῷ γένει **Q** 22 πελινναίου **D**: πελιναίου **GQ** rec. πελινέου **E** πενναίου **B** ‖ κβ΄] κη΄ **E** rec. 23 μὴ — ᾠδὴ **E** et (om. ἡ) **B**: ἡ ᾠδὴ μὴ ὑγιῶς **DGQ** ‖ ὑπογεγρ. **DGQ** ‖ γὰρ secl. Bergk

Ἱπποκλέᾳ. τὸ γὰρ ὄνομα ἦν Ἱπποκλέας, ὡς καὶ αὐτὸς ὁ Πίνδαρος δηλοῖ. ἐνίκησε δὲ καὶ οβ' καὶ ογ' Ὀλυμπιάδα. τὴν δὲ Λακεδαίμονα νῦν παρείληφεν, ὡς αὐτὸς δηλοῖ, ὅτι ἀμφότερα τὰ ἔθνη ὑπὸ τῶν Ἡρακλειδῶν ἐβασιλεύετο. ἐν δὲ τῇ αὐτῇ ἡμέρᾳ ἐνίκησε καὶ στάδιον, οὗ οὐκ ἐμνήσθη, ἴσως τοῦ 5 διαύλου μόνον μισθὸν λαβών.

BDEGQ 1. *Ὀλβία Λακεδαῖμον*: ὦ εὐδαιμονεστάτη Λακεδαῖμον καὶ μακαρία Θεσσαλία· ἐν γὰρ ἀμφοτέραις ἐξ ἑνὸς πατρὸς τοῦ γενναίου Ἡρακλέους τὸ γένος βασιλεύει.

BDEGQ 3. *ἀριστομάχου* ἐπιθετικῶς· τοῦ Ἡρακλέους τοῦ ἀρί- 10 στου κατὰ τὰς μάχας.

BDEGQ 5. *τί κομπέω*: οἱ μὲν ὅτι κομπῶ, ἀλλόκοτον νῦν λέγω, εἶτα ἡ μέση· κατὰ τὸν δέοντα καιρὸν κομπῶ. οἱ δὲ οὕτως ὑφ' ἕν· τί κομπῶ καὶ φλυαρῶ παρὰ τὸν δέοντα καιρὸν, ἵνα τὴν κατά ἀντὶ τῆς παρά λάβωμεν. 15

BDEGQ 6 a. *ἀλλά με Πυθώ τε καὶ τὸ Πελινναῖον*: Πελιν-
DEGQ ναῖον πολις τοῦ νικηφόρου. 8 DEGQ b. Πελινναῖον πόλις Θεσσαλίας, ἀφ' ἧς καὶ τὸ ἐν Χίῳ ὄρος ἐκλήθη. 9 DEGQ

BDEGQ 8 a. *Ἀλεύα τε παῖδες*: ἤτοι καθόλου οἱ Θεσσαλοὶ ἀπὸ Ἀλεύα τοῦ βασιλεύοντος, ὡς καὶ Σισυφίδαι οἱ Κορίνθιοι ἀπὸ 20 Σισύφου· ἢ Ἀλεύα παῖδες οἱ ὄντες ἑταῖροι τῷ Ἱπποκλέᾳ.
b. ὁ δὲ νοῦς· ἀλλά με ἡ Πυθὼ καὶ τὸ Πελινναῖον καὶ τοῦ Ἀλεύα οἱ παῖδες ἀπύειν παρακελεύονται καὶ ὑμνεῖν· ἢ βοᾷ

---

17 Steph. Byz. Πέλιννα

---

2 δηλοῖ] φησιν B 3 νῦν om. B ‖ ὡς] + καὶ DG ‖ αὐτὸς] + ὁ πίνδαρος Q 4 ἐβασιλεύοντο DGQ rec. ‖ ἐν] ὡς DG 6 μόνον Q 7 l. om. E ‖ λακεδαίμων B[2] 9 ἡρακλέος B(D^{cp})G ‖ βασιλεύει — 10 ἀριστομάχου om. E 10 ἀριστομάχου DGQ: ἀρ. δὲ B ‖ ἐπιθετικὸν E ‖ τοῦ ἡρ. om. B ‖ τοῦ] ἀντὶ τοῦ B
12 l. EQ: + παρὰ καιρόν B + πρὸς καιρόν DG ‖ νῦν] τι B 13 τὸν om. E 16 καὶ τὸ πελ. om. DGQ ‖ πελιναῖον utrob. E 16. 17 πελλιναῖον DGQ 17 πόλις (pr.)] πόλιν E^{ac} ‖ τοῦ B: τὴν E om. DGQ ‖ πελιναῖον E πελλιναῖον DGQ ‖ πόλις (alt.)] ὄρος B[3] 19 τε] δὲ B 20 βασιλεύοντος BE: βασιλεύσαντος αὐτῶν DGQ -οντος αὐτῶν rec. 21 ἢ om. E ‖ ἕτεροι E ‖ ἱπποκλεῖ $DG^{s}Q$ rec. 22 με] τε E ‖ πελλιναῖον DEGQ 23 ἀλεύα] + δὲ EG 23—243, 1 βοᾶν καὶ προσκαλεῖσθαι E

καὶ προσκαλεῖται· θέλοντές με τὴν ἔνδοξον καὶ ἐγκωμιαστικὴν τῶν χορευόντων ἐπ' αὐτὸν τὸν Ἱπποκλέα ἄγειν φωνήν. 6b DEGQ

9. ἐπικωμίαν ἀνδρῶν: τῶν κωμασόντων ἀνδρῶν. DEGQ

11. γεύεται γὰρ ἀέθλων: καὶ γὰρ ἐπιδόξων γεύεται BDEGQ
5 ἄθλων καὶ μεταλαμβάνει νικηφόρος γεγονώς· | ὡς νεωστὶ δὲ DEGQ κατιόντος εἰς τοὺς ἀγῶνας ταῦτά φησιν.

12a. στρατῷ τ' ἀμφικτυόνων: ἐν δὲ τῷ τῶν ἀμ- BDEGQ φικτυόνων καὶ περιοίκων ὄχλῳ καὶ συνόδῳ ἡ Πυθὼ αὐτὸν ἄριστον τῶν διαυλοδρόμων παίδων ἀνηγόρευσε, ἀντὶ τοῦ εἰς
10 Πύθια δίαυλον ἐνίκησε. b. διαυλοδρομᾶν δὲ ἀπὸ τῆς διαυλοδρόμης εὐθείας· οἱ διαυλοδρόμαι, τῶν διαυλοδρομῶν καὶ τροπῇ Δωρικῇ διαυλοδρομᾶν. 12d B c. Παρνάσσιος μυχός: ἡ Πυθὼ (15 B) | ἀνεκήρυξε διαυλοδρόμην ὑπερέχοντα τῶν παί- DEGQ δων. d. ἢ καὶ περισπαστέον (12c B) | διαυλοδρομᾶν, ἵν' ᾖ BDEGQ / DEGQ
15 τῶν διαυλοδρομῶν.

15a. Ἄπολλον: προσφωνεῖ τὸν θεόν, ἐπειδὴ καὶ Πυ- BDGQ θιονίκης ὁ νικηφόρος. b. τῶν δὲ ἀνθρωπίνων ἡδὺ τὸ τέ- BDEGQ λος αὔξεται καὶ ἡ ἀρχὴ ἡδεῖα γίνεται, τοῦ δαιμονίου αὐτὰ αὔξοντος.

20 18. τεοῖσί τε μήδεσιν: ὁ Ἱπποκλέας, φησί, ταῖς σαῖς BDEGQ βουλήσεσιν, ὦ Ἄπολλον, ἐνίκησε· τὸ δὲ ἀπὸ γένους αὐτοῦ ἔμφυτον ἐπιβῆναι ἐποίησε τοῖς ἴχνεσι τοῦ Ὀλυμπιονίκου τοῦ αὐτοῦ πατρός.

---

2 χορευτῶν B rec. ‖ ἱπποκλέαν b 3 κωμασόντων DG: -σάντων EQ 4. 5 γεύεται καὶ μεταλ. ἐπιδ. ἄθλων DGQ 6 τὸν ἀγῶνα DGQ 7 l.] om. B στρατῷ τὲ Q 8 πυθὼν DG 9 ἀντὶ τοῦ] τουτέστιν B 11 διαυλοδρόμης] -μος G ‖ οἱ] αἱ BDG ‖ διαυλοδρόμοι E ‖ διαυλοδρόμων E 12 τροπικῇ (-κῇ) DEG ‖ ὁ παρν. DG ‖ παρνάσιος DEQ παρνάσσιος δὲ B 13 πυθὼν DG ‖ διαυλοδρόμην E?: -μον GQ -μων D 15 διαυλοδρομῶν] -δρόμων EQ 16 ἐπεὶ B 17 sch. 15b praem. ἀνθρώπων τέλος E ὦ ἄπολλον φησὶ B ὁ δὲ λόγος οὕτως DGQ ‖ ἀνθρωπίων E 17. 18 τέλος] γένος DG 18 ἡ om. BE ‖ δαίμονος B ‖ αὐτὰ b (B^{cp}): αὐτὸ E αὐτὸν DGQ 19 αὔξοντος] ὀξύνοντος Schroeder 20 l.] ὁ μέν που τ. τ. μ. B ‖ τοῖσι E ‖ τε] δὲ Q ‖ μήδεσσι(ν) BDQ ‖ ὁ δὲ ἱππ. DGQ ‖ ἱπποκλῆς D?EGQ ‖ σαῖς om. E 21 βουλήσεσιν] + ὦ ἄπολλον (sed del.) B ‖ ἐνίκησε] + καὶ τὴν νίκην διεπράξατο DGQ 22 πεποίηκε B ‖ ὀλυμπιονίκου τοῦ B: ἱππονίκου DEGQ

BDEGQ 22a. *δὶς ἐν πολεμαδόκοις*: δὶς ἐνίκησεν ὁ Φρικίας ἐν Ὀλυμπίᾳ, ὁ πατὴρ τοῦ Ἱπποκλέους. ἦν δὲ ὁπλίτης· διό φησιν· ἐν πολεμαδόκοις Ἄρεος ὅπλοις. τοῦ γένους οὖν φη-
BEQ σιν ἥκειν εἰς τὰ ἴχνη· καὶ γὰρ ἐκεῖνος ὁπλιτοδρόμος | καὶ οὗ-
DGQ τος διαυλοδρόμος. b. ἄλλως· τοῦτό φησιν ὡς τοῦ πατρὸς 5 αὐτοῦ δὶς νικήσαντος τὰ Ὀλύμπια ὁπλιτοδρόμου.

BDEGQ 23. *ἔθηκε καὶ βαθυλείμωνα*: τὸν Φρικίαν καὶ Ὀλυμπιονίκην ὄντα ὁ ὑπὸ τὴν βαθυλείμωνα πέτραν τῆς Κίρρας ἀγών, τουτέστιν ὁ Πυθικός, κρατησίποδα ἐποίησε. διὰ τούτου δὲ σημαίνει, ὅτι Ὀλυμπιονίκης ὢν ἐγένετο καὶ Πυθιο- 10 νίκης.

DGQ 25. *κρατησίποδα*: κρατῆσαι τοῖς ποσὶν ἤγουν νικῆσαι δρόμῳ.

BDEGQ 26. *ἕποιτο μοῖρα*: ἐπακολουθοίη δὲ αὐτοῖς καὶ εἰς τὸν μετὰ ταῦτα χρόνον ἡ μοῖρα καὶ ἡ εὐτυχία, ὥστε αὐτοῖς αὔ- 15 ξειν τὸν ἀγήνορα πλοῦτον. τῶν δὲ κατὰ τὴν Ἑλλάδα καλῶν μετεσχηκότες οὐκ ὀλίγον μὴ ἐναντίαις παρατροπαῖς συντύχωσι παρὰ τῶν θεῶν.

DGQ 33a. *ἀπήμων δὲ*, ἀβλαβὴς καὶ ἀνόργητος ἐπὶ τοῖς αὐτῶν κατορθώμασιν εἴη ὁ θεός. 20

BDEGQ 33b. *εὐδαίμων δὲ καὶ ὑμνητὸς οὗτος*: εὐτυχὴς δὲ οὗτος ὁ ἀνὴρ καὶ πολυύμνητος παρὰ τοῖς σοφοῖς γίνεται, ὃς ἂν πάλῃ ἢ δρόμῳ τόλμῃ τε καὶ ἀνδρείᾳ νικήσας τὰ μέγιστα τῶν κατορθωμάτων δέξηται, καὶ προσεπιτούτοις ἔτι καὶ ζῶν ἴδῃ τὸν νεώτερον αὐτοῦ υἱὸν κατὰ τὸ προσῆκον Πυθικῶν 25
DEGQ στεφάνων τυχόντα· | καὶ ἀπὸ κοινοῦ τὸ εὐδαίμων.

---

1 ἐνίκησε] + φησὶν B ‖ φρυκίας E φροικίας Q (item 7) 2 ἱπποκλέου b (comp. BDG) 3 ἄρε' ὅπλοις E 4 καὶ — 5 διαυλοδρ. om. DG 6 ὁπλιτοδρόμος Q (comp. G; -όμου periit in D) 7 l. E: ἔθηκε DGQ ὁ δὲ νοῦς B 8 ὁ om. E 9. 10 διὰ δὲ τούτου B 10 δὲ — ὅτι om. Q 14 l. DEG: + καὶ ὑστέραισιν ἐν ἡμέραις B ἕποιτο Q ‖ ἐπακολουθείη DG[1]Q ‖ καὶ om. DG 15 μετὰ ταῦτα] μετέπειτα DG 16 ante τῶν δὲ l. τῶν δ' ἐν ἑλλάδι praem. E 17 ὀλίγως B[cp]? E 19 ἀόργητος Q 19. 20 αὐτοῦ B[s] (qui hoc sch. in mg. add.) 21 l.] + ἀνήρ B ‖ εὐδαίμων] ἀπήμων E (α in ras.) 22 ὁ om. BE 24 πρὸς τούτοις b 25 ἴδοι DG

42 a. *ὁ χάλκεος οὐρανός*: οὐκέτι μέντοι ὁ στερεὸς οὐρανὸς καὶ ἰσχυρὸς ἐπιβατὸς αὐτοῖς ἐστιν, οἱονεὶ τοῖς εἰς ἄκρον οὕτως εὐδαιμονίας ἐλθοῦσιν οὐκ ἔστι καὶ θεοῖς συγγενέσθαι, ὡς τῶν ἐν ἀνθρώποις ἄκρων καὶ τελείων εὐτυχη-
5 μάτων αὐτῶν μετασχόντων τῶν τὴν τοιαύτην εὐτυχίαν εὐτυχησάντων. b. ἄλλως· τῷ τοιούτῳ, τῷ παῖδας ἐσχηκότι καὶ ἃ προείρηκα εὐτυχήματα, οὐκ ἀναβατὸς μόνον ὁ οὐρανός· οἷον, ὡς ἐν θνητοῖς εὐδαίμονές εἰσιν· ἀθάνατοι γὰρ οὐ δύνανται γενέσθαι. BDEGQ

10 43 a. *ὅσαις δὲ βρότεον ἔθνος*: ὅσων δὲ ἀγλαϊῶν καὶ ἀγαθῶν οἱ ἄνθρωποι ἐφαπτόμεθα εὐδαιμονίας. b. ὃ δὲ λέγει, τοιοῦτόν ἐστι· τῶν ἀνθρωπίνων καλῶν τὸ πέρας καὶ τὸ τέλος ἔχει ὁ τὴν τοιαύτην εὐδαιμονίαν εὐτυχήσας, τὸ καὶ αὐτὸν νικῆσαι καὶ τὸν υἱὸν ἰδεῖν νικήσαντα. c. *ὅσαις δὲ*,
15 ἀντὶ τοῦ ὅσων, ἀντὶ γενικῆς ἐχρήσατο. BDEGQ

46 a. *ναυσὶ δ' οὔτε πεζὸς ἰών*: οὔτε πεζὸς οὔτε πλῷ παραγενόμενος εἰς τὸ τῶν Ὑπερβορέων ἄθροισμα εὐμαρῶς εὕροις τὴν ἐπ' αὐτοὺς θαυμαστὴν ὁδόν. ὁ δὲ νοῦς αὐτῷ πρὸς τὴν εὐτυχίαν· ὥσπερ οὐκ ἔστιν εὐμαρὲς εἰς τὸ τῶν
20 Ὑπερβορέων ἔθνος παραγενέσθαι, οὕτως οὐδὲ ταύτης τῆς εὐτυχίας μείζονα εὑρεῖν εὐμαρές ἐστιν. 47 B b. μέχρι δὲ τούτων ὁ Πίνδαρος καλῶς τὸν ἐπίνικον γράφει· ἠστόχησε δὲ τὰ μετὰ ταῦτα ἀλόγῳ παρεκβάσει χρησάμενος. 49 B BDEGQ

47. *ἐς Ὑπερβορέων ἀγῶνα*: ἀγῶνα νῦν τὸ ἄθροισμα, BDEGQ

---

24 sch. Hom. *Π* 500 al. (Lehrs Arist. p. 149). Ap. soph. p. 6, 6. Hes. *ἀγών*. EM 15, 50, al.

---

1 l. **EGQ**: + *οὔ ποτ' ἄμβατος αὐτοῖς* **B** *ὁ χ.* **D** 4 *ἐν* om. **BE** (add. **B**[s]) 5 *μετασχόντων* om. **DG** 6 *τοιούτῳ*] + *φησὶ* **B** ‖ *ἐσχηκότι* post 7 *εὐτυχήματα* trp. **DG** 7 *προείρηκεν* **DG** ‖ *ἀναβατὸς*] + *ἐστι* **DGQ** ‖ *μόνος* **DQ** 8 *γὰρ*] *δὲ* **Q** 10 l. **BE**: *ὅσ(σ)αις δέ* **DGQ** 11 *ἐφαπτ. οἱ ἄνθρ.* **DGQ** ‖ *εὐτυχίας* **Q** ‖ ὃ — 12 *ἐστι*] *καὶ ὁ νοῦς* **D** 13 *ἔχει ὁ* **B**: *ἔχεις* **DEGQ** 14 *αὐτὸν* **BE**: *αὐτὸν σὲ* **DGQ** 15 ⟨*δοτικῇ*⟩ *ἀντὶ γενικῆς* Beck (probabiliter) ‖ *ἐχρήσατο* om. **B** 16 l. **B**: *οὔτε πεζὸς ἰών* **E** om. **DGQ** ‖ *ἰών* **E**: *ἐών* **B** 18 *μετ' αὐτοὺς* (-*ῶν* **D**) **DG** 20 *παραγίνεσθαι* **B** 22 *τὸν* om. **E** ‖ *ἔγραψεν* **B** 24 l. om. **B** ‖ *ἀγῶνα* om. **D** ‖ *νῦν*] *δὲ* **B** ‖ *ἄθροισμα*] + *φησιν* **B**

ἵν' ᾖ· εἰς τὸ τῶν Ὑπερβορέων ἄθροισμα πορευόμενος τὴν ἐπ' αὐτοὺς ἄγουσαν ὁδόν οὐκ ἂν εὕροις. 46b B

BDEGQ 49. παρ' οἷς ποτε Περσεύς: παρ' οἷς, τοῖς Ὑπερβορέοις, ὁ Περσεὺς εὐωχήθη εἰς τὰς οἰκίας αὐτῶν εἰσελθὼν καὶ καταλαβὼν αὐτοὺς διὰ τῶν ὄνων ἐνδόξους θυσίας τελοῦντας 5 τῷ θεῷ Ἀπόλλωνι. οἱ γὰρ Ὑπερβόρειοι ὄνους θύουσι τῷ Ἀπόλλωνι, ὡς καὶ ὁ Καλλίμαχός φησι (fr. 188)·

τέρπουσιν λιπαραὶ Φοῖβον ὀνοσφαγίαι.

DEGQ 51 a. κλειτὰς ὄνων ἑκατόμβας: τὸ σημεῖον, ὅτι οἱ BDEGQ Ὑπερβόρειοι ὄνους θύουσι τῷ Ἀπόλλωνι. 53 B b. ταῦτα, 10 φησὶν ὁ Δίδυμος, μετὰ τοῦ γελοίου καὶ ἄσεμνά εἰσι· τίνα γὰρ λόγον ἂν ἔχοι ἥδεσθαι τὸν Ἀπόλλωνα τοῖς ὀρθιάζουσιν ὄνοις; φησίν. 57 B

E 52. ἐπιτόσσαις: ἐστὶν ἐπιτυχών.

BDEGQ 53. ὧν θαλίαις ἔμπεδον: ὧν, τῶν Ὑπερβορέων, μά- 15 λιστα διηνεκῶς ταῖς εὐφημίαις καὶ εὐωχίαις χαίρει ὁ θεός.

BDEGQ 55 a. χαίρει γελᾷ θ' ὁρῶν: ἥδεται δέ, φησίν, ὁ Ἀπόλλων θεωρῶν τὴν τῶν θηρίων ἀναίρεσιν. b. ὕβριν τὴν ἀναίρεσιν. ὕβριν δὲ αὐτὴν καλεῖ παρὰ τὰ σκιρτήματα, ἃ ἐν τῇ σφαγῇ ποιοῦνται οἱ ὄνοι. 20

BDEGQ 56 a. ὀρθίαν κνωδάλων: ἔπαιξεν ὁ Πίνδαρος, ὡς τῶν ὄνων ὀρθιώντων, ὅτε ἱερουργοῦντο. b. κνωδάλων, κυ-

---

14 cfr. P. III 48 a 22 sch. N. 1, 76. sch. ρ 317. Eust. 1822, 38. Hes. κνώδαλα. Ap. soph. 101, 15. Phot. Suid. EM 522, 38. EG 331, 10. Zon. 1225

---

1 πορευόμενον DG 2 αὐτὸν DG ‖ οὐκ ἂν εὕροις ὁδόν B 3 l. B(D)E: παρ' οἷς G om. Q 4 ηὐωχήθη DG ‖ καὶ om. BDGQ 5 ἐνδόξους BE: κλειτὰς καὶ ἐνδ. DGQ 6 οἱ — 7 ἀπόλλωνι om. D 7 ὁ om. BD 8 τέρπουσι codd. ‖ φοίβον D ‖ οἰνοσφαγίαι DG 9 l. E: κλ. ὄνων DGQ ‖ τὸ σημεῖον om. EQ ‖ οἱ om. E 10 ἔθυον D 10. 11 ταῦτα, φησὶν] καὶ D 11 ὁ om. B ‖ καὶ] ὡς Q ὡς δ' D ‖ εἰσι] ἐστι B 13 φησίν om. DG rec. 15 l. B: ὧν θ. DGQ om. E 17 l.] χαίρει τ' ἐλᾶθ' ὁρῶν E γελᾷ θ' ὁρῶν (D)G(Q) om. B ‖ δὲ] γὰρ B 18 ὕβριν — 19 παρὰ] ὕβριν δὲ αὐτά φησι τὰ περὶ Q 18. 19 ὕβριν τὴν ἀναίρεσιν E: ὕ. φησὶ τὴν ἀν. DG ὕ. γὰρ τὴν ἀν. φησι B (rec.) 19 ὕβριν] ὀρθίαν? ‖ καλεῖ παρὰ DEG: διὰ B rec. 20 ὄνοι] + ἔφη(σεν?) B ἄν(θρωπ)οι E 21 l.] ἄλλως B ‖ ὀρθίαν G ὀρθιαν D ὀρθιᾶν EQ (cfr. rec. ad 56) 22 ὀρθιώντων B: ὀρθίων

ρίως τῶν θαλαττίων ζῴων, καταχρηστικῶς δὲ καὶ τῶν χερσαίων. c. ἢ οὕτω· μεγάλων, διὰ τὸ τῶν ὄνων τερατῶδες τοῦ σώματος. 51ᵇ B

57. Μοῖσα δ' οὐκ ἀποδαμεῖ: ἡ δὲ Μοῦσα οὐκ ἔστιν BDEGQ
5 ἀπόδημος ἀπὸ τῶν τρόπων καὶ τῶν ἠθῶν αὐτῶν· οἷον, οὐκ εἰσὶν ἄμουσοι.

58. παντᾶ δὲ χοροί: πανταχοῦ εἰς τὸ τῶν Ὑπερβορέων BDEGQ ἔθνος παρθένων χοροὶ λύρας τε ἦχοι καὶ κτύποι καὶ τῶν αὐλῶν δὲ οἱ κτύποι κινοῦνται.

10 61. δάφνᾳ τε χρυσέᾳ: τῇ δὲ εὐφύλλῳ δάφνῃ τὰς ἑαυ- BDEGQ τῶν κεφαλὰς στεφόμενοι εὐωχοῦνται σωφρόνως καὶ συνετῶς.

64 a. νόσοι δ' οὔτε: οὔτε νόσοι τῇ ἱερᾷ αὐτῶν γενεᾷ BDEGQ οὔτε ὀλέθριον γῆρας μέμικται, μόχθων δὲ καὶ μάχης μακράν εἰσι, τὴν παρὰ τὸ δίκαιον ἐκφεύγοντες ὕβριν. b. οἱονεὶ
15 οὐκ ἄδικα πράττοντες καὶ μέμψιν ὑφίστανται παρὰ θεῶν.

65 a. πόνων δὲ καὶ μαχᾶν ἄτερ: ἐφ' οἷς οὔτε νεμε- BDEGQ σῶσιν αὐτοῖς οἱ θεοί, ἀλλὰ φυγόντες τὴν ὑπὲρ τὸ δίκαιον νέμεσιν οἰκοῦσι χωρὶς πόνων. b. οὐ γὰρ ἀδικοῦσιν ἀλλήλους, ἀλλὰ πεφεύγασι τὴν διὰ τὸ παρὰ τὸ δίκαιόν τι πράσ-
20 σειν νέμεσιν, τουτέστι μέμψιν. 68ᵇ E

68 a. ὑπέρδικον Νέμεσιν: ὅτι ὑπερδικαιοῖ καὶ κολά- DEGQ ζει τοὺς ἀδικοῦντας ἡ Νέμεσις. 72 E

68 b. θρασείᾳ δὲ πνέων καρδίᾳ: τῇ γενναίᾳ δὲ πνευ- BDEGQ στιῶν ψυχῇ ὁ Περσεὺς εἰς αὐτοὺς παρεγένετο, εἰς δὲ τὸ τῶν

ὄντων DEGQ ‖ ὅτι DG ‖ ἱερουργοῦνται DG?Q ‖ κνωδάλων] + μὲν ὄντων B

p. 247, 2 μεγάλων] μέγα E ‖ τὸ τερ. τοῦ σ. τῶν ὄνων DGQ ‖ τῶν om. E 4 ἀποδημεῖ DGQ 5 ἀπὸ om. E 7 l.] + παρθένων B ‖ πανταχοῦ] + δὲ B 9 δὲ om. DG 10 l. om. B ‖ δάφνᾳ E: -ῃ DGQ 11 εὐωχοῦνται BE: ἐπαίνοις τὸν θεὸν στέφουσιν εὐωχούμενοι DGQ ‖ εὐφρόνως Schroeder cl. sch. N. 5, 67 (prob.) 12 l.] + γῆρας οὐλόμενον B 13 μόχθων] ἄλλως· μόχθων E 14 ἐκφυγόντες Q 15 καὶ om. B rec. ‖ ὑφίσταντο B ‖ παρὰ τῶν θεῶν B rec. 16 l. E: π. δὲ καὶ μ. DGQ om. B ‖ οὔτε] „coniicias οὐδὲ" b (probabiliter) 19 φεύγουσι DQ ‖ διὰ τὸ om. B 20 τουτέστι μέμψιν om. B 21 τὸ δὲ ὑπέρδ. ν. E ‖ ὑπερδικεῖ E 23 l. B et om. δὲ E: θρ. δέ DGQ 23, 24 πνευ... (lac.) E 24 αὐτοὺς] ἑαυτὸν DG

μακαρίων ἀνδρῶν ἔθνος παραγινομένῳ αὐτῷ προκαθηγεῖτο ἡ Ἀθηνᾶ. 68a E

BDEGQ 72 a. ἔπεφνέ τε Γοργόνα: ἡ ἱστορία ἐστὶ τοιαύτη. ὅτε ὁ πάππος Ἀκρίσιος ἀποκυήσασαν τὸν Περσέα τὴν Δανάην λάθρα ᾔσθετο, τότε ἐνείρξας αὐτὴν εἰς κιβωτὸν μετὰ 5 τοῦ παιδὸς καθῆκεν εἰς τὸ πέλαγος, καὶ προσηνέχθη ἡ κιβωτὸς Σερίφῳ τῇ νήσῳ, ἧς Πολυδέκτης ἐβασίλευε. καί ποτε ἀνδρωθέντος αὐτοῦ καὶ ἑστιωμένου παρὰ τῷ Πολυδέκτῃ, παρ' ἑτέρων ἕτερα εἰσφερόντων εἰς τὸν ἔρανον αὐτὸς τὴν τῆς Γοργόνος κεφαλὴν ὑπέσχετο· ὁ δὲ Πολυδέκτης εὔκαιρον πρόφα- 10 σιν λαβὼν τὴν ὑπόσχεσιν ἀπῄτει αὐτὸν καὶ ἐξήλαυνε τῆς νήσου πρὸς τὸ κομίσαι τὴν κεφαλήν· ἤρα γὰρ τῆς μητρὸς αὐτοῦ. ὁ δὲ ἀπελθὼν καὶ τεμὼν τῆς Γοργόνος τὴν κεφαλὴν εἰσήνεγκεν εἰς τὸν ἔρανον, καὶ πάντας ἀπελίθωσε τοὺς ἐν τῷ συμποσίῳ καὶ αὐτὸν δὲ τὸν Πολυδέκτην. b. ἄλλως· ἀνεῖλε 15 μὲν τὴν Γοργόνα ...... πῶς δὲ εἰς Ὑπερβορέους ἦλθεν ὁ Περσεὺς ἐπὶ τῷ ἀποτεμεῖν τὴν κεφαλὴν τῆς Γοργόνος; οἱ γὰρ Ὑπερβόρεοι πρὸς τοῖς Ἐρυθραίοις μέρεσι καὶ Ἀρκτῴοις οἰκοῦσιν, αἱ δὲ Γοργόνες κατὰ μέν τινας ἐν τοῖς Αἰθιοπικοῖς, ἅ ἐστι πρὸς ἀνατολὴν καὶ μεσημβρίαν, κατὰ δέ τινας ἐπὶ τῶν 20 περάτων τῆς Λιβύης, ἅ ἐστι πρὸς δύσιν. ὅτι δὲ αἱ Γοργόνες οὐκ εἰσὶ πρὸς Ἄρκτους, δῆλον· οὐδεὶς γὰρ ἱστόρησεν.

---

3 cfr. sch. Ap. Rh. 4, 1091. 1515 (Pherec. fr. 26). Apollod. 2, 4, 1—3. sch. P. XII 25

---

1 μακάρων B ‖ παραγενομένῳ DG 2 ἡ om. E 3 ἔπεφνέ τε B(D)EG: [π]έφνέ τε Q ‖ γοργόνα] ἡ γοργόν(η) D 4 ὅτε BEQ: ὅτι G (Beck) om. D 5 λάθρα ᾔσθετο DGQ rec.: λαθραίως B λάθρα ὡς E ‖ εἰς] ἐν E εἰς τὴν B ‖ κιβωτῷ E 6 τὸ om. DG 7 ἐβασίλευσε B 8 παρ' om. rec. (recte?) 9 τὸν om. DGQ rec. ‖ τὴν om. E 10 εὐκ. ⟨τὴν⟩ πρόφ. Beck 13 γοργόνης E (item 17) 15 δὲ om. DE rec. ‖ ἄλλως — 17 περσεὺς] καὶ ὁ μὲν περσεὺς φασὶν ἦλθεν D ‖ ἄλλως — 16 πῶς δὲ] ζητεῖται δὲ πῶς B (rec.) 16 μὲν] δὲ E ‖ lac. indicavi ‖ ἦλθεν] + φησὶ E 17 περσεὺς] + φασὶ GQ (cfr. D) 18 πρὸς τοῖς om. D ‖ ἐρυθρ. — ἀρκτ. E (perperam): ἐρ. καὶ ἀρκτ. μέρεσιν (D)GQ ἀρκτῴοις B ft. recte 19 ἐν τοῖς] + ἐρυθραίοις μέρεσι καὶ τοῖς B (vix recte) 20 ἀνατολὰς E 21 ἅ — δύσιν om. D ‖ ὅτι — 22 ἱστόρησεν] οὐδεὶς δὲ ἱστορεῖ ὡς πρὸς ἄρκτους εἰσί D

74 a. *δρακόντων*: λείπει ἡ μετά, ἵν' ᾖ μετὰ δρακόντων. BDGQ
b. νασιώταις δὲ τοῖς Σεριφίοις· ἡ δὲ Σέριφος νῆσος περὶ Αἴγιναν. 76b B

76 a. *ἐμοὶ δὲ θαυμάσαι*: οὔτε θαυμάσιον οὔτε ἄπι- BDEGQ
5 στον οὐδὲν ἐμοὶ φαίνεται τῶν ὑπὸ θεῶν γινομένων. Ὅμηρος (κ 306)· θεοὶ δέ τε πάντα δύνανται. 79b B b. ἄλλως· ἐμοὶ δὲ ὥστε θαυμάσαι οὐδὲν εἶναι ἄπιστον φαίνεται θεῶν καταπραξαμένων. 76a B

79 a. *ταχὺ δ' ἄγκυραν*: ἐπειδὴ κωλύει τὰς ναῦς ἐξο- BDEGQ
10 κέλλειν ἐπὶ τὰς πέτρας· οἷον ἀλέξησιν τῆς πέτρας, ὅπως σώσῃ τὴν πρῴραν ἀπὸ τῆς πέτρας. 79c B b. ἄλλως· ἐπιτιμᾷ ἑαυτῷ BEGQ ὁ Πίνδαρος ὡς πολλῇ χρησαμένῳ τῇ παρεκβάσει, καὶ τροπικῶς προάγεται τὸν λόγον ὡς ἐπὶ νεώς. 79a B c. παῦσον τὴν κώπην, ταχέως δὲ τὴν ἄγκυραν ἀπὸ τῆς πρῴρας τῇ γῇ κατέ-
15 ρεισον καὶ κάθες, οὖσαν τὴν ἄγκυραν βοήθημα καὶ ἀλέξημα τῆς χοιράδος πέτρας.

81 a. *χοιράδος ἀλκάν*: χοιράδες λέγονται πέτραι αἱ BDEGQ ὕφαλοι, ὑφ' ὧν καχλάζει τὸ κῦμα καὶ λανθάνειν αὐτὰς ὑποκειμένας παρασκευάζει, ὥστε λανθάνειν προσπλεούσας τὰς
20 ναῦς. b. τὸ δὲ πρῴραθεν, ὅτι ἐκ τῆς πρῴρας καθίενται αἱ ἄγκυραι εἰς τὴν θάλασσαν. 85c B

85 a. *ἔλπομαι δ' Ἐφυραίων*: σφόδρα ἐζητήθη, τίνας BDEGQ νῦν τοὺς Ἐφυραίους φησίν· ὁ μὲν γὰρ Ἀγέστρατος τοὺς

---

17 sch. Lycophr. 367 (p. 141, 32 S.) 22 cfr. sch. N. VII 53. — sch. Hom. N 301. Steph. Byz. Ἔφυρα

---

4 l.] ἢ οὕτως B 4. 5 ἄπιστ. οὔτε θαυμ. DGQ 5 οὐδὲν om. G[1]Q ‖ θεῶν] + ἐμοὶ B 6 ἄλλως] ἐμοὶ δὲ θαυμάσαι B 7 δὲ om. E ‖ οὔτε θαυμαστὸν οὐδὲν εἶναι οὔτε ἄπ. φ. Q ‖ φαίνεται om. E 9 l. om. B ‖ ἐπεὶ B 9. 10 ἐξοκίλλειν E 11 ἄλλως] κώπαν σχάσον B 13 προάγεται] ποιεῖται rec. ‖ sch. 79 c ὁ δὲ νοῦς praem. B 14 δὲ] + καὶ GQ rec. ‖ πρῴρας BE rec.: νεὼς τῆς πρ. GQ 15 κάθες] κατάθες καὶ κάθες B ‖ οὖσαν BE: + δηλονότι GQ rec. ‖ ἀκαλέξημα E 16 χειράδος etc. Q 17 l. om. B ‖ χοιράδες] + δὲ B 18 ὑφ'] ἐφ' B rec. 20 τῆς om. E 21 τὴν om. DGQ 22 l. om. B ‖ σφόδρα ἐζητήθη] ἐζήτητ(αι) δέ τισι Br ἐζήτησ(αν) ἔνιοι B[3], ut vid. 23 νῦν] οὖν E

Κορινθίους φησίν· Ἔφυρα γὰρ ἡ Κόρινθος, ὡς καὶ Ὅμηρος (Z 152)·

ἔστι πόλις Ἐφύρη μυχῷ Ἄργεος ἱπποβότοιο·

καὶ ἀποδίδωσι τὴν διάνοιαν οὕτως, ὅτι νικήσει ὁ νικηφόρος Ἴσθμια καὶ ὑπὸ τῶν Κορινθίων ἀνυμνηθήσεται. γελοῖον δέ. 5 *τί γὰρ μᾶλλον, εἴπερ εὔχεται, μὴ τὸν Ὀλυμπιακὸν εὔχεται ἀγῶνα νικήσειν; τινὲς δὲ Ἐφυραίους τοὺς ἐν Θεσπρωτίᾳ ἤκουσαν, ἧς καὶ Ὅμηρος μνημονεύει* (B 659)·

τὴν ἄγετ' ἐξ Ἐφύρης ποταμοῦ ἄπο Σελλήεντος.

ὁ δὲ Πίνδαρος ἀμφὶ Πηνειόν φησιν αὐτούς· δῆλον δὲ δή- 10 *πουθεν, ὡς ὁ Πηνειὸς τῆς Θεσσαλίας ἐστί, καὶ φαίνεται, ὅτι Ἐφυραίους οὔτε τοὺς ἐν Θεσπρωτίᾳ οὔτε τοὺς Κορινθίους φησί· ῥητέον οὖν, ὅτι τοὺς Κρανωνίους. Κρανὼν δὲ πόλις Θεσσαλίας· Θεσσαλὸς δὲ καὶ ὁ νικηφόρος. οὕτω δὲ πρότερον οἱ Κρανώνιοι Ἐφυραῖοι ἐκαλοῦντο. μαρτυρεῖ δὲ τούτῳ Κι-* 15 *νέας. φησὶ γὰρ ἔρχεσθαι αὐτὸν ὑπὸ τῷ Κρανῶνι, καὶ ἐλθεῖν ἐπὶ τὸν τῆς Ἱπποδαμείας γάμον ἐν Πίσῃ, εἶτα ἐκεῖ καταστρέψαντα τὸν βίον οἱ Θεσσαλοὶ τὴν Ἔφυραν καλουμένην πόλιν, εἰς τιμὴν τοῦ τεθνηκότος, Κρανῶνα μετωνόμασαν.* b. *ἄλλως· ἔλπομαι δ' Ἐφυραίων: ἐλπίζω δὲ τῶν Κρανωνίων* 20 *τῶν περὶ τὸν Πηνειὸν ποταμὸν τὴν ἐμὴν ἡδεῖαν ᾠδὴν ᾀδόντων, ἔτι καὶ πλέον τὸν Ἱπποκλέα ἕνεκεν τῶν στεφάνων σὺν ταῖς ᾠδαῖς θαυμαστὸν καὶ ἐπίδοξον ἐν τοῖς ὁμήλιξι θεῖναι*

---

8 sch. Hom. *B* 659 13 Strab. 7, 329 (fr. 14. 16). Steph. Byz. *Κράνων*

---

6 *εὔχεται* (alt.) **E**: om. **BDGQ** 9 *σελήεντος* **BQ** 10 *αὐτὸν* **DQ**(**G**cp) 10. 11 *δήπου* **DGQ** 12 *τοὺς* (alt.) om. **E** 13 *οὖν* **BE**: *δὲ* **DGQ** ‖ *κρανωνὼν* **E** 14 *οὗτοι?* 15 *τούτῳ* **BE**: *τοῦτο* **DGQ** 15. 16 *κινέας* **b**: *καὶ νέας* **BD** *καινέας* **EGQ** (*κεινέας* fuisse susp. **b**, cl. Harpocr. s. v. *κεινέας*) 16 *γὰρ* om. **B** ‖ *ἔρχεσθαι αὐτὸν* **DE** (o ex corr.?) **GQ** (prave): *ἄρχεσθαι αὐτῷ* **B** *ἄρχεσθαι αὐτὸν* **r** *ἄρχεσθαι αὐτὴν* **h**. Totus locus corruptus ‖ *τῶν κρανώνων* **DG** ‖ *κ///ρανῶνι* **E** (ras.) ‖ *καὶ* ⟨*αὐτὸν*⟩ *ἐλθεῖν* **b** ‖ *ἐλθεῖν* om. **D** 17 *πίσσῃ* **DEGQ** 17. 18 *καταστρέψαντος* cj. **b**
19 *κ///ραν////ῶνα* **E** (ras.) 19. 20 *ἄλλως*] *ὁ δὲ νοῦς οὕτως* **B** 20 l. **E**: *ἔλπομαι δέ* **DGQ** om. **B** 21 *ποταμὸν*] + *καὶ* **E** ‖ *ἡδεῖαν*] *τιμίαν* **Q** 21. 22 *ᾀδόντων* post 22 *ἱπποκλέα* trp. **B**
22 *ἱπποκλέαν* **r** (comp. **BDG**) ‖ *ἕνεκε* **E**

καὶ ἀποδεῖξαι, καὶ ἐν τοῖς πρεσβυτέροις ἀνδράσι καὶ [ἐν] ταῖς νεωτέραις παρθένοις φροντίδα καὶ μέριμναν, ἀπὸ κοινοῦ θησέμεν. 93b B c. φατρία παρὰ Θεσσαλοῖς ἡ τῶν Ἐφυραίων. BEGQ οἱ δὲ, ὅπερ κάλλιον, τοὺς Κρανωνίους ἤκουσαν· ἡ γὰρ Κρα-
5 νὼν τὸ πρότερον Ἔφυρα ἐκαλεῖτο, τὸ ὕστερον δὲ μετωνομάσθη Κρανὼν ἀπό τινος βασιλεύσαντος Κρανῶνος καὶ ἀναιρεθέντος ὑπὸ Οἰνομάου μνηστευσαμένου τὴν Ἱπποδάμειαν. 85a B

93 a. καὶ γὰρ ἑτέροισιν ἑτέρων ἔρως: οὐ γὰρ πάν- BDEGQ τες τῶν αὐτῶν ἐπιθυμοῦμεν· οὗτος τοῦ ἀθλεῖν ἐφρόντισε καὶ
10 ἐπεθύμησεν· αἱ δὲ παρθένοι διὰ τοὺς ἐμοὺς ὕμνους φροντίδα ἕξουσιν. 95 B b. ἄλλως· ὁ λόγος· καὶ γὰρ ἄλλοις τισὶ τῶν ἀνθρώπων ἄλλων πραγμάτων ἔρως ὑπεκίνησε τὰς φρένας. | καὶ οὗτος οὖν ἠράσθη τοῦ ἀθλεῖν. 93a B DEGQ

95 a. τῶν δ' ἕκαστος ὀρούει: τὴν μέριμνάν τις, περὶ BDEGQ
15 ἧς ἕκαστος φροντίζει, τελειώσας ὑπὸ τὸν καιρὸν ἐκεῖνον προσηνῶς διάγει. b. ἄλλως· ὡς ἂν δέ τις ὁρμᾷ καὶ ἐπιθυμῇ, τυχὼν τῆς παρὰ πόδας ἐπιθυμίας, ἡδίστην ἂν σχοίη τὴν μέριμναν, οἱονεὶ ἀμέριμνος λοιπόν ἐστιν.

98. τὰ δ' εἰς ἐνιαυτόν: τὰ δὲ μετ' ἐνιαυτὸν μέλλοντα BDEGQ
20 προγνῶναι ἄδηλον καὶ ἀδύνατόν ἐστιν. 102 Q

99 a. πέποιθα ξενίᾳ προσανεῖ Θώρακος: Θώραξ BDEGQ εἷς τῶν Ἀλευαδῶν, ἑταῖρος τοῦ νικηφόρου, ὃς καὶ ἠξίωσε τὸν

---

1 ἀποδεῖξαι BE: ἀποδοῦναι DGQ ‖ καὶ (alt.) om. DQ ‖ τοῖς πρεσβυτέροις B rec.: τοῖς (ταῖς E) πρεσβύταις ‖ καὶ (tert.) — 2 μέριμναν om. D ‖ ἐν om. B rec.; seclusi 2 νεωτέροις EQ 3 τὸ θησέμεν GQ δὲ τὸ θησ. D ‖ l. null. EQ: ἄλλως G ἕλκομαι δ' ἐφυραίων B 4 ὅπερ] ὅτι B ‖ κάλλον E 4. 5 κραννὼν E 5 τὸ (alt.) om. B rec. 6 κραννὼν et κραννῶνος E ‖ βασιλεύοντος E 8 l. E (et B, ante sch. 93b): καὶ γὰρ ἑτέροισ(ιν) DGQ 9 οὗτος] + οὖν ἠράσθη B (cfr. sch. 93b) ‖ τοῦ BDG: τὸ EQ ‖ ἀθλεῖν] + καὶ B 9. 10 καὶ ἐπεθύμησεν om. B 10 ὕμνους] λόγους Q[1] 11 ἄλλως] καὶ γὰρ — ἔρως B (cfr. ad 8) om. D 11 τισὶ B: τίς E om. DGQ 12 τὰς φρένας τίς πρ. ἔρως ἐπεκίν. (om. ἄλλων) DGQ 14 τις] + φησὶ B 14. 15 ἕκαστος περὶ ἧς DG 15. 16 προσηνῶς om. DG 16 ἄλλως] ἢ οὕτως B ‖ ὡς] ὢν B ‖ ὁρμᾷ] ἐρᾷ B ‖ ἐπιθυμῇ Q: -μεῖ BDEG 17 ἂν om. E 18 οἱονεὶ — ἐστιν ft. a cett. seiungenda 19 sch. 98 hab. E[mg], om. l. 20 ἐστιν om. B?r 21 l. BEG: πέπ. ξεν. Q πεπ. D ‖ προσηνεῖ G 22 ἀλευάδων omnes

ποιητὴν ἐπὶ τῇ νίκῃ τοῦ ἑταίρου συντάξαι τὸν ἐπίνικον.
b. *ὁ δὲ νοῦς· πεπίστευκα δὲ τῇ προσηνεῖ φιλίᾳ τοῦ Θώρακος, ὅστις τὴν ἐξ ἐμοῦ χάριν ἐπιθυμῶν τοῦτο τὸ τῶν Μουσῶν τέθριππον ἅρμα ἔζευξε· λέγει δὲ τὸν ὕμνον· ὅτι αὐτὸς ἔπεισε γράψαι τῷ νικηφόρῳ τὸν ἐπίνικον.* 104b B 105a E 107 Q 5

DGQ 102. *τόδ' ἔζευξεν ἅρμα: ἀντὶ τοῦ ζευχθῆναι ἐποίησεν. ἀλληγορικῶς δὲ τὸ ποίημα ἅρμα Πιερίδων.*

BDEGQ 104 a. *ἄγοντα προφρόνως: ἀντὶ τοῦ ἀγόμενον· ἵν' ᾖ· καὶ ἐμὲ αὐτὸν βουλόμενον καὶ ἑκουσίως ἀγόμενον.* 105b B
b. *ἄλλως· ἤτοι ἐπαγόμενός με πρὸς τὴν φιλίαν τοῦ ἀθλητοῦ* 10 *ἐποίησέ με γράφειν τὸ ποίημα· ἢ τὸν ἀθλητὴν ἐπαγόμενος πρὸς τὴν φιλίαν μου ἐποίησέ με εἰς αὐτὸν γράφειν.* 104a B 105b E

BDEGQ 105 a. *πειρῶντι δέ: τῷ δὲ ἀποπειρωμένῳ καὶ δοκιμάζοντι ὁ χρυσὸς ἐν τῇ βασάνῳ διαπρέπει καὶ τὸ ἑαυτοῦ δείκνυσιν ἀνθηρὸν τῆς ὕλης.* 105d B 104a E 15

BDEGQ 105 b. *πειρῶντι δὲ καὶ χρυσὸς ἐν βασάνῳ πρέπει: ὥσπερ, φησί, τῷ πειράζοντι τῇ βασάνῳ ὁ χρυσὸς πρεπτός ἐστι, τουτέστιν ἐκπρεπὴς πότερον καλὸς ἢ κίβδηλός ἐστιν, οὕτω καὶ ὁ ὀρθὸς νοῦς ἐκ τῆς πείρας δοκιμάζεται. καὶ οὗτος*
BEGQ *οὖν κράτιστος ἐξήτασται ἐν φιλίᾳ.* c. *ἄλλως· [πειρῶντι* 20 *δὲ καὶ χρυσός:] ἔξωθεν τὸ πείρᾳ δείκνυται.* 105a B d. *βάσανος δὲ λίθος ἐστὶ Λυδία, πρὸς ἣν ὁ χρυσὸς ἀκονώμενος*
BDEGQ *διαπρέπει.* e. *ὁ δὲ νοῦς ὅλος· ὥσπερ ὁ χρυσὸς διὰ τῆς Λυδίας λίθου δοκιμάζεται, πείρᾳ καὶ ἔργῳ ὁ τῶν φίλων τρόπος.* 99 Q 25

BDEGQ 107. *ἀδελφεούς τ' ἐπαινήσομεν: τοὺς δὲ τοῦ Θώ-*

---

1 *ἐπὶ* om. E ‖ *ἐπινίκιον* E 2 *δὲ*] *δὴ* E *δὲ καὶ* B 4 *ἅρμα τέθρ.* B ‖ *ὅτι*] *ὅτε* s. *ὅταν* B 6 *ἅρμα* om. D 8 l.] *ἤτοι ἄγοντα* B *ἄγων ἄγοντα πρ.* Q ‖ *ἀγόμενον*] + *τὸ ἄγοντα* DGQ 9 *καὶ* (pr.) om. DGQ 10 *ἄλλως* E(Q): om. DG *φιλέων φιλέοντ', ἄγων ἄγοντα* B ‖ *ἀπαγόμενος* B 11 *γράψαι* B 12 *εἰς* B: *πρὸς* 13 l. om. B 16 l. BE: *ἄλλως* DG(Q) 17 *τῇ*] + *λα*(?) B, sed delet. ‖ *πρεπτὸς* — 18 *ἐστιν*] *φανεροῦται εἴτε εὐπρεπής ἐστιν εἴτε κίβδ.* DG 18 *εὐπρεπὴς* Q[pc] (ut DG) *εὐτρεπὴς* Q[ac] ‖ *καλός ἐστιν ἢ κίβδ.* B 19 *καὶ* (alt.) om. B ‖ *οὕτως* DGQ 20 *ἐν φιλίᾳ ἐξήτ.* E *ἐξήτ. ἡ φιλία* DG ‖ l. om. B; seclusi, nam sch. ad *καὶ νόος ὀρθός* pertinet 24 *πείρᾳ*] *οὕτω πείρᾳ* B 26 l. E; + *ἐσλούς* B *ἀδ. τε* DG *ἀδ.* Q

ρακος ἀδελφοὺς ἀγαθοὺς ὄντας ἐγκωμιάσομεν, ὅτι τοὺς τῶν Θεσσαλῶν νόμους αὔξοντες εἰς ὕψος ἐπαίρουσιν, οἱονεὶ δικαίως ἄρχοντες ἐπαίρουσι τοὺς νόμους τῇ δικαιοσύνῃ.

110 a. *ἐν δ' ἀγαθοῖσι κεῖνται*: ἔνθα, ἐν τῇ Θεσσαλίᾳ, BDEGQ
5 ἀγαθοῖς οὖσι τοῖς Ἀλευάδαις αἱ πατρικαὶ καὶ ἔνδοξοι κυβερνήσεις καὶ διοικήσεις ἀπόκεινται. ἐκ δὲ τούτου, καὶ οἱ νόμοι τῶν πατέρων αὐτῶν ἐν Θεσσαλίᾳ ἀπόκεινται. b. τῷ γὰρ DGQ κεῖται ἀντὶ τοῦ κεῖνται συνήθως τῷ σχήματι κέχρηται. c. ἢ B οὕτως· οἱ ἀγαθοὶ κυβερνῶσι τὰς ἑαυτῶν πατρίδας.
10 τέλος Ἱπποκλέους. G

Scholia in Pythionicarum carmen XI.

Θρασυδαίῳ Θηβαίῳ παιδὶ σταδιεῖ. (D)EG(Q)

Τῆς ἑνδεκάτης ᾠδῆς ἡ στροφὴ καὶ ἀντίστροφος κώλων B ἐννέα. τὸ α' ἰαμβικὸν δίμετρον βραχυκατάληκτον. τὸ β' Ἰωνικὸν τρίμετρον βραχυκατάληκτον. τὸ γ' ἀντισπαστικὸν
15 δίμετρον ὑπερκατάληκτον. τὸ δ' τροχαϊκὸν δίμετρον βραχυκατάληκτον. τὸ ε' τροχαϊκὸν δίμετρον βραχὺ λελυμένον. τὸ ϛ' ἑφθημιμερὲς δακτυλικόν. τὸ ζ' παιωνικὸν δίμετρον καταληκτικόν. τὸ η' ἰαμβικὸν δίμετρον καταληκτικόν. τὸ θ' ἰαμβικὸν δίμετρον βραχυκατάληκτον.

20 ἡ ἐπῳδὸς κώλων ἕξ. τὸ α' χοριαμβικὸν δίμετρον καταληκτικόν. τὸ β' Φερεκράτειον ἀπὸ βραχειῶν ἀρξάμενον. τὸ γ' ἐπιωνικὸν τρίμετρον ἀκατάληκτον. τὸ δ' περίοδος ἐξ ἰάμβων καὶ τροχαίων. τὸ ε' τὸ αὐτό. τὸ ϛ' ἰαμβικὸν δίμετρον καταληκτικόν. B

---

2 ἐπαίρουσι **BE**: αἴρουσι **DGQ** 4 ἐν δ'] ἔνθ' **U** ‖ κεῖται **DG** ‖ θετταλίᾳ **B** 5 ἀγαθοῖσιν οὖσι(ν) **DG** ‖ ἔνδοξοι — 6 διοικήσεις om. **DG** 6 ἔγκεινται **DG** ‖ ἐκ — 7 ἀπόκεινται om. **r**; et vid. sensu cassa ‖ τούτων **DG** 7 τῷ γὰρ] τὸ δὲ **Q** rec. 8. 9 ἢ οὕτως] ἀντὶ τοῦ **B**[3]**H**[g1] 11 pro inscr. spat. **DQ** ‖ σταδιοδρόμῳ **G** 15. 16 βραχυκατ. **B** (prave): καταληκτικόν Pauw (recte?) 16 βραχὺ **B** (prave): ὑπερκατάληκτον Pauw 17 παιονικὸν **B** (corr. Beck) 20 ἐπῳδὴ **B** (corr. **h**) 21 βραχειῶν Pauw: βραχείας **B**

BDEGQ Inscr. a. *Γέγραπται ἡ ᾠδὴ Θρασυδαίῳ παιδὶ νικήσαντι κη′ Πυθιάδα, καὶ λγ′ δίαυλον ἢ στάδιον ἄνδρας.* inscr.^{b} B
(2.) *τὸ δὲ ἀγυιᾶτις ἀντὶ τοῦ ὦ ἀγυιᾶτις, ὡς καὶ παρ' Ὁμήρῳ* (Γ 277)· *Ἠέλιος ὃς πάντ' ἐφορᾷς· καὶ* (ρ 415)· *δὸς φίλος. ἀγυιᾶτις οὖν ἀντὶ τοῦ σύνοικε.* 1 B 5

DEGQ Inscr. b. *ἄλλως· Θρασυδαίῳ Θηβαίῳ σταδιεῖ: γέγραπται μὲν ἡ ᾠδὴ τῷ προκειμένῳ νικήσαντι τὴν λγ′ Πυ-*
BDEGQ *θιάδα διαύλῳ.* | *οὐκ εἰς τὴν τοῦ διαύλου δὲ νίκην γράφει, ἀλλ' εἰς τὴν τοῦ σταδίου.* (1.) *τῷ δὲ εἶναι Θηβαῖον τὸν Θρασυδαῖον τὰς ἀπαθανατισθείσας ἐν Θήβαις ἡρωΐδας ἐπι-* 10 *καλεῖται. προοιμιάζεται δὲ κατὰ τὸν προσαγορευτικὸν λόγον καὶ οὐχὶ κατὰ τὸν διηγηματικόν· πρὸς γὰρ αὐτὰς ἀποτείνεται, οὐχὶ δὲ περὶ αὐτῶν λέγει.* (2) B

BDEGQ 1. *Κάδμου κόραι: ὦ Κάδμου κόραι, Σεμέλη μὲν τῶν Ὀλυμπίων θεῶν σύνοικε, Ἰνὼ δὲ Νηρεΐδων, παραγίνεσθε* 15 *σὺν τῇ μητρὶ τοῦ ἀριστογόνου Ἡρακλέους, φησὶ δὲ τῇ Ἀλκμήνῃ· παραγίνεσθε, ὦ ἡρωΐδες, εἰς τὴν Μελίαν καὶ τῶν τιμίων τριπόδων εἰς τὸν ἄδυτον ἀνθρώποις θησαυρόν, τὴν Μελίαν ἀκούομεν. τὸ δὲ ἄδυτον πρὸς τὸ ἄγαν σεπτόν.*

BDEGQ 5. *ἴτε σὺν Ἡρακλέος ἀριστογόνῳ: ἴτε εἰς τὸν ἄδυ-* 20 *τον, ὅς ἐστι χρυσέων τριπόδων θησαυρός. πυκνῶς δὲ τίθη-*

---

3 cfr. sch. O. VI 37a. 179a

---

1 *παιδὶ*] + *θηβαίῳ σταδιεῖ τῷ προκειμένῳ* **B** (ex inscr. b) 2 *καὶ*] ⟨*ἐνίκησε δὲ*⟩ *καὶ* Bulle N. Jhrb. 103 (1871) p. 590 ‖ *ἢ στάδιον* secl. Schroeder ed. mai. p. 67 ‖ *ἢ*] *καὶ* rec. 3 *ἀγυᾶτις* ubique **E** ‖ *ἀντὶ τοῦ* om. **E**, iteravit **B** ‖ *ἀγυιᾶτι?* 4 *ἠέλιός θ'* **B** ‖ *καὶ — φίλος* om. **DGQ** 5 *σύνοικε*] + *τῶν θαλαττίων νηρεΐδων* **B** 6 *ἄλλως* om. **D** 7 *τὴν ᾠδὴν* **E** ‖ *νικήσαντι* ⟨*τὴν κη′ πυθιάδα σταδίῳ καὶ*⟩ *τὴν* Bulle l. l. p. 590 8 *δὲ* om. **EQ** 9 sch. (1) l. *κάδμου κόραι σεμέλα μέν* praem. **B** ‖ *τῷ δὲ* **DGQ**: *τὸ δὲ* **E** *τῶ* **B** 10 *ἐν* **BE**: *ἐπὶ* **DGQ** 11 *προσαγορ.* **B** rec.: *προαγορ.* 12 *τὸν*] *τὸ* **E** ‖ *αὐτὰς*] *αὐτὸν* **D?G** 13 *αὐτῶν*] *αὐτὰς* **E** 14 l.] *ὁ δὲ νοῦς* **B** om. **D** ‖ *σεμέλα* **GQ**(**D**^{cp}) 15 *παραγένοισθε* **B**^{1} *-γένεσθε* **B**^{s}; item 17 16 *ἡρακλέος* **Q** (comp. **BDG**) ‖ *φημὶ δὴ* **B** 18 *τὴν — 19 ἀκούομεν* del. **h**; ft. *τὸ ἰσμήνιον ἀκ.* 19 *ἀκούομεν*] *φησί* **B** 20 l. **E**: + *ματρί* **B** *ἴτε σὺν ἡρ.* **DGQ** ‖ *τὸν*] *τὸ* **G**^{i}**Q** 21 *πυκνὸς* **DG**

σιν ὁ Πίνδαρος κατὰ τὸ ἀρσενικὸν τὸν ἄδυτον. προσκαλεῖται δὲ τὰς Θήβησιν ἡρωΐδας εἰς τὸ Ἰσμήνιον ἥκειν, ἐν ᾧ τὸ τοῦ Τηνέρου ἱερόν ἐστι χρηστήριον. τριπόδων δὲ εἶπε θησαυρὸν τὸ Ἰσμήνιον διὰ τὸ αὐτόθι πολλοὺς ἀνακεῖσθαι τρίποδας·
5 οἱ γὰρ Θηβαγενεῖς ἐτριποδοφόρουν ἐκεῖσε. ἡ δὲ Μελία Ἰσμηνοῦ ἀδελφὴ ὑπὸ Ἀπόλλωνος φθαρεῖσα καὶ γεννήσασα Τήνερον, ἀφ' οὗ ἐν Θήβαις Τηνερικὸν πεδίον.

6. *πὰρ Μελίαν χρυσέων*: Μελία Ὠκεανοῦ θυγάτηρ, **BDEGQ** ἐξ ἧς καὶ Ἀπόλλωνος Τήνερος ὁ μάντις, ὃς παρ' Ἰσμηνῷ τῷ
10 ποταμῷ ἐμαντεύετο. καὶ αὐτόθι μαντεῖόν ἐστιν, ὃ Ἰσμήνιον καλεῖται, ἔστι δὲ καὶ πηγὴ ὁμώνυμος τῇ ἡρωΐδι.

8. *ὃν περίαλλ' ἐτίμασεν*: ὅντινα τὸν ἄδυτον θησαυ- **BDEGQ** ρὸν ὁ Ἀπόλλων ἐξόχως ἐτίμησε καὶ ὠνόμασεν αὐτὸν Ἰσμήνιον μαντεῖον, καὶ ἀληθέστατον θῶκον ὄντα τὸν ἄδυτον θη-
15 σαυρόν, τουτέστι τὸ Ἰσμήνιον μαντεῖον, ἀληθῆ τῶν μαντευμάτων καθέδραν.

12a. *ὦ παῖδες Ἁρμονίας*: Σεμέλη καὶ Ἰνώ, ἃς κατὰ **DEGQ** τὸ προοίμιον ἐκάλεσεν.

12b. *ἔνθα καὶ νῦν ἐπίνομον*: εἰς τὸ Ἰσμήνιον καλεῖ **BDEGQ**
20 συνέρχεσθαι τὸν ἐπίνομον τῶν ἡρωΐδων στρατόν. c. ἐπίνομον δὲ στρατὸν εἶπε τὰς ἐπινεμομένας καὶ ἐποπτευούσας τὰς Θήβας. d. ἢ ἐπίνομον τὸν σύννομον ταῖς Θήβαις, τὸν ἐπὶ τοῦ αὐτοῦ νομοῦ καὶ τῆς αὐτῆς ἐπινομῆς. e. τίς δὲ καλεῖ; ἤτοι ὁ Ἀπόλλων καλεῖ διὰ τὴν νίκην, ἢ καὶ ἡ Μελία,
25 ὅπερ καὶ βέλτιον· θήλεια γὰρ θηλείας εὐλόγως συγκαλεῖ.

---

3 Ammonius s. v. Θηβαῖοι (Didym. p. 238 Schm.) 5—11 Tzetzes ad Lyc. 1211

---

1 ὁ πίνδαρος om. **DGQ** ‖ τὸν] τὸ **Q** 2 δὲ] ἐς **E** ‖ ἰσμήνειον ubique **GQ**, saepius **E** 3 τηνέρου] νέρου **E** 5 ἐτριποδοφόρουν **BE**: ἐτριποδηφ. **DGQ** rec. 6. 7 τήνορον **E** τένερον **D** 8 l. **E**: πὰρ μ. **DGQ** ἄλλως **B** 10. 11 καλεῖται ἰσμ. **B** 12 l. **E**: ὃν περίαλλα **DGQ** ὁ δὲ νοῦς **B** 13 ὠνόμασεν] + καὶ **B** 14 θῶκον] θεὸν **r** (**B** l. n.) 15 τουτέστι **BEQ**: ἤτοι **DG** 18 προκείμενον **Q** 19 l. **BE**: ἔνθα καὶ νῦν **DGQ** 20 τὸν om. **B**?**r** ‖ ἡρώων **E** 21 δὲ om. **B** 22 σύνομον **E** 23 τοῦ αὐτοῦ νομοῦ **B**: τοῦ αὐτοῦ νόμου **G** τῆς αὐτῆς νομῆς **D** τοῦ νόμου **E** τῷ αὐτῷ νόμῳ **Q** 25 συγκαλεῖ **G**[rp]**Q**: καλεῖ **DE** συγκαλοίη **B**

f. ὁ δὲ νοῦς· καὶ νῦν ἐνταῦθα, ἐπὶ τοῦ παρόντος, τῶν ἐντοπίων ἡρωΐδων συνηθροισμένων τὸ πλῆθος προσκαλεῖται προσελθεῖν ἤτοι ὁ νικηφόρος ἢ ὁ Ἀπόλλων, ἢ ἡ Μελία, ὃ καὶ
DGQ βέλτιον· | θήλεια γὰρ οὖσα εἰκότως τὰς ἡρωΐδας προσκαλεῖται. 5

DEGQ 15 a. ὄφρα Θέμιν ἱεράν: εἰς τοῦτο συγκαλεῖται, ἵνα
BDEGQ ὑμνήσωσι τὴν Θέμιν καὶ τὴν Πυθώ. b. Θέμιδος ἦν τὸ χρηστήριον, ὅθεν καὶ τὸ θεμιστεύειν. c. ἄλλως· ὅπως ἂν τὴν ἱερὰν Θέμιν καὶ τὴν Πυθῶνα καὶ τὸν ὄντα ὀμφαλὸν τῆς γῆς ὑμνήσητε σὺν παννυχίσι, χάριν κατατιθέμεναι ταῖς ἑπταπύλοις Θήβαις καὶ τῷ τῆς Κίρρας ἀγῶνι. 10

BDEGQ 21 a. ἐν τῷ Θρασυδαῖος ἔμνασεν: ἐν ᾧ, τῷ τῆς Κίρρας ἀγῶνι, φησὶ δὲ τῷ Πυθικῷ, ἐπιβαλὼν τρίτον στέφανον τὴν πατρικὴν μνήμην ἤγαγε τῶν πατρικῶν κατορθωμάτων, νικῶν ἐν τῇ χώρᾳ τοῦ Πυλάδου τοῦ φίλου τοῦ Λάκωνος 15 Ὀρέστου. b. ἄλλως· ἐν τῷ προκειμένῳ ἀγῶνι τῆς Κίρρας, ἐν τοῖς Πυθίοις, ἀνέμνησε τὴν πατρῴαν ἑστίαν τῶν νικῶν,
BEGQ ἐπιβάλλων αὐτῇ τὸν στέφανον. c. τρίτον δὲ εἶπεν ὡς ἢ πατρὸς ἢ προγόνου τινὸς αὐτοῦ νενικηκότος· αὐτὸς γὰρ ἅπαξ ἀναγράφεται Πύθια νικήσας. 20

BDEGQ 22. τρίτον ἐπὶ στέφανον πατρῴαν βαλὼν ἐν ἀφνεαῖς ἀρούραις: ὅτι τὴν Φωκίδα χώραν ἀφνεὰν ἄρουραν Πυλάδου εἴρηκε· τῆς γὰρ Φωκίδος ἡ Πυθών, ἧς Στρόφιος ὁ πατὴρ Πυλάδου ἐβασίλευσε· καὶ ὅτι τὸ ξένον Λάκωνος Ὀρέστα τοιοῦτον· ἐν τῇ χώρᾳ τοῦ Πυλάδου, ὅστις ἦν τοῦ 25 Λάκωνος Ὀρέστου ξένος. τὸ δὲ τρίτον ἐπὶ στέφανον, οὐχ ὅτι αὐτὸς ὁ νικηφόρος τρεῖς ἔσχε νίκας, ἀλλ' ἀναγέγραπται

6 l. et **B** ‖ ἱεράν om. **E** 7 θέμιδος] + γὰρ **DG** rec. 8 ἄλλως] ὁ δὲ νοῦς **B** 9 πυθῶ **DG** ‖ ὄντα suspectum; ὀρθοδίκαν rec. ἀληθεύοντα? Schroeder 11 τῆς om. **E** 12 l. **BE**: ἐν τῷ θρ. **DG** ἐν τῷ **Q** 14 πατρικὴν] + νίκην **DGQ** ‖ ⟨ἐπὶ⟩ τὴν πατρ. ⟨ἑστίαν⟩ μνήμην ἀνήγειρε Bergk 15 ⟨καὶ⟩ νικῶν id. 19 αὐτοῦ νενικ. τινός **B** 21 l. **E**: item, om. πατρ. βαλὼν **GQ** τρ. ἐπὶ στ. **D** ἄλλως **B** 22 ὅτι **E**: τὸ σημεῖον (σῆμα **Q**) ὅτι **DGQ** (rec.) ἰστέον ὅτι **B** 23 εἶπε πυλάδου **DGQ** rec. ‖ τῆς — 24 ἐβασ. om. **DGQ** rec. 25 ἐν] ἤτοι ἐν **B** 25 ὅστις — 26 ξένος om. **D** 27 ὁ νικ. om. **D** ‖ ἀλλ' ⟨ὅτι⟩ **b**

ὁ πατὴρ αὐτοῦ Ὀλυμπιονίκης γεγονώς, καὶ αὐτὸς εὐτυχήσας ὅτι τὰς πάσας τρεῖς ὑπέδειξεν αὐτῷ γεγονέναι καὶ τῷ πατρί.

23 a. *ἐν ἀφνεαῖς ἀρούραις*: ταῖς τῆς Φωκίδος· ἧς ἡ Πυθώ· ἧς Στρόφιος ὁ πατὴρ Πυλάδου ἐβασίλευσεν. DEGQ b. ἄρι- BDEGQ
5 στα ὁ Πίνδαρος τὸ ἐγκώμιον εἰργάσατο· ἐν δὲ τοῖς ἑξῆς σφόδρα ἀκαίρῳ παρεκβάσει ἐχρήσατο.

25 a. *τὸν δὴ φονευομένου πατρός*: ἀνείλετο ἡ τρο- BDEGQ φὸς Ἀρσινόη τὸν Ὀρέστην φονευομένου τοῦ πατρὸς ὑπὸ τῆς Κλυταιμνήστρας. b. ἰδίως δέ φησιν ὁ Πίνδαρος Ἀρσινόην
10 εἶναι τὴν Ὀρέστου τροφόν· Φερεκύδης (FHG I p. 94) δὲ Λαοδάμειαν λέγων αὐτὴν τὸν ταύτης παῖδά φησιν ἀνῃρῆσθαι ὑπὸ Αἰγίσθου νομιζόμενον Ὀρέστην εἶναι· τὸν δὲ Ὀρέστην ἐκκλαπέντα εἶναι τριῶν ἐτῶν, ὡς Ἡρόδωρος ἐν Πελοπείᾳ (FHG II p. 41). c. ἄλλως· ὅντινα τὸν Ὀρέστην φονευομένου
15 τοῦ πατρὸς αὐτοῦ Ἀρσινόη ἡ τροφὸς ἐκ τῶν Κλυταιμνήστρας χειρῶν καὶ τοῦ κατ' αὐτοῦ δόλου σκευωρουμένου ὑπεξέκλεψεν, ὅτε ἡ ἀνηλεὴς γυνὴ τὴν τοῦ Δαρδάνου παιδὸς Πριάμου θυγατέρα Κασάνδραν τῷ πολιῷ ξίφει σὺν τῇ τοῦ Ἀγαμέμνονος ψυχῇ ἔπεμπε παρὰ τὴν εὔσκιον τοῦ Ἀχέροντος ἀκτήν. μετέ-
20 πεσε δὲ εἰς τὸν περὶ αὐτοῦ λόγον.

34. *πότερόν νιν*: ἐπιζητεῖ δύο αἰτίας, δι' ἃς τὸν Ἀγα- BDEGQ μέμνονα ἀνεῖλε, καί φησι· πότερον ἄρα ἡ Ἰφιγένεια ἡ παῖς αὐτῆς μακρὰν τῆς πατρίδος ἐν τῷ Εὐρίπῳ σφαγεῖσα ἐλύπησεν αὐτὴν καὶ ἐκίνησεν, ὥστε τὴν ὀργὴν ταύτην ἔχουσαν

---

9 cfr. sch. Aesch. Choeph. 729

---

1 *αὐτὸς*] *δὶς* Bergk (?) 2 *ὅτι*] del. **b** *ὥστε* Schroeder. Locus corruptus 3 *ἀρούραις* om. **D** 4 *ἐβασίλευεν* **DGQ** 4. 5 *ἄριστον* **DQ** *ἄριστα τοίνυν* **B** 7 l. **BE**: *τὸν δὴ φον.* **DGQ** 8 *ὑπὸ τῆς* **B**: *ὑπὸ* **EQ** om. **DG** 9 *κλυτ.*] + *φησὶν* **B** ‖ *φησιν* post *εἶναι* trp. **B** 11 *φησὶ παῖδα* **B** 12 *νομιζομένου* **DQ** 13 *ἡρόδοτος* **DGQ**, rec. ‖ *πελοπείᾳ* **B**: *πελοπίᾳ* 14 *ἄλλως*] *ὁ δὲ νοῦς* **B** 15 *τοῦ αὐτοῦ πατρ.* **E** ‖ *τῶν*] + *τῆς* **E** 16 *χερῶν* **E** ‖ *αὐτῆς* **E** ‖ *σκευωρ. δόλου* **DG(Q)** ‖ *ὑπεξέκλεψεν* **B**: *ὑπέκλεψεν* 17 *ὅτε*] + *καὶ* **DGQ** ‖ *τὴν* om. **DE** 18 *ξίφει*] *σου ξίφη* **E** 19 *ἔπεμψε* **E** rec. 21 *νιν* om. **Q** 23 *σφαγ. ἐν τῷ εὐρ.* **B** (rec.) ‖ *ἐν*] *εὐ* **E** *ἐπὶ* rec. 24 *ἐχούσης* **E**

βαρύτατον τὸ ἐπιχείρημα ἄρασθαι, καὶ τολμῆσαι τοσοῦτον, ὡς πρὸς τὴν τοῦ Ἀγαμέμνονος ὁρμῆσαι σφαγήν· ἢ ἑτέρῳ αὐτὴν ἀνδρὶ μισγομένην αἱ νυκτεριναὶ τῆς μοιχείας συνουσίαι παρήγαγον κατὰ τοῦ Ἀγαμέμνονος, ὥστε αὐτὸν φονεῦσαι σὺν δόλῳ; 40b B 5

BDEGQ 40 a. τὸ δὴ νέαις ἀλόχοις: ὅπερ, τὸ τῆς μοιχείας ἁμάρτημα, ἐπικαλύψαι ταῖς ἀλλοτρίαις γλώσσαις ἀδύνατόν ἐστιν· λαθεῖν τοὺς ἔξω, ἢ μαθόντας τοὺς ἔξωθεν ἀποσιωπῆ-
BGQ σαι ἀδύνατόν ἐστι πρᾶγμα. οἱ γὰρ ἀλλότριοι λαλοῦσι· | κατὰ
BDEGQ φύσιν γὰρ λοίδοροί εἰσιν οἱ πολῖται. 45 B b. ἄλλως· ὅπερ, 10 τὸ ὑπὸ ἄλλῳ ἀνδρὶ μοιχεύεσθαι, ταῖς νέαις γυναιξὶν ἐχθρότατον ἁμάρτημά ἐστιν. 40a B

BDEGQ 45 a. ἴσχει τε γὰρ ὄλβος οὐ μείονα φθόνον: ἤδη καὶ τῶν ὑπερεχόντων μᾶλλον ἰδίως ἅπτονται γὰρ οὗτοι. τοῦτο δὲ πρὸς τὸν Ἀγαμέμνονα, ὅτι ἐπιφανὴς ὢν ἐφθονήθη. 15
b. ἢ οὕτως· ἔχει γὰρ ἡ εὐτυχία οὐ μικρὸν φθόνον, ὅτι ἀεὶ τοῖς εὐτυχοῦσι βασκαίνουσιν οἱ ἔξωθεν.

BDEGQ 46 a. ὁ δὲ χαμηλὰ πνέων: ὁ δὲ ταπεινὰ καὶ οἰκτρὰ πνέων, τουτέστιν ὁ εὐτελὴς καὶ πένης ἀφώνως ἠχεῖ, οἷον ζῇ· διὰ γὰρ τὴν πενίαν εὐτελής τις ὢν καὶ ἀφανής ἐστιν. 20
BEGQ b. ἄλλως· ὁ δὲ ταπεινὸς οὐκ ἐν φανερῷ βρέμει.
EGQ c. τὸ δὲ χ´ ὅτι χαμηλὰ τὰ ταπεινὰ εἴρηκεν.

BDEGQ 47 a. θάνε μὲν αὐτὸς ἥρως: ἀπέθανε μὲν οὖν αὐτὸς ὁ Ἀγαμέμνων χρόνῳ πολλῷ παραγεγονώς ποτε ἐν Λακεδαίμονι, καὶ τὴν μάντιν ἀπολέσθαι πεποίηκε κόρην Κασάνδραν· 25

---

1 τὸ om. E ‖ καὶ τολμῆσαι] καὶ λυπῆσαι τολμῆσαι B om. Q ‖ τοσοῦτον — 2 σφαγήν B: κατὰ τοῦ ἀγαμέμνονος DGQ rec. κατὰ τὴν τοῦ ἀγ. E 3 post ἀνδρὶ lac. sive ras. E ‖ μισγομέναν E -νη D?G 4 κατὰ τοῦ ἀγ. BE: ἐπὶ τὴν τοῦ ἀγ. μανίαν DGQ ἐπὶ τὴν κατὰ τοῦ ἀγ. μαν. rec. 6 l. E: τὸ δὴ νέαις DGQ om. B 8 λαθεῖν] ἢ λαθεῖν B ‖ ἔξωθεν BE: ἔξω DGQ 10 ἄλλως] τὸ δὴ νέαις ἀλόχοις B ‖ ὅπερ] + φησὶ B 11. 12 αἰσχρότατον DGQ 12 ἐστιν om. B 13 τε om. E ‖ οὐ — φθόνον om. DGQ 14 γὰρ om. B; locus corruptus vel potius lacunosus 16 γὰρ] + καὶ r (rec.?) 18 l. DEG: [ὁ] δὲ χαμ. Q om. B 20 ὢν] ἂν E 21 ἄλλως] ἢ οὕτως B ‖ χ´ E: σημεῖον GQ 22 τὰ om. E ‖ εἴρηκε E: εἶπε. κατὰ φύσιν γὰρ λοίδοροί εἰσιν οἱ πολῖται GQ εἶπε rec. 23 l. BE: θάνε μέν DGQ 24. 25 λακεδαίμονι] ἑλλάδι E (λακεδ. E^mg) ‖ κόρην om. Q ‖ κασσάνδραν DEG

αἴτιος γὰρ αὐτὸς τοῦ ὑπὸ Κλυταιμνήστρας ἀποθανεῖν αὐτὴν γέγονεν. b. ἄλλως· παραγεγονὼς δὲ εἰς Λακεδαίμονα ὁ Ἀγαμέμνων ἀποτέθνηκεν, ἐπειδὴ περὶ τῇ Ἑλένῃ μαχόμενος συμφλεχθείσης τῆς Τροίας καὶ τῶν ἐνοικούντων Τρώων, διέ-
5 λυσε τοὺς οἴκους τῆς εὐδαιμονίας, ἀντὶ τοῦ τοὺς πλουσίους οἴκους κατεστρέψατο.

48. *Ἀμύκλαις*: κατὰ μέν τινας πόλις, κατὰ δέ τινας **DGQ** δῆμος Λακωνικῆς.

51. *ἀβρότατος*: τῆς εὐδαιμονίας, τῆς τρυφῆς. (49.) ἀπὸ **DGQ**
10 δὲ κοινοῦ τὸ ἴκων.

53. *νέᾳ κεφαλᾷ*: ἀντὶ τοῦ νέος ὢν ἔτι. ὁ δὲ Ὀρέστης, **BDEGQ** φησίν, ἔτι νεώτερος ὢν τὰς τῆς μητρὸς ἀποφεύγων χεῖρας πρὸς Στρόφιον τὸν Πυλάδου πατέρα παρεγένετο, οἰκοῦντα πρὸς τὸ ἔσχατον τοῦ Παρνασοῦ.

15 55. *ἀλλὰ χρόνῳ σὺν Ἄρει*: ἀλλὰ χρόνῳ ποτὲ ἡβήσας **BDEGQ** ὁ Ὀρέστης καὶ ἐν τῇ πατρίδι παραγεγονὼς τῷ ξίφει ἀνεῖλε τὴν μητέρα, καὶ τὸν Αἴγισθον ἔθηκεν ἐν φοναῖς. φοναὶ δὲ οἱ τόποι εἰς οὓς φονεύονται καλοῦνται. Ὅμηρος (*K* 521)· ἐν ἀργαλέῃσι φονῇσιν.

20 58 a. *ἦ ῥ', ὦ φίλοι, κατ' ἀμευσίπορον*: συνῄσθηται **BDEGQ** καὶ αὐτὸς ἀκαίρῳ παρεκβάσει κεχρημένος καί φησι γοῦν· ἆρα, ὦ φίλοι, ἐπλανήθην τῆς ὁδοῦ τὸ πρότερον ὀρθὴν πορευόμενος [ὁδὸν], ἢ ἄνεμός με τοῦ πλοῦ παρέσφηλεν; ἀμευσί-

---

17 Eust. ad *K* 521, p. 822, 6. Hes. φοναί. EM 123, 25. 798, 11. EG p. 170, 9 Stef.

---

1 αὐτὸς τοῦ] αὐτοῦ **E** 2 ἄλλως **EG(Q)**: om. **D** ἐπεὶ ἀμφ' ἑλένᾳ πυρωθέντων τρώων **B** 2. 3 ὁ ἀγ. εἰς λακ. **B** 3 τέθνηκεν **B** ἀπέθανεν **Q** ‖ ἐπειδὴ] + φησὶ **B** ‖ τῆς ἑλένης **DG** rec. 5 ἀντὶ τοῦ τοὺς scripsi: ἀντὶ τοῦ **DEGQ** τουτέστι τοὺς **B** rec. 7 [ἐ]ν ἀμ. **Q** 8 λακωνικῆς **DH**: -ῶν **Q**(**G** l. n.) 10 δὲ om. **Q** 11 l.] ὁ δ' ἄρα ξένον γέροντα στρόφιον ἐξίκετο ν. κ. **B** 12 ἀποφυγὼν **B** 14 παρνασσοῦ **DGQ** 15 l. **BQ**: ἀλλὰ χρόνῳ **DG** χρ. σὺν ἄρει **E** 18 καλ. εἰς οὓς φον. **DGQ** ‖ καὶ ὅμ. **DGQ** 20 l. **BE**: ἦ ρ' ὦ φ. **DGQ** ‖ ἦ] ἆ **E** (rubr.) ‖ ἀμευσίπονον **E** ἀμασίπορον ubique **B** ‖ συνῄσθεται **Q** 21 χρώμενος **E** ‖ γοῦν om. **B** 22 ὦ φ. ἄρα **B** ‖ ἦ ῥα **Q** ‖ τὸ om. **E** 22. 23 πορ. ὁδὸν **B**: πορ. **E** ὁδὸν πορ. **DGQ**. Seclusi ὁδὸν 23 ἄνεμοι et παρέσφηλαν **Q** ‖ με] μὲν **DG**

πορον δέ, ἣν ἀμειβόμεθα καὶ ἀνύομεν καὶ μὴ κατὰ πλάνην παρεκτρεπόμενοι πορευόμεθα. διὸ ἀπέστρεψε τὸν λόγον πρὸς τὴν Μοῦσαν καί φησιν· εἰ συνέθου καὶ μισθὸν ἔλαβες, ἵν' ἐγκωμιάσῃς τὸν νικηφόρον, δέον ἐστὶ τὸν ὕμνον ἄλλοτε ἄλλῃ μετάγειν, ἢ περὶ τοῦ Θρασυδαίου τι λέγοντας ἢ περὶ τοῦ 5 πατρὸς αὐτοῦ τοῦ Πυθιονίκου. ὑπάργυρος γάρ ἐστιν ἡ φωνὴ καὶ ἔμμισθος, ὥστε οὐ δεῖ παρεκβαίνειν καὶ περὶ ἄλλων λέ-
BGQ γειν, μισθὸν εἰληφότα. b. ἄλλως· ὥσπερ ἐπιπλήττει ἑαυτῷ
BDEGQ ὁ Πίνδαρος ἀκαίρῳ παρεκβάσει χρησάμενος. 58d B c. ὁ δὲ νοῦς· ναὶ δή, ὦ φίλοι, κατ' ἀμευσίπορον ὁδὸν ἐπλανήθην 10
DEGQ εὐθεῖαν τὸ πρότερον πορευόμενος· | ἀντὶ τοῦ ἐσφάλην τοῦ
BDEGQ δέοντος παρεκβάσει χρησάμενος. 60 B d. κατὰ τρίοδον δὲ πεπλανῆσθαι, ἐπειδὴ δοκεῖ ὁ ἀπ' εὐθείας ἐν τριόδῳ παραγενόμενος ἀπορεῖν, ὁποίαν ὀφείλει βαδίσαι. 58c B
BDEGQ 60. ἤ μέ τις ἄνεμος: ναὶ δὴ ἄνεμός μέ τις ἐξέρριψε 15 τοῦ δέοντος πλοῦ καὶ ἐκπεσεῖν ἐποίησεν ὡς θαλαττίαν ναῦν.
BDEGQ 63. εἰ μισθῷ συνέθευ: εἰ δὲ ἀληθῶς, ὦ ἡμετέρα Μοῦσα, μισθοῦ καὶ ἀργυρίου τὴν σὴν φωνὴν ὑπέσχου παρασχεῖν, ἄλλοτε ἄλλα ὀφείλεις ἀνακινεῖν ἐγκώμια· ὀφείλεις δὲ ἐπὶ τοῦ παρόντος ἀνακινεῖν τὸ ἐγκώμιον ἢ αὐτῷ τῷ πατρὶ 20 τοῦ Πυθιονίκου ἢ αὐτῷ τῷ Θρασυδαίῳ, ὧν ἡ δόξα τῆς νίκης καὶ ἡ εὐφροσύνη πανταχοῦ διαλάμπει.
DEGQ 66a. ταρασσέμεν: ἀντὶ τοῦ τάρασσε, καὶ μετάφερε.
DGQ b. λείπει τὸ ὀφείλεις.

---

sch. 58e. ἀμευσίπορον τρίοδον, καθ' ἣν ἀμείβεται πορεία. Eust. prooem. p. 14, 15 Ab.

---

1 δὲ] οὖν φησιν B ‖ ἣν] ὃν r (B aegre legitur) ‖ καὶ (alt.) et 2 πορευόμεθα om. B 2 ἀποστρέφει E 4 ἄλλῃ] ἄλλα DG 6 τοῦ] τὸν E 8 ἄλλως — ἑαυτῷ] ἢ ῥ' ὦ φίλοι· ἐσφάλη B; cfr. sch. 58c ‖ ἑαυτ(ῷ) G: ἑαυτὸν Q rec. 9 ἀκαίρῳ] τοῦ δέοντος B (cfr. sch. 58c) 10 δὴ om. E 11 πορευόμενος add. E[2] (al. atram.) 13 πεπλανῆσθαι] + φησιν B 13. 14 παραγινόμ. B 14 ἀπορεῖ ποίαν DGQ ‖ ὀφείλοι G (comp. E) ‖ βαδίσαι] + ὁδόν B 15 l. DG(Q): θοὰν κέλευθον E om. B ‖ ναὶ δὴ] ἢ B ‖ με om. E 16 θαλαττίαν] θαλάσσης B 17 l. E: μοῖσα τὸ δ' (τόδ' D) ἐτεόν DG μ. τόδε Q om. B 17. 18 ὦ μοῦσα ἡμ. B 19 ὀφείλοις r (B aegre legitur) ‖ ὀφείλεις — 20 ἐγκώμιον om. E

70. τὰ μὲν ἅρμασι: τὰ μὲν γὰρ ἅρμασι καὶ τεθρίππῳ BDEGQ
σὺν τοῖς ἵπποις τὸ παλαιὸν καλλίνικοι γενόμενοι τῶν πολυ-
θρυλλήτων ἀγώνων ἔσχον τὴν ταχεῖαν ἀκτῖνα καὶ λαμπηδόνα
ἐν Ὀλυμπίᾳ· καὶ ἀπὸ κοινοῦ νικήσαντες ἀκτῖνα ἔσχον· καὶ
5 τῇ Πυθοῖ δὲ κατελθόντες ἐπὶ τὸ γυμνὸν στάδιον ἀγωνίσα-
σθαι, ἤλεγξαν τῇ τῶν ποδῶν ταχυτῆτι τὸν τῶν Ἑλλήνων
ὄχλον, παρὰ πάντας εὐδοκιμήσαντες μόνοι.

71. πολυφάτων ἔσχον θοὰν ἀκτῖνα: οἱ μὲν πρό- BDEGQ
γονοι, φησίν, αὐτοῦ ἔσχον Ὀλυμπικὰς νίκας, αὐτὸς δὲ ὁ
10 Θρασυδαῖος ἐν τῇ Πυθοῖ στάδιον ἐνίκησε. τὸ δὲ τῷ Θρασυ-
δαίῳ πεπραγμένον συλληπτικῶς ἐπὶ πάντων τέταχεν.

76. θεόθεν ἐραίμαν: θεῶν δὲ βουλήσει ἔρωτα ἔχοιμι BDEGQ
τῶν καλῶν, τὰ δυνατὰ ἐπιθυμῶν | ἐν τῇ παρούσῃ μοι ἀεὶ BE
ἡλικίᾳ, τουτέστιν ἑκάστοτε.

15 78. τῶν γὰρ ἀνὰ πόλιν: τῶν γὰρ κατὰ πόλιν, φησίν, BDEGQ
εὑρίσκων τὰ τοιαῦτα τῶν πραγμάτων ἐπὶ πλεῖστον χρόνον
θάλλοντα, ὅσα τὸ ἄκρον οὐκ ἔχει τῆς εὐδαιμονίας, μέμφομαι
τὰς τυραννίδας, μέμφομαι τοὺς τῆς ὑψηλῆς καὶ τυραννικῆς
ἐπιθυμοῦντας τύχης.

20 82 a. ξυναῖσιν: ἀντὶ τοῦ μέσαις, κοιναῖς καὶ συμμέ- DEGQ
τροις. b. τέταμαι· ἀντὶ τοῦ ἔγκειμαι, τεταμένην ἔχω τὴν
ἐπιθυμίαν. c. ὅ ἐστι· περὶ ταῖς κοιναῖς καὶ συμμέτροις BDEGQ
ἀρεταῖς καὶ εὐτυχίαις τὴν ἐπιθυμίαν τεταμένην ἔχω. 84 E

83 a. φθονεροὶ δ' ἀμύνονται ἄτᾳ: οἱ δὲ φθονεροὶ BDEGQ
25 τῇ ἑαυτῶν ἄτῃ καὶ βασκανίᾳ ἀμύνονται καὶ βλάπτονται, βα-
σκαίνοντες εἴ τις τὸ τέλειον τῆς εὐδαιμονίας καὶ εὐτυχίας

---

1 l.] + καλλίνικοι πάλαι B ‖ τεθρίππῳ om. DGQ 3 τὴν — 4 ἔσχον om. D 4 καὶ ἀπὸ κοινοῦ] ἀπὸ κοινοῦ δὲ τὸ B 5 γυμνοστάδιον B γυμνικὸν στ. E 8 l. E (sed πολύφατον): πολυφάτων DG πολυφάτῳ Q τὸ δὲ ὅλον οὕτω φησίν B 9 φησιν om. BD ‖ ὀλυμπιακὰς DGQ 10 τῷ om. E 12 l.] + καλῶν B ‖ ἐραίμαν] ἠρέμ(α) E 13 ἐπιθυμῶν BE: ζητῶν καὶ ἐπιθυμῶν DGQ ‖ μου E ‖ ἀεὶ om. E 14 ὅ ἐστιν E 15 l.] + εὑρίσκων B ‖ τῶν κατὰ π. γὰρ DGQ 17 ὅσα B: ὅτι E ὅπερ DG ἅπερ Q ‖ τῆς εὐδ. οὐκ ἔχει E ‖ ἔχουσι Q 22 ὅ ἐστι om. B ‖ περὶ B?Er: παρὰ DGQ ‖ κοιναῖς] + δὲ B 23 καὶ om. B 24 ἄτᾳ B: οὕτως E om. DGQ ‖ οἱ φθ. δὲ DG 25 αὐτῶν B rec. ‖ βασκανίᾳ] + φησὶν B

λαβὼν καὶ ἐν ἡσυχίᾳ καὶ εἰρήνῃ διάγων τὴν χαλεπὴν στάσιν καὶ ὕβριν ἀπέφυγε κατὰ τὴν τελευτὴν τοῦ θανάτου, ἀντὶ τοῦ μέχρι καὶ θανάτου δικαίως ἔζησε, καλλίονα καὶ ἐντιμότερον τὴν ἑαυτοῦ ἀθάνατον τῶν ἑαυτοῦ κτημάτων χάριν τῇ ἰδίᾳ αὐτοῦ γενεᾷ παρεσχηκὼς καὶ καταλιπών, ἔξωθεν δόξαν καὶ 5
BEGQ *τὴν μετὰ θάνατον ἑαυτοῦ εὐφημίαν.* 83c B b. *ἢ οὕτως· ἐπειδὴ ἐπὶ τοῖς ἀλλοτρίοις καλοῖς λυπούμενοι διαφθείρονται τηκόμενοι.* (84 fin. B) c. *ἢ οὕτω· τὸν δὲ ἄκρως εὐτυχοῦντα, κἂν μετὰ ἡσυχίας ζῇ μηδὲν παρασχὼν πρᾶγμα, ὅμως οἱ φθονεροὶ βασκαίνοντες βλάπτουσιν.* 86 E 10

BDEGQ 84. *εἴ τις ἄκρον ἑλών: εἴ τις, φησίν, ἄκρον καὶ τὸ πρωτεῖον ἔχει, οἱ φθονεροὶ τῇ ἄτῃ αὐτὸν ἀμύνονται, τουτέστι βλάπτουσιν* (83b B)· *διὸ βέλτιόν ἐστι τὴν μεσότητα σῴζειν ἐπὶ πάντων.* 83 E

BDEGQ 86 a. *μέλανος δ' ἂν ἐσχατιάν: τοῦ θανάτου ἢ τοῦ* 15 *ᾅδου. εἴ τις οὖν, φησίν, οὐκ ἔστιν ὑβριστὴς καὶ τὸ ἄκρον ἔχει, καλλίονα τὸν θάνατον ἑαυτῷ περιποιησάμενος πάντων κτημάτων ἀπολείπει τῇ γενεᾷ αὐτοῦ τὴν εὐφημίαν. ταύτην γὰρ εἶπε κρατίστην κτημάτων χάριν· παντὸς γὰρ κτήματος*
EGQ *κρείσσων ἐστὶν ἡ εὐφημία.* b. *τὴν ἐν τοῖς κτήμασι κρατι-* 20 *στεύουσαν εὐφημίαν· ταύτην γὰρ λέγει χάριν.* 92 E

BDEGQ 91. *ἅ τε τὸν Ἰφικλείδαν: ἥτις εὐδοξία ἔνδοξον ὄντα καὶ τὸν Ἰφικλέους παῖδα Ἰόλαον πανταχοῦ διάγει καὶ ἐπίσημον ποιεῖ, καὶ τὸν Κάστορα καὶ σέ, ὦ δέσποτα Πολύδευ-*

---

1 *καὶ* (pr.) om. E 2 *κατέφυγε* E ‖ ⟨*εἰ*⟩ *κατὰ* Bergk ‖ *τοῦ* (pr.)] *τὴν τοῦ* B ‖ *ἀντὶ τοῦ* — 3 *θανάτου* om. D ‖ *ἀντὶ τοῦ*] *τουτέστι* B
4 *τὴν*] *τὸν* Br ‖ *θάνατον* B *θάνατον* ⟨*ἔσχε, τὸ κράτιστον*⟩ Bergk. Locus corruptus vid. 6 *μετὰ θάνατον*] *μετὰ* Q *μεγάλην* D ‖ *ἢ οὕτως* E: *ἄλλως* G (Q? locus relict.) om. B 8 *ἢ οὕτω*] *ἄλλως* D ‖ *τὸν δὲ ἄκρως*] *καὶ ἄκων* E 9. 10 *φθονεροὶ*] *πονηροὶ* B 11 l.] *ἢ οὕτως* B ‖ *ἄκρον*] *τὸ ἄκρον* B 12 *πρωτεῖον*] *πρῶτον* B ‖ *αὐτῶν* E 13 *βλάπτουσιν* DGQ: *βλάπτονται* BE (cfr. ordo B!) 15 *μέλανος* — 16 *ᾅδου*] *μέλανος δὲ θανάτου τοῦ ᾅδου φησίν* B ‖ l. DGQ: *μέλανος δ' ἐσχ.* E ‖ *ἢ* om. E (cfr. B)
16 *φησιν* post *ὑβριστὴς* trp. B 17 *αὐτῷ* BE ‖ ⟨*τὸ κράτιστον*⟩ *πάντων* Bergk 20 *ἡ* om. DGQ ‖ sch. 86b *ἄλλως* praem. G 21 *χάρις* E 22 l.] + *διαφέρει ἰόλαον* B ‖ *ἅ τε* om. E ‖ *ἥτις ἡ εὐδ.* B ‖ *εὔδοξον* E 23 *τὸν*] + *ἰφικλείδ(αν) ἢ τὸν* DG
24 *ποιεῖ*] + *καὶ διαστέλλει* B (cfr. sch. 92)

κες, υἱοὶ θεῶν, καὶ ἀπὸ κοινοῦ τὸ διάγει ἡ εὐφημία, ποτὲ μὲν παρ' ἡμέραν ἐν ταῖς Λακωνικαῖς ὄντας καθέδραις, ποτὲ δὲ ἐν τοῖς τοῦ Διὸς οἰκοῦντας. (fin. sch. E)

92. πανταχοῦ διάγει καὶ ἐπίσημον ποιεῖ καὶ διαστέλλει. 91 E DEGQ

5 95. τὸ μὲν παρ' ἆμαρ: τὸ τοῦ Ὁμήρου παραφράζει τὸ BDGQ (λ 302)·

ἄλλοτε μὲν ζώουσ' ἑτερήμεροι, ἄλλοτε δ' αὖτε
τεθνᾶσιν.

Scholia in Pythionicarum carmen XII.

Μίδᾳ αὐλητῇ Ἀκραγαντίνῳ. (D)EG(Q)

10 Ἡ δωδεκάτη ᾠδὴ καὶ τελευταία μονοστροφική ἐστιν ἐκ B κώλων ιδ'. τὸ α' περίοδος δωδεκάσημος ἐκ σπονδείου καὶ πυρριχίου καὶ τροχαίου καὶ ἰάμβου. τὸ β' τὸ αὐτό. τὸ γ' δακτυλικὸν πενθημιμερές. τὸ δ' τὸ αὐτὸ τῷ πρώτῳ καὶ δευτέρῳ. τὸ ε' τὸ αὐτό. τὸ ϛ' ἰαμβικὸν δίμετρον ἀκατά-15 ληκτον. τὸ ζ' δακτυλικὸν πενθημιμερές. τὸ η' ἐξ Ἰωνικοῦ ἀπὸ μείζονος καὶ χοριάμβου. τὸ θ' τὸ αὐτὸ τῷ πρώτῳ καὶ δευτέρῳ. τὸ ι' ἰαμβικὸν δίμετρον ἀκατάληκτον. τὸ ια' προσοδιακὸν μιᾷ συλλαβῇ περιττεῦον, ὅμοιον τῷ (Archil. fr. 79) Ἐρασμονίδη Χαρίλαε. τὸ ιβ' τροχαϊκὸν δίμετρον 20 καταληκτικὸν Εὐριπίδειον. τὸ ιγ' ἐγκωμιολογικὸν παρὰ τὴν τελευταίαν συλλαβήν. τὸ ιδ' Στησιχόρειον τρίμετρον ἀκατάληκτον.

Inscr. Γέγραπται ἡ ᾠδὴ Μίδᾳ Ἀκραγαντίνῳ. οὗτος ἐνί- BDEGQ κησε τὴν κδ' Πυθιάδα καὶ κε'· φασὶ δὲ αὐτὸν καὶ Παναθή-25 ναια νενικηκέναι. ἱστοροῦσι δέ τι ἴδιον σύμπτωμα συμβεβη-

---

1 καὶ — εὐφημία post 3 οἰκοῦντας trp. B ‖ τὸ διάγει ἡ om. E 5 l.] + ἕδραισι B ‖ ἦμαρ DGQ ‖ τοῦ ὁμήρου] ὁμηρικὸν B ‖ παρεκφρ. D περιφρ. Q ‖ τὸ (alt.) om. B 7 μέν] + τε B 9 pro inscr. loc. rel. DQ 18 προσοδιακὸν r: comp. B (-δικὸν?) ‖ ὅμοιον τῷ Brub.: τοῦ B τῷ r 19 ἐρασμονίδα χαρίλα r (B l. n.). Corr. Brub., Pauw 23 μίδᾳ] + αὐλητῇ DGQ 25 τι] τινες Q

κέναι περὶ τὸν αὐλητὴν τοῦτον· ἀγωνιζομένου γὰρ αὐτοῦ ἀνακλασθείσης τῆς γλωσσίδος ἀκουσίως καὶ προσκολληθείσης τῷ οὐρανίσκῳ, μόνοις τοῖς καλάμοις τρόπῳ σύριγγος αὐλῆσαι, τοὺς δὲ θεατὰς ξενισθέντας τῷ ἤχῳ τερφθῆναι, καὶ οὕτω νικῆσαι αὐτόν. 5

BDEGQ 1 a. ὁ δὲ λόγος ἀπότασις τῷ Πινδάρῳ πρὸς τὴν ἡρωΐδα τὴν Ἀκράγαντα [ἢ καὶ τὴν Ἀκράγαντα πόλιν]· ὦ φιλόκαλε καὶ καλλίστη τῶν πόλεων, ἥτις εἶ Φερσεφόνης ἕδος, αἰτέω σε, ἵνα ἵλεως δέξῃ τὸ στεφάνωμα τοῦ Μίδα, ὃ ἐκ Πυθῶνος ἤνεγκεν. b. ὁ δὲ νοῦς· αἰτέω σε, ὦ καλλίστη τῶν ἀνθρώ- 10 πων [καὶ φιλόκαλε] πόλι καὶ τῆς Φερσεφόνης ἔδαφος, ἥτις ἐν ταῖς ὄχθαις τοῦ προβατοτρόφου Ἀκράγαντος τὴν εὐκατασκεύαστον Ἀκράγαντα τὴν ὁμώνυμον σαυτῇ οἰκεῖς πόλιν.

BDEGQ 3 a. Φερσεφόνας ἕδος: ἀπὸ μέρους τὸ ὅλον· ὅλην γὰρ τὴν Σικελίαν ἐδωρήσατο τῇ Περσεφόνῃ ὁ Ζεύς. 15

DEGQ 3 b. ἅ τ' ὄχθαις ἐπὶ μηλοβότου ναίεις Ἀκράγαντος: τοῦ ὁμωνύμου ποταμοῦ. τὸ δὲ ναίεις ἀντὶ τοῦ ναίῃ, ὡς καὶ Ὅμηρος (Δ 45)· ναιετάουσι πόληες, ἀντὶ τοῦ ναιετάονται.

DGQ 5. ἐΰδματον: τὴν εὐκατασκεύαστον κολώνην· λέγεται 20 γὰρ ἐφ' ὑψηλοῦ κεῖσθαι.

BDEGQ 7. ἵλαος ἀθανάτων: ὦ δέσποινα, εὐμενὴς σὺν θεῶν καὶ ἀνδρῶν εὐμενείᾳ τὸ ἐκ τῆς Πυθῶνος στεφάνωμα, τὸν

---

14 sch. N. I 17. Diod. 5, 2. Plut. Timol 8. — cfr. sch. Ol. II 15d 17 sch. Δ 45. B 626. Eust. ibid. p. 306, 19; al. 20 Hes. ἐύδμητον

---

2 ἀνασπασθείσης Schneider ap. b ‖ προσκληθείσης E 4 θεατὰς BE: ἀκροατὰς DGQ rec. ‖ ξενισθ. — καὶ BE: ἡσθέντας καὶ ξεν. τῷ ἤχῳ DGQ rec. 4. 5 νικῆσαι οὕτως DGQ 5 κινῆσαι E 6 sch. 1a l. αἰτέω σε φιλάγλαε καλλίστα praem. B ‖ δὲ om. B 7 ἢ — πόλιν om. DEGQ; seclusi ‖ ὦ BE: καὶ ἔστι τοιοῦτος· ὦ DG ὁ δὲ λόγος ἐστὶν οὕτως Q 8 σε] σοι E 9 μίδου G (comp. B) ‖ ἐκ τοῦ πυθ. B 10 δὲ om. E 11 καὶ φιλόκαλε om. DEGQ; seclusi ‖ περσεφ. DQ ‖ ἕδος Q ἔδαφος D 13 σαυτῇ] αὐτῷ E 14 l. om. B ‖ τὸ ὅλον DGQ: δὲ τὸ ὅλον E δὲ τὸ ὅλον ἔφη B 18 καὶ om. E ‖ πόλιες codd. 22 l.] ὦ ἄνα ἵλ. ἀθ. B ‖ δέσποινα E: δέσποινα φερσεφόνη B δέσποτα DGQ 23 εὐμενείᾳ BQ: εὐνομίᾳ DEG ‖ τῆς BE: τοῦ DGQ

ὕμνον, δέξαι τοῦ ἐνδόξου Μίδου, αὐτόν τε τὴν Ἑλλάδα νικήσαντα τῇ ἑαυτοῦ τέχνῃ· ἀπὸ κοινοῦ τὸ δέξαι.

12 a. τάν ποτε Παλλάς: ἥντινα τὴν αὐλητικὴν τέχνην BDEGQ εὕρατό ποτε ἡ Ἀθηνᾶ τῶν θρασειῶν Γοργόνων τὸν θρῆνον
5 διαπλέξασα καὶ μιμησαμένη. 15[b] B b. ἄλλως· διαπλέξασα, DGQ συνθεῖσα τὸν οὔλιον θρῆνον τῶν Γοργόνων ἡ Ἀθηνᾶ.

15 a. τὸν παρθενίοις: ὅντινα τὸν θρῆνον ὑπὸ παρ- BDEGQ θενίοις Γοργόνων κεφαλαῖς καὶ ὀφίων ἀπλησιάστοις κεφαλαῖς ἐπήκουσε σὺν τῷ δυσπενθεῖ καμάτῳ καὶ θρήνῳ κατασπενδό-
10 μενον. 18 B b. τὸν παρθενίοις: μυθεύεταί τι τοιοῦτον, ὅτι ὅτε ὁ Περσεὺς ἐκαρατόμησε τὴν Μέδουσαν, αἱ δύο ἀδελφαὶ ἐθρήνουν τὴν ἀδελφήν, καὶ ἐκ τῆς κεφαλῆς αὐτῶν καὶ τῶν ὄφεων τῶν περὶ τὴν κεφαλὴν συριγμός τις ἀνεδίδοτο. τούτου τοῦ συριγμοῦ κατακούσασα ἡ Ἀθηνᾶ τοῦ ἐκ τῶν
15 ὄφεων πρὸς μίμησιν τοῦ θρήνου καὶ τοῦ γινομένου συριγμοῦ ἐκ τῶν ὄφεων ἐπενόησε τὴν αὐλητικήν, ἣν καὶ ὠνόμασε πολυκέφαλον νόμον διὰ τοῦτο· ἐπεὶ γὰρ ἐκ τῶν πολλῶν κεφαλῶν τῶν ὄφεων εἷς τις ἀνεδίδοτο συριγμὸς, πολλὰς δὲ κεφαλὰς εἰκότως εἶχον οἱ ὄφεις, διὰ τοῦτο πολυκέφαλον νό-
20 μον τὴν κατὰ μίμησιν αὐλητικὴν συνθεῖσα ὠνόμασεν. 15[a] B

18. δυσπενθεῖ σὺν καμάτῳ: τῷ τῶν Γοργόνων, ἀδελ- BDEGQ φὴν γὰρ ἐπένθουν κάμνουσαν. τίνες δέ εἰσιν αἱ παρθένιοι κεφαλαί; δηλονότι αἱ τῶν παρθένων τῶν ἀδελφῶν τῆς Μεδούσης, Σθενοῦς καὶ Εὐρυάλης.

---

10 Nonn. 24, 37. 40, 229

---

1 εὐδόξου B ‖ μίδα Beck ‖ αὐτόν τε] αὐτόν τέ νιν: τὸν μίδαν. ἀπὸ κοινοῦ τὸ δέξαι B 2 ἀπὸ — δέξαι hic om. B 3 l.] + ἐφεῦρεν B 4 εὕρετο B 6 συνθεῖσα] τὸν συνετὸν Q 7 l.] ὁ δὲ νοῦς B ‖ παρθενίοις (pr.)] παρθένοις E 8 καὶ — κεφαλαῖς om. D 9 θρήνῳ] + τῷ τῶν γοργόνων B (cfr. ad 21) 10 l. E et (praem. spat. pro ἄλλως) Q: + ὑπό τε B ἄλλως DG 15 ὄφεων] + προσγινομένου B 15. 16 ἐκ τῶν ὄφ. γιν. συρ. DG(Q) 17 νομὸν ubique B ‖ διὰ — 19 νόμον om. D 20 κατὰ μίμ. τὴν DG 21 l. et τῷ τῶν γοργ. om. B (cfr. ad 9) 22 γὰρ om. E ‖ τίνες δὲ] αὗται γὰρ B 23 δηλονότι om. B ‖ τῶν (alt.) om. B 24 σθενοῦς] σθενούσης γρ(άφεται) καὶ σθενοῦς B

BDEGQ 19a. *Περσεὺς ὁπότε τρίτον ἄϋσε κασιγνητᾶν:* τουτέστι τὴν μίαν· τρεῖς γὰρ ἦσαν. τὸ δὲ ἄϋσεν ἤτοι ἐπὶ τῆς μιᾶς τῶν Γοργόνων ἀκουστέον, ὡς ἄϋσε καρατομουμένη διὰ τὴν ἀλγηδόνα, καὶ τότε ἄϊεν ἡ Ἀθηνᾶ τὸν θρῆνον τῶν ἀδελφῶν αὐτῆς· ἢ ἄϋσεν ὁ θρῆνος καρατομήσαντος τοῦ Περσέως. οἱ δὲ ἀπὸ τῆς αὐτῆς ἐσχηματίσθαι θέλουσι, τῆς μάχης· οἷον κατεπολέμησε τὸ τρίτον μέρος αὐτῶν. b. *ἄϋσε* διχῶς· ἄνυσεν, ἀνυσθῆναι ἐποίησεν· ἢ ἄϋσεν, ἀντὶ τοῦ ἐκραύγασεν. 5

BDEGQ 21. *ἐναλίᾳ Σερίφῳ:* ἐν τῇ θαλασσίᾳ Σερίφῳ μοῖραν καὶ θάνατον κομίζων τὸ τρίτον μέρος τῶν Γοργόνων· ἐκ δὲ τούτου πάλιν τὴν τῆς Γοργόνος κεφαλήν. 24c B 10

BDEGQ 23. *ἤτοι τό τε θεσπέσιον:* ναὶ γὰρ δὴ ὁ Περσεὺς τὸ θεῖον γένος τοῦ Φόρκου τὰς Γοργόνας ἠφάνισε τῆς εὐπαράου Μεδούσης τὴν κεφαλὴν ἀποτεμών, καὶ ὀλεθριώτατον ἔρανον τῷ Πολυδέκτῃ ἔθηκε, καὶ τὴν τῆς μητρὸς αὐτοῦ δουλείαν ἀσφαλῆ καὶ ἐλευθέραν καὶ τὴν μετ' ἀνάγκης κοίτην, ἀπὸ κοινοῦ τὸ ἔθηκεν. 25 B 15

BDEGQ 24a. *Φόρκοι' ἀμαύρωσε γένος:* τοῦτο ἐπὶ τῶν τριῶν ἀκουστέον, ὅτι τὴν μὲν μίαν ἐκαρατόμησε, τὰς δὲ δύο ἐτύφλωσεν· ὀφθαλμῷ γὰρ αἱ τρεῖς ἐχρῶντο ἑνί. b. εὐπάραον δέ φησι τὴν Μέδουσαν, οὐχ ὅτι οὕτω φύσεως εἶχεν, ἀλλ' ὅτι περὶ ἑαυτῆς ἡ Μέδουσα ὡς εὐμόρφου διέκειτο· διὸ καὶ περὶ 20

---

19 sch. Lycophr. 846. Serv. ad Aen. 6, 289. 23 Apollod 2, 4, 3, 8. sch. N. X 5. Serv. l. l.

---

1 l. BEG: π. ὀπ. τρ. DQ 2 τὸ δὲ ἄυσεν ἤτοι] .... (lac.) ἤτις E 4 καὶ τότε] τὸ δὲ B 5 ἄυσας E 6 τῆς (alt.)] τουτέστι τῆς B 7. 8 ἄυσε διχῶς] διχῶς δὲ εἴρηται, ἢ B 8 ἄνυσεν] + ὅ ἐστιν B ἄυσεν E 9 ἐκραύγασε] + καρατομουμένη B 11 τῷ τρίτ(ῳ) μέρ(ει) B ‖ τῆς γοργόνος E 12 τῇ τῆς γοργ(ῶνος) κεφαλ(ῇ) B ‖ τὴν om. E ‖ γοργόνος] + φησὶ DGQ 13 l.] ὁ δὲ νοῦς B ‖ τό τε GQ: τὸ D τοῦτο E 14 εὐπαρήου E 17 κοίτην B: τύχην 19 l. E: ἤτοι τό τε θεσπέσιον φ. ἀ. γ. B φ. ἀμ. DG φόρκοι' Q ‖ post l. inser. sch. 24c B, om. ἢ οὕτως, add. φησί ‖ τοῦτο] + δὲ B 20—21 ἐτύφλωσεν — ἑνί] ἐξετύφλωσεν ἀφελόμενος τὸν ἕνα ὀφθαλμόν· μόνῳ γὰρ ἑνὶ ἐχρῶντο αἱ τρεῖς B (cfr. sch. 24d) 21 ἑνὶ ἐχρ. DGQ 23 ἑαυτῆς B: αὑτῆς ‖ εὐμόρφας E

κάλλους τῇ Ἀθηνᾷ ἐφιλονείκησεν. 23 B c. ἢ οὕτως· Φόρ- BDEGQ
κυνος γένος τὰς Γοργόνας. 24a B d. τὸ δὲ τοῦ Φόρκυνος γέ- DEGQ
νος ἠμαύρωσεν ἐπὶ τῶν τριῶν ἀκουστέον· | ὅτι τὴν μὲν μίαν (B)DGQ
ἐκαρατόμησε, τὰς δὲ δύο ἐξετύφλωσεν ἀφελόμενος τὸν ἕνα
5 ὀφθαλμὸν ὃν εἶχον. μόνῳ γὰρ ἑνὶ ἐχρῶντο αἱ τρεῖς. e. ἄλ- DGQ
λως· ἢ γένος ἀντὶ τοῦ θυγατέρα, τὴν προειρημένην Μέδουσαν.

25 a. λυγρόν τ' ἔρανον Πολυδέκτᾳ: ἐπεὶ ἐν ἐράνῳ BDEGQ
ποτὲ ἐπέταξεν ἑκάστῳ ὡς ἂν βασιλεὺς [ὁ Πολυδέκτης] προσ-
φέρειν αὐτῷ δῶρον καὶ τῷ Περσεῖ τὴν κεφαλὴν τῆς Γορ-
10 γόνος. b. κοινῶς δὲ ληπτέον τὸ ἠμαύρωσε, τὰς Γοργόνας
δηλονότι.

27. τό τ' ἀναγκαῖον λέχος: τὸ μετὰ ἀνάγκης καὶ βίας DGQ
γινόμενον.

29. τὸν ἀπὸ χρυσοῦ φαμεν: ὅντινα τὸν Περσέα φα- BDGQ
15 μὲν ἀπὸ χρυσοῦ γενέσθαι αὐτομάτως καταρρέοντος.

31. ἀλλ' ἐπεὶ ἐκ τούτων: ἀλλ' ἐπειδὴ ἐκ τούτων τῶν BDEGQ
πόνων τὸν προσφιλέστατον ἄνδρα ἐρρύσατο Περσέα ἡ Ἀθηνᾶ,
τότε τὸ πολύφωνον μέλος τῶν αὐλῶν κατεσκεύαζεν. ἐρρύ-
σατο δὲ πόνων· ἐπεδίωξαν γὰρ τὸν Περσέα μέχρι Βοιωτίας.

20 35 a. ὄφρα τὸν Εὐρυάλας: ὅπως σὺν τοῖς ὀργάνοις BDEGQ
τῆς αὐλητικῆς τὸν ἐκ τῶν ἰσχυρῶν γενύων τῆς Εὐρυάλης ἐκ-

---

7 cfr. sch. P. 10, 72

---

1 de sch. 24c **B** cfr. ad 266, 19 1. 2 φόρκυνος **BE**: φόρκου **DGQ** 2 φόρκυνος] φόρκου **Q** 3 de **B** cfr. ad 266, 20 4 ἐτύφλωσεν **D** 5 ὃν εἶχον om. **B**; cfr. ad 266, 20 5. 6 ἄλλως **G**: spat. **Q** om. **D** 7 l.] λυγρὸν δὲ ἔρανον εἶπεν **B** λυγρόν τ' ἔρ. **DGQ** 8 ἐπέταξεν] + ὁ πολυδέκτης **B** ‖ ἂν **BE**: ὧν **DGQ** ‖ ὁ πολ. om. **BE**; seclusi 10 ἀμαύρωσε **B** ‖ τὰς γοργόνας **EQ**: τῆς γοργόνος **BDG** 12 καὶ βίας om. **D** 14 l. **B**: τόν **DG** om. **Q** ‖ τὸν (alt.) om. **B** 14. 15 φαμὲν **B**: φασὶν **DGQ** rec. 15 ῥέοντος **B** 16 l. om. **B** ‖ ἀλλ' (alt.) — τούτων om. **DG** 18 τὸ om. **E** ‖ κατεσκεύασεν **DG** 19 ἐπεδίωξαν **DGQ**: ἀπεδίωξε **E** ἐδίωξε **B** ‖ μέχρι] + τῆς **E** ‖ βοιωτίας] + ἡ μέδουσα **B** 20—268, 6 sch. 35 hoc ordine praebet **B**: l.; b (om. ἄλλως); c οὐ γὰρ — σθενώ· ἡ γὰρ εὐρ. τῆς μεδ. ἀδ., ὁμοίως καὶ ἡ σθενώ; a (om. l., praem. ὁ δὲ νοῦς); c ἵν' οὖν — μεγαλόηχον· ἡ γὰρ ἀθηνᾶ εὗρε τὸ μέλος τῆς αὐλητικῆς 21 γενύων] γονέων **E**

δοθέντα θρῆνον μιμήσαιτο. b. *ἄλλως· ἀπὸ μιᾶς ἤρκεσε καὶ τὸ περὶ τὴν ἑτέραν τὴν Σθενὼ πάθος παραστῆσαι.* c. *ἡ Εὐρυάλη Μεδούσης ἀδελφή. ἵν' οὖν, φησί, τὸν ταύτης μιμήσαιτο γόον ἐρικλάγκταν, τουτέστι μεγαλόκρακτον, μεγαλόηχον. ἀπὸ μέρους δὲ εἴρηκεν· οὐ γὰρ μόνη ἐθρήνησεν ἡ Εὐρυάλη, ἀλλὰ καὶ ἡ Σθενώ.* 42 E 5

BDEgQ 39 a. *ἀλλά νιν εὑροῖσα: ἀλλ' εὑροῦσα τὸ τοῦ αὐλοῦ μέλος μετέδωκε τοῖς ἀνθρώποις ἔχειν, καὶ ὠνόμασε τὸ μέλος πολυκέφαλον νόμον· ἐπεὶ καὶ αἱ τῶν δρακόντων πλείους ἦσαν κεφαλαὶ αἳ συρίξασαι· ὧν κατὰ μίμησιν συνέθηκε.* b. *τινὲς δὲ πολυκέφαλον, φασίν, εἶπεν, ἐπειδὴ πεντήκοντα ἦσαν ἄνδρες, ἐξ ὧν ὁ χορὸς συνεστὼς προκαταρχομένου τοῦ αὐλητοῦ τὸ μέλος προεφέρετο.* c. *οἱ δὲ κεφαλὰς ἀκούουσι τὰ προοίμια. ᾠδὴ οὖν διὰ πολλῶν προοιμίων συνεστῶσα, ἣν λέγουσι τὸν Ὄλυμπον πρῶτον εὑρηκέναι.* 45a E 10 15

BDEgQ 42. *εὐκλέα λαοσσόων: ἔνδοξον ὑπόμνημα τῶν ἀγώνων τῶν τοὺς λαοὺς σοούντων καὶ παρορμώντων εἰς τὴν θέαν. φησὶ δὲ τὸ μέλος.* 44b B

BDEgQ 44 a. *χαλκοῦ θ' ἅμα καὶ δονάκων: τοὺς δόνακας λέγει, οἳ παρὰ τῷ Ὀρχομενῷ φύονται, ἐξ ὧν αἱ αὐλητικαὶ γλωσσίδες γίνονται. ἐν γὰρ τῷ Κηφισσῷ οἱ αὐλητικοὶ κάλα-* 20

---

14 Plut. de mus. 7 21 Theophr. h. p. 4, 11, 8. Plin. h. n. 16, 172

---

3 *εὐρυάλη*] + *ἡ τῆς* DGQ 4 *γόον τὸν ἐρικλ.* DGQ (*ἐριπλάγκταν* DG) 4—5 *τουτέστι — μεγαλόηχον* om. E ‖ *τὸν μεγαλόκρ., τὸν μεγαλόηχ.* DG(Q) 5 *εἴρηκας* E 6 *in σθενώ def. f. 126v* G; q. s. manu recentissima scripta sunt (g) 7 l.] + *ἀνδράσι θνᾱτοῖς* B ‖ *εὑροῖσα*] *εὑροῖσ'* B *εὑροῦσα* E 8 *τῷ ἀνθρώπῳ* gQ 9 *ἐπειδὴ* DgQ ‖ *αἱ* om. E ‖ *πλείους* — 10 *ὧν* scripsi: *πλ. ἦσαν κ. συρίξασαι* (corr. ex *συρίζουσαι*, ut vid.; -*ξασαι* et rec.) E (om. *ὧν*) *πλ. εἰσὶ κ. καὶ ἦσαν αἱ συρίξασαι ὧν* B *κεφαλαὶ αἱ συρίζουσαι* (-*ξασαι* D) *πλείους ἦσαν ὧν* DgQ *πλ. εἰσὶ κ. καὶ αἱ συρίζουσαι πλείους ἦσαν, ὧν* b 11 *ἐπεὶ* E 14 *ἣν* B: om. E *καὶ* DgQ 16 *τῶν* DgQ: *τὸ τῶν* B *τὴν τῶν* E 17 *σοούντων* B: *σευόντων* E *σοβούντων* DgQ 19 l. DE: *χαλκοῦ θ' ἅμα* gQ *τοὶ παρὰ καλλιχόρῳ ναίουσι* B 20 *παρὰ* DgQ: *περὶ* E om. B?r ‖ *τῷ* om. DgQ ‖ *περὶ τὴν ὀρχόμενον* rec. 21 *καφίσῳ* E ‖ *αὐληταὶ* E

μοι φύονται. εἴρηται δὲ καὶ ἐν Παιᾶσι περὶ αὐλητικῆς. 45ᵃ B
b. ἢ οὕτως· διαπορευόμενον τὸ μέλος ὁμοῦ διά τε χαλκοῦ καὶ καλάμου, ἀντὶ τοῦ διὰ τῶν αὐλῶν. 44ᵃ B 39 E

45 a. τοὶ παρὰ καλλιχόρῳ: οἵτινες οἱ κάλαμοι οἰκοῦ- BDgQ
5 σιν εἰς τὴν τῶν Χαρίτων πόλιν, τουτέστι τὴν Ὀρχομενὸν, ἐν τῷ τεμένει τοῦ Κηφισσοῦ, τῶν χορευτῶν πιστοὶ καὶ ἀληθεῖς ὄντες μάρτυρες. b. τὸ δὲ ναίουσι κάλαμοι σκληρῶς καὶ διθυραμβωδῶς προήγαγεν· ἔδει γὰρ εἰπεῖν φύονται. c. πόλιν δὲ Χαρίτων τὴν Ὀρχομενόν.

10 49. εἰ δέ τις ὄλβος: συνυπακουστέον· τοιοῦτόν ἐστιν ἢ BDgQ ὑπάρχει. ὁ γὰρ λόγος· εἰ δέ τις ὄλβος ἐν ἀνθρώποις ἐστὶν, ἄνευ καμάτου οὐ φαίνεται οὐδὲ γίνεται.

51. ἐκ δὲ τελευτάσει νιν: ἐκτελευτήσει δὲ, φησὶ, τὸν BDgQ ὄλβον ὁ δαίμων, τουτέστιν ἐπὶ τέλος ἄξει, ἤτοι σήμερον ἢ
15 ὕστερον· τοῦτο γὰρ ἔδει ἐπενεγκεῖν, ὃ δὴ παρέλιπεν.

52. ἤ τοι σάμερον: ἤ τοι σήμερον δαίμων ἢ ὕστερον· BDgQ τουτέστιν, ἐὰν μὴ παραχρῆμά τις εὐτυχήσῃ, μὴ ἀδημονείτω· ὁ γὰρ θεὸς τὸ εἱμαρμένον ἢ σήμερον τελέσει ἢ αὔριον. τοῦτο δέ φησιν, ἐπεὶ ἀπροσδοκήτως ἐνίκησε κλασθέντος τοῦ κα-
20 λάμου.

53. οὐ παρφυκτόν: τὸ εἱμαρμένον οὐ φευκτόν· τὸ γὰρ DgQ φευκτὸν οὐχ εἱμαρμένον.

54 a. ἀλλ' ἔσται χρόνος: ὁ λόγος τοιοῦτος· ὁ πονήσας, BDgQ κἂν μὴ παραχρῆμα τύχῃ πλούτου, μὴ καμνέτω. θεὸς γὰρ ἢ
25 σήμερον ἢ ὕστερον ποιήσει καὶ ἐπὶ τέλος ἄξει. πῶς δὲ ἐπὶ

---

1 αὐλητικῶν gQ 2 ἢ οὕτως] λεπτοῦ διανισόμενον χαλκοῦ· τὸ μέλος λέγει B ‖ διαπορευόμενον] + φησὶ B ‖ ἐμοῦ B 4 l. Eg: παρὰ καλλιχόρῳ D τοὶ παρὰ Q ὁ δὲ [νοῦς?] Br ‖ *in* κάλαμοι *desinit cod.* E *pars vetusta*; cfr. praef. vol. I p. VIII
8 προήγαγεν Bg rec.: παρήγ. D ἤγαγεν Q 9 τὴν BQ: τὸν Dg ‖ ὀρχομενὸν] + λέγει B 10 l.] + ἐν ἀνθρώποισι B
11 γὰρ] δὲ gQ 13 l. om. B ‖ ἐκ τελ. δὲ BgQ: ἐκ δὲ τελ. D ‖ φησὶ om. B 14 τέλος rec., r (comp. B): τέλους D?E (ex D descriptus) τέλει D?gQ 15 ὑπενεγκεῖν D ‖ δὴ om. B
16 l. et ἤ τοι — ὕστερον om. B 18 τὸ BD: ἢ gQ ‖ τελέσει B rec.: τελειώσει DgQ 19 ἐπειδὴ B 21 πάρφυκτον codd. ‖ φευκτόν] φυκτόν g 21. 22 καὶ γὰρ τὸ φ. Q 23 l.] + οὗτος B ‖ ἔσται BD: ἔστι gQ ‖ τοιοῦτος] οὗτος B 24 λάβῃ πλοῦτον Q[1] 25 ὕστερον] αὔριον D

τέλος ἄξει; σὺν τῇ εἱμαρμένῃ. διό φησι· τὸ δὲ μόρσιμον.
b. ἢ οὕτως· ἀλλ' ἔσται οὗτος ὁ χρόνος, ὅστις καὶ τὰ ἐν ἀνελπιστίᾳ καταστήσας τὸ ἀνάπαλιν τῆς γνώμης καὶ ἐλπίδος, τὸ μὲν δώσει ὅπερ οὐκ ἤλπιζε, τὸ δὲ οὐ δώσει ὅπερ προσεδόκησε. τοῦτο δέ φησιν, ἐπεὶ ἀπροσδοκήτως ἐνίκησεν ὁ Μίδας 5
κλασθέντος τοῦ καλάμου.

---

2 ἢ οὕτως] ὁ δὲ νοῦς οὗτος (sic, ut vid.) **B** ‖ ἔσται **BD**: ἔστα **Q** ἔστω s. ἔσται **g** 2. 3 ἀελπιστίᾳ **Q** ἀπιστίᾳ **g** 5 ἐπειδὴ **B** ‖ ὁ μίδας om. **B** 6 καλάμου] + ὡς εἴρηται **B**
τέλος τῶν πυθίων subscr. **g**

Cod. Laur. 32, 52 (I

(P. V fin. – VI init.,

)) f. 44^{v} pars superior

, p. 191,3 sqq. h. ed.)

Cod. Laur. 32, 37 (E) f. 122v pars superior

(P. VIII fin. — IX init., p. 218,7 sqq. h. ed.)